יהוה

INSTITVTIO THEOLOGICA
ANDOVER FVNDATA MDCCCVII.

ΟΥ ΧΡΙΣΤΟΥ.

CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS III.

IN ACTA SS. APOSTOLORUM.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIV.

[illegible]

MONITUM LECTORI.

CATENA, quam hodie primum publici juris facio, e Codice descripta est Bibliotheca Novi Collegii adservato, LVIII. membranaceo, form. in 4°. decimo tertio sæculo optime exarato. Hanc longe præstantissimam vocare non dubitavit Fabricius Bibl. Gr. t. VII. p. 790, auctoribus, Jo. Ernesto Grabio Præf. t. II. Spicil. Patrum, et Jo. Christoph. Wolfio in Dissert. de Caten. Patr. Græc. MSS. p. 31. 4°. Witebergæ, 1712[a]; qui postea satis ampla ex ea vulgavit excerpta inter Anecd. Gr. t. III. et IV. Hujusce autem Commentarii præstantia potissimum elucebit, si cum illo conferatur, qui sub Œcumenii nomine Veronæ prodiit Anno 1532 in f°. et dein sæpius recusus est. Œcumenii enim opus nihil aliud est nisi Catenæ nostræ epitome, in qua omnium auctorum nomina tacentur, et eorum excerpta in unum quasi corpus rediguntur.

Dubitarunt autem Viri docti an Œcumenio hoc opus rite assignari deberet, (Fabr. Bibl. Gr. t. VII. p. 789,) et jure quidem, ut ego opinor; nam in nullo quem vidi Codice, ejus nomen Commentario in Acta Apostolorum præfigitur; in Epistolas autem S. Pauli ejus Scholia nominatim laudantur in plurimis Codicibus, et ejus Proemium Schol. in Apocalypsin exstat Cod. Coislin.

[a] Rarissimum hoc Opusculum in multis Bibliothecis frustra quæsivi, sed illud tandem tractare potui beneficio viri inter Theologos nostros doctissimi Martini Josephi Routh, S. T. P.

224. et Cod. Barocc. 3. "'Εκ τῶν Οἰκουμενίῳ τῷ μακαρίῳ
" 'Επισκόπῳ Τρίκκης Θεσσαλίας θεοφιλῶς πεπονημένων εἰς τὴν
" Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου."

Omnino autem lectu digna sunt quæ de Œcumenio habet Ricardus Simonius Hist. Crit. N. T. lib. III. c. 32. præsertim ubi affirmat exstare in Bibl. Reg. Paris. antiquum codicem manuscriptum catenam exhibentem, cujus titulus, τοῦ Χρυσοστόμου καὶ ἑτέρων διαφόρων, e qua multa revocari possent auctorum nomina, quæ in Œcumenianis non apparent. Collato autem hujusce Commentarii titulo cum nostro, statim suspicatus sum ejusdem operis esse exemplar, et ita rem se habere, mox certior factus sum exploratione a doctissimo viro, C. Benedicto Hase, rogatu meo instituta. Longe autem antiquissimum et præstantissimum exemplar Manuscriptum Catenæ nostræ sciebam exstare inter Codd. Bibliothecæ olim Coislin. nunc vero amplissimæ Regiæ Bibl. Parisiensi adnumeratos; ut ex accurata, quam Montfaucon. dederat notitia Catal. Bibl. Coisl. in promptu erat dispicere. Cujus venerandi Codicis ut ætas et indoles melius appareant, hanc notitiam ejus verbis, lectoris oculis subjiciam.

Montfaucon. Bibl. Coislin. p. 75.

"Codex XXV. alias CXXI. membranaceus, decimi " sæculi, complectitur Acta Apostolorum et Epistolas " Catholicas cum Commentariis ex Chrysostomo aliis- " que Patribus et Auctoribus collectis et in ordinem " digestis ab Andrea Presbytero, ut docet nota ad cal- " cem hujus Codicis exscribenda.

" Præmittitur expositio Capitum Actuum auctore " Pamphilo, ἔκθεσις κεφαλαίων τῶν Πράξεων τοῦ Παμφίλου,

" quam integram edimus infra. Subsequitur ἀποδημία
" Παύλου τοῦ ἁγίου, peregrinatio seu Itinerarium Sancti
" Pauli, ut initio editi Œcumenii.

" *Catenæ in Acta hic titulus præfigitur.*

" Ἑρμηνεία τῶν Πράξεων τοῦ Χρυσοστόμου καὶ ἑτέρων δια-
" φόρων." Tum subjungit Montf. indicem Auctorum e quibus conflata est hæc Catena. Et post Martyrologium Apostoli Pauli, addit "Altera nota in fine Codicis
" scripta horum Commentariorum Collectoris nomen
" indicat et sic habet. Ἀνδρέου δὲ τοῦ ἐλεεινοῦ καὶ ταπεινοῦ
" πρεσβυτέρου τοῦ συναγαγόντος καὶ παραθεμένου τὰς ἐμφερομέ-
" νας τῇ βίβλῳ ταύτῃ παραγραφὰς οἱ ἐντυγχάνοντες ὑπερεύχεσθε,
" ἵνα ὁ Θεὸς δωρήσηται αὐτῷ ἔλεος ἐν τῇ φοβερᾷ καὶ ἀδεκάστῳ
" τῆς κρίσεως ἡμέρᾳ· παρακαλῶ δὲ τοὺς γράφοντας ταύτην τὴν
" βίβλον, καὶ τὴν προκειμένην εὐχὴν μετὰ παρακλήσεως τάσσετε.

" *In Opusculum Pamphili Martyris.*

" Hanc opellam esse vere Pamphili Martyris, non
" est quod dubitemus. Nam in eo fere totam ætatem
" contrivit S. Martyr, ut Scripturæ Sacræ libros manu
" sua describeret, ornaret titulis atque Scholiis, ut docet
" Hieronymus de Scriptoribus Ecclesiasticis. Indicat
" item nota Codicis RR. PP. Jesuitarum, qui Prophetas
" omnes continet; asserit demum Calligraphus Codicis
" vetustissimi hujus Bibliothecæ num. CCII. qui ad
" calcem Epistolarum S. Pauli ait se illum ipsum Co-
" dicem contulisse in Bibliotheca Cæsariensi cum alio
" Codice, qui ipsius Pamphili manu exaratus fuerat.
" Ad hæc vero Calligraphus ille in nota sua, eadem
" loquendi formula eaque non vulgari utitur, quæ initio
" opusculi sequentis usurpatur; nimirum, παρ' ὧν ἀπάν-

“ των τόλμης συγγνώμην αἰτῶ, εὐχῇ τῇ ὑπὲρ ἡμῶν τὴν συμπερι-
“ φορὰν κομιζόμενος, quæ verba ipse ex Pamphilo haud
“ dubie mutuatus est. Hanc autem expositionem tum
“ ob Auctoris sanctissimi celeberrimique nomen, tum
“ quia non fructu vacare putatur, hic edere visum est.”

Ἔκθεσις κεφαλαίων τῶν Πράξεων τοῦ Παμφίλου.

Ἐκ πατέρων ἡμεῖς καὶ διδασκάλων τὸν τρόπον καὶ τὸν τύπον ὠφελημένοι, ἐγχειροῦμεν μετρίως τῇδε τῶν κεφαλαίων ἐκθέσει, αἰτοῦντες συγγνώμην προπετείας ἡμεῖς οἱ νέοι χρόνῳ τε καὶ μαθημάτων, (sic) ἑκάστου τῶν ἀναγινωσκόντων εὐχῇ τῇ ὑπὲρ ἡμῶν τὴν συμπεριφορὰν κομιζόμενοι. ἐκτιθέμεθα οὖν αὐτὴν καθ' ἱστορίαν Λουκᾶ τοῦ Εὐαγγελιστοῦ καὶ συγγραφέως, τοιγαροῦν διὰ μὲν τοῦ ἄλφα καὶ βῆτα αὐτοτελῆ τὰ κεφάλαια, διὰ δὲ τοῦ ἀστερίσκου τὰς ἐν μέρει τούτων ἐχομένας ὑποδιαιρέσεις ἐσημειωσάμεθα.

α'. Περὶ τῆς ἐξ ἀναστάσεως διδασκαλίας Χριστοῦ καὶ ὀπτασίας πρὸς τοὺς μαθητὰς, καὶ περὶ ἐπαγγελίας τῆς τοῦ Ἁγίου Πνεύματος δωρεᾶς· θέας τε καὶ τρόπου τῆς ἀναλήψεως τοῦ Χριστοῦ.

β'. Πέτρου διάλογος πρὸς τοὺς μαθητευθέντας περὶ θανάτου καὶ ἀποβολῆς Ἰούδα· ἐν ᾧ περὶ ἀντεισαγωγῆς Ματθίου κληρωθέντος χάριτι Θεοῦ διὰ προσευχῆς.

γ'. Περὶ θείας τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως ἐν ἡμέρᾳ Πεντηκοστῆς γενομένης εἰς τοὺς πιστεύσαντας, ἐν ᾧ Πέτρου κατήχησις, καὶ περὶ τούτου ἐκ τῶν προφητῶν περὶ πάθους καὶ ἀναστάσεως καὶ ἀναλήψεως Χριστοῦ, δωρεᾶς τε τοῦ Ἁγίου Πνεύματος. περὶ πίστεως τῶν παρόντων καὶ τῆς διὰ τοῦ βαπτίσματος αὐτῶν σωτηρίας. περὶ ὁμονοίας κοινωφελοῦς καὶ προσθήκης τῶν πιστευόντων.

δ'. Περὶ τῆς ἐν Χριστῷ θεραπείας τοῦ ἐκ γεννητῆς χωλοῦ. Πέτρου τε κατηχήσεως ἐλεγκτικῆς, συμπαθητικῆς, συμβουλευτι-

κῆς πρὸς σωτηρίαν αὐτοῦ· ἐν ᾧ ἐπιστασία ἀρχιερέων ζήλῳ τοῦ γεγονότος, καὶ κρίσις τοῦ θαύματος, Πέτρου τε ὁμολογία τῆς Χριστοῦ δυνάμεώς τε καὶ χάριτος. περὶ ἀπίστων ἀρχιέρεων προσταττόντων, ὡς οὐ δεῖ παρρησιάζεσθαι ἐπὶ τῷ ὀνόματι Χριστοῦ, καὶ ἀνανεώσεως τῶν ἀποστόλων. εὐχαριστία ἀπὸ τῆς ἐκκλησίας ὑπὲρ τῆς τῶν Ἀποστόλων πιστῆς καρτερίας.

ε΄. Περὶ ὁμοψύχου καὶ καθολικῆς κοινωνίας τῶν πιστευσάντων, ἐν ᾧ περὶ Ἀνανίου καὶ Σαπφείρας καὶ τῆς πικρᾶς αὐτῶν τελευτῆς.

ϛ΄. Ὅτι τοὺς Ἀποστόλους ἐμβληθέντας ἐν τῷ δεσμωτηρίῳ ὁ ἄγγελος Κυρίου νύκτωρ ἐξέωσεν ἐπιτρέψας ἀκωλύτως κηρύσσειν τὸν Ἰησοῦν· ἐν ᾧ ὅτι τῇ ἑξῆς οἱ ἀρχιερεῖς αὐτοὺς πάλιν συλλαβόμενοι, ἐφ᾽ ᾧ μηκέτι διδάσκειν, μαστίξαντες ἀπέλυσαν. Γαμαλιήλου γνώμη πιστὴ περὶ Ἀποστόλων μετὰ παραδειγμάτων τινῶν καὶ ἀποδείξεων.

ζ΄. (et η΄. licet non notetur in MS.) Περὶ χειροτονίας τῶν ἑπτὰ διακόνων. Ἰουδαίων ἐπανάστασις καὶ συκοφαντία κατὰ Στεφάνου· αὐτοῦ τε δημηγορία περὶ τῆς πρὸς Ἀβραὰμ διαθήκης τοῦ Θεοῦ, καὶ περὶ τῆς τῶν ιβ΄. πατριαρχῶν· ἐν ᾧ τὰ περὶ τοῦ λιμοῦ καὶ πυρωνίας, καὶ ἀναγνωρισμοῦ τῶν υἱῶν Ἰακώβ· καὶ περὶ γενέσεως Μωσέως καὶ τῆς πρὸς αὐτὸν Μωϋσέα θεοφανείας ἐν ὄρει Σινὰ γενομένης· περὶ τῆς ἐξόδου καὶ μοσχοποιΐας τοῦ Ἰσραὴλ ἄχρι τῶν χρόνων τοῦ Σολομῶντος καὶ τῆς τοῦ ναοῦ κατασκευῆς· ὁμολογίας τῆς ὑπερουρανίου δόξης Ἰησοῦ Χριστοῦ ἀποκαλυφθείσης αὐτῷ Στεφάνῳ, ἐφ᾽ ᾗ λιθόλευστος γενόμενος αὐτὸς Στέφανος, εὐσεβῶς ἐκοιμήθη.

θ΄. Περὶ διωγμοῦ τῆς Ἐκκλησίας, καὶ ταφῆς Στεφάνου· ἐν ᾧ περὶ Φιλίππου Ἀποστόλου πολλοὺς ἰασαμένου ἐπὶ τῆς Σαμαρείας.

ι΄. Περὶ Σίμωνος τοῦ Μάγου πιστεύσαντος καὶ βαπτισθέντος σὺν ἑτέροις πλείοσιν· ἐν ᾧ περὶ τῆς τοῦ Πέτρου καὶ Ἰωάννου πρὸς αὐτοὺς ἀποστολῆς, καὶ ἐπίκλησις τοῦ Ἁγίου Πνεύματος ἐπὶ τοὺς βαπτισθέντας.

ια'. Ὅτι οὐκ ἀργυρίου, οὐδὲ ὑποκριταῖς, ἀλλ' ἁγίοις διὰ πίστεως ἡ μετοχὴ τοῦ Ἁγίου Πνεύματος ἐδίδοτο· ἐν ᾧ τὰ περὶ ὑποκρίσεως καὶ ἐπιπλήξεως Σίμωνος.

ιβ'. Ὅτι τοῖς ἀγαθοῖς καὶ πιστοῖς εὐοδοῖ ὁ Θεὸς τὴν σωτηρίαν, δῆλον[b] ἐκ τῆς κατὰ τὸν εὐνοῦχον ὑποθέσεως.

ιγ'. Περὶ τῆς οὐρανόθεν θείας κλήσεως τοῦ Παύλου εἰς ἀποστολὴν Χριστοῦ· ἐν ᾧ περὶ ἰάσεως καὶ βαπτίσματος Παύλου διὰ Ἀνανίου κατ' ἀποκάλυψιν Θεοῦ, παρρησίας τε αὐτοῦ καὶ συντυχίας τῆς διὰ Βαρνάβα πρὸς τοὺς Ἀποστόλους.

ιδ'. Περὶ Αἰνέου παραλυτικοῦ ἰαθέντος ἐν Λύδδῃ διὰ Πέτρου· ἐν ᾧ τὰ περὶ Ταβιθὰ τῆς φιλοχήρου, ἣν ἤγειρεν ἐκ νεκρῶν ὁ Πέτρος διὰ προσευχῆς ἐν Ἰόππῃ.

ιε'. Περὶ Κορνηλίου ὅσα τε πρὸς αὐτὸν ὁ ἄγγελος εἶπεν· ἐν ᾧ καὶ ὅσα Πέτρῳ οὐρανόθεν περὶ κλήσεως ἐθνῶν ἐρρήθη· ὅτι μετασταλεὶς ὁ Πέτρος ἦλθεν πρὸς Κορνήλιον· ἐπανάληψις παρὰ Κορνηλίου, ὧν εἶπεν ὁ ἄγγελος αὐτῷ τῷ Κορνηλίῳ· Πέτρου κατήχησις εἰς Χριστὸν, τοῦ τε Ἁγίου Πνεύματος ἐπὶ τοὺς ἀκούοντας δωρεὰ, καὶ ὅπως ἐβαπτίσθησαν τότε οἱ ἐξ ἐθνῶν πιστεύσαντες.

ις'. Ὡς Πέτρος τὰ καθ' ἑξῆς καὶ τὰ ἕκαστα τῶν γεγονότων διηγεῖται τοῖς Ἀποστόλοις διακριθεῖσι πρὸς αὐτόν· τῷ τηνικάδε τὸν Βαρνάβαν ἐκπέμψας (f. ἔπεμψαν) πρὸς τοὺς ἐν Ἀντιοχίᾳ ἀδελφούς.

ιζ'. Προφητεία Ἀγάβου περὶ λιμοῦ οἰκουμενικῆς (f. οἰκουμένης Montf.) καὶ καρποφορίας πρὸς τοὺς ἐν Ἱερουσαλὴμ ἀδελφούς.

ιη'. Ἰακώβου τοῦ ἀποστόλου κατασφάγη· ἐν ᾧ καὶ Πέτρου σύλληψις πρὸς Ἡρώδου, ὅπως τε αὐτὸν ἄγγελος θείῳ κελεύσματι ἐξείλατο τῶν δεσμῶν, καὶ ὁ Πέτρος ἐμφανὴς γενόμενος νύκτωρ τοῖς ἀδελφοῖς ὑπανεχώρησεν· ἐν ᾧ περὶ τῆς τῶν φυλάκων κολάσεως, καὶ μετέπειτα περὶ τῆς τοῦ ἀσεβοῦς Ἡρώδου πικρᾶς τε καὶ ὀλεθρίου κατασφαγῆς.

[b] δήλην Montf.

ιθ´. Ἀποστολὴ Βαρνάβα καὶ Παύλου πρὸς τοῦ Θείου Πνεύματος εἰς Κύπρον, ὅσα τε εἰργάσατο ἐν ὀνόματι Χριστοῦ εἰς Ἐλύμαν τὸν μάγον.

κ´. Παύλου εὐθαλὴς διδασκαλία εἰς Χριστὸν, ἔκ τε τοῦ νόμου καὶ καθεξῆς τῶν προφητῶν, ἱστορικὴ καὶ εὐαγγελική· ἐν ᾧ ἐλεγκτικῇ καὶ συλλογιστικῇ διδασκαλίᾳ χρῆται περὶ μεταθέσεως τοῦ κηρύγματος εἰς τὰ ἔθνη· διωγμοῦ τε αὐτῶν, καὶ ἀφίξεως εἰς Ἰκόνιον.

κα´. Ὅπως ἐν Ἰκονίῳ κηρύξαντες τὸν Χριστὸν, πολλῶν πιστευσάντων ἐδιώχθησαν οἱ Ἀπόστολοι.

κβ´. Περὶ τοῦ ἐν Λύστροις ἐκ γεννητῆς χωλοῦ ἰαθέντος διὰ τῶν Ἀποστόλων· διόπερ εἶναί τε θεοὶ καὶ παρεῖναι ἔδοξαν τοῖς ἐγχωρίοις· ἔνθα δὴ καὶ μετέπειτα λιθάζεται ὁ Παῦλος παρὰ τῶν ἀστυγειτόνων.

κγ´. Ὅτι οὐ δεῖ περιτέμνεσθαι τοὺς ἐξ ἐθνῶν πιστεύοντας, δόγματι καὶ κρίσει τῶν Ἀποστόλων· ἐν ᾧ ἐπιστολὴ αὐτῶν Ἀποστόλων πρὸς τοὺς ἐξ ἐθνῶν περὶ τῶν φυλακέων (sic) ἀντίρρησις Παύλου πρὸς Βαρνάβαν διὰ Μάρκον.

κδ´. Περὶ κατηχήσεως Τιμοθέου, καὶ τῆς κατ᾽ ἀποκάλυψιν ἀφίξεως Παύλου εἰς Μακεδονίαν· ἐν ᾧ περὶ πίστεως καὶ σωτηρίας γυναικός τινος Λυδίας, καὶ περὶ ἰάσεως τῆς πνεῦμα Πύθονος ἐχούσης παιδίσκης, δι᾽ ἣν τὸν Παῦλον καθεῖρξαν οἱ δεσπόται αὐτῆς τῆς παιδίσκης· καὶ περὶ τοῦ συμβάντος ἐκεῖσε σεισμοῦ καὶ θαύματος· καὶ ὅπως πιστεύσας ὁ εἱρκτοφύλαξ, ἐν αὐτῇ τῇ νυκτὶ ἐβαπτίσθη παραχρῆμα πανεύτιος[c], ὅτι παρακληθέντες ἐξῆλθον τότε ἐκ τοῦ δεσμωτηρίου οἱ Ἀπόστολοι.

κε´. Περὶ στάσεως γενομένης ἐν Θεσσαλονικῇ τοῦ κηρύγματος ἕνεκεν, φυγῆς τε Παύλου εἰς Βέροιαν κᾀκεῖθεν εἰς Ἀθήνας.

κϛ´. Περὶ τῆς ἐν Ἀθήναις ἐπιβωμίου γραφῆς, φιλοσόφου τε κηρύγματος καὶ εὐσεβείας τοῦ Παύλου.

κζ´. Περὶ Ἀκύλα καὶ Πρισκίλλης καὶ τῆς Κορινθίων ἀπει-

[c] Leg. πανοικὶ Montf. immo πανέστιος.

θείας, καὶ τῆς κατὰ πρόγνωσιν αὐτοῖς εὐδοκίας τοῦ Θεοῦ ἀποκαλυφθείσης τῷ Παύλῳ· ἐν ᾧ περὶ Πρίσκου ἀρχισυναγώγου πιστεύσαντος σὺν ἑτέροις τισὶν καὶ βαπτισθέντος· ὅτι στάσεως κινηθείσης ἐν Κορίνθῳ, ὁ Παῦλος ὑπανεχώρησεν· ἐλθών τε εἰς Ἔφεσον καὶ διαλεχθεὶς, ἐξῆλθεν καὶ περὶ Ἀπολλὼ ἀνδρὸς λογίου καὶ πιστοῦ.

κη΄. Περὶ βαπτίσματος καὶ τῆς τοῦ Ἁγίου Πνεύματος δωρεᾶς δοθείσης διὰ προσευχῆς Παύλου τοῖς ἐν Ἐφέσῳ πιστεύουσι, καὶ περὶ ἰάσεως τοῦ λαοῦ. περὶ τῶν υἱῶν Σκευᾶ, καὶ ὅτι οὐ δεῖ προσχωρεῖν ἀπίστοις, καὶ ἀναξίοις τῆς πίστεως γινομένοις, καὶ περὶ ἐξομολογήσεως τῶν πιστευόντων. περὶ τῆς ἐν Ἐφέσῳ κινηθείσης στάσεως ὑπὸ Δημητρίου τοῦ ἀργυροκόπου κατὰ τῶν Ἀποστόλων.

κθ΄. Περίοδος Παύλου, ἐν ᾗ τὰ περὶ τοῦ θανάτου καὶ ἀνακλήσεως Εὐτύχου διὰ προσευχῆς ἐν Τρωάδι, παραινέσεις τε αὐτοῦ Παύλου ποιμαντικαὶ πρὸς τοὺς ἐν Ἐφέσῳ πρεσβυτέρους· ἐν ᾧ παράπλους Παύλου ἀπὸ Ἐφέσου ἄχρι Καισαρείας τῆς Παλαιστίνης.

λ΄. Ἀγάβου προφητεία περὶ τῶν συμβησομένων τῷ Παύλῳ ἐν Ἱερουσαλήμ.

λα΄. Παραίνεσις Ἰακώβου πρὸς Παῦλον περὶ τοῦ μὴ δοκεῖν κωλύειν Ἑβραίους περιτέμνεσθαι.

λβ΄. Περὶ τῆς ἐν Ἱηρουσαλὴμ κατὰ τοῦ Παύλου κινηθείσης ἀταξίας, ὅπως τε αὐτὸν ὁ χιλίαρχος τοῦ πλήθους ἐξαιρεῖται· ἐν ᾧ Παύλου κατάστασις περὶ ἑαυτοῦ καὶ τῆς εἰς Ἀπόστολον ἑαυτοῦ κλήσεως, περὶ ὧν ὁ Ἀνανίας πρὸς τὸν Παῦλον ἐν Δαμασκῷ, ὀπτασίας τε καὶ φωνῆς Θεοῦ γενομένης ποτὲ πρὸς αὐτὸν ἐν τῷ ἱερῷ. ὅτι μέλλων ἐπὶ τούτοις ὁ Παῦλος τύπτεσθαι, εἰπὼν ὅτι Ῥωμαῖός ἐστιν, ἀνείθη (f. ἀνέθη).

λγ΄. Ὅσα Παῦλος καταβὰς εἰς τὸ συνέδριον ἔπαθέν τε καὶ εἶπεν, καὶ εὐθυβόλως ἔπραξεν.

λδ΄. Περὶ ἐπιβουλῆς μελετωμένης Ἰουδαίοις κατὰ Παύλου,

καὶ μηνύσεως αὐτῆς πρὸς Λυσίαν· ἐν ᾧ ὅτι παρεπέμφθη ὁ Παῦλος τῷ ἡγεμόνι εἰς Καισάρειαν μετὰ στρατιωτῶν καὶ γραμμάτων.

λε'. Τερτύλλου περὶ Παύλου κατηγορίας, καὶ αὐτοῦ ἀπολογίας ἐπὶ τοῦ ἡγεμόνος (sic).

λϛ' Περὶ τῆς Φήλικος διαδοχῆς καὶ τῆς Φήστου προσαγωγῆς, τῆς τε ἐπ' αὐτῶν ἀνακρίσεως Παύλου καὶ ἀφέσεως.

λζ'. Ἀγρίππου καὶ Βερνίκης παρουσία, καὶ πεῦσις τῶν κατὰ Παύλου· ἐν ᾧ ἀπολογία Παύλου ἐπὶ Ἀγρίππου καὶ Βερνίκης, περὶ τῆς ἐν νόμῳ θρησκείας αὐτοῦ καὶ κλήσεως εἰς τὸ Εὐαγγέλιον. ὡς οὐδὲν ἀδικεῖ Ἰουδαίους ὁ Παῦλος Ἀγρίππας φησι τῷ Φήστῳ.

λη'. Πλοῦς Παύλου ἐπὶ Ῥώμην, κινδύνων πλείστων τε καὶ μεγίστων πάμπλεως· ἐν ᾧ παραίνεσις Παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας. ναυάγιον Παύλου, ὅπως τε διεσώθησαν εἰς Μελίτην τὴν νῆσον, καὶ ὅσα τε ἐν αὐτῇ ἐθαυματούργει.

λθ'. Ὅπως ἀπὸ Μελίτης εἰς Ῥώμην κατήντησεν ὁ Παῦλος. περὶ διαλέξεως Παύλου πρὸς τοὺς ἐν Ῥώμῃ Ἰουδαίους.

Κεφάλαια μὲν τὰ ὅλα μ. τὰ δὲ τούτοις ἑπόμενα, ἅτινα τὰς σημειώσεις ἔχουσι διὰ τοῦ ⁘ μη'.

"Asteriscorum porro hujus modi notæ penitus ab-"sunt ab hoc Codice; quia asterisci quos Pamphilus "initio adscripserat, Librariorum oscitantia postea ex-"ciderant."

Hac Pamphili præfatione et capitum sectionumque tabula caret Codex Oxoniensis, quia desunt prima folia; sed ejus librarius in ipso opere sectiones asterisco notatas distinxit magis accurate quam Coislinianus. Caret etiam Codex noster nomine auctoris Catenæ, qui, ut e Parisiensi discimus, fuit Andreas Presbyter, vir ut videtur ejusmodi commentariis consarcinandis exercitatus, (vid. Fabr. Bibl. Gr. t. vii. p. 759.) sed incertæ et

patriæ et ætatis [d]. Descripto vero Oxoniensi Codice, sedulo curavi ut varietas lectionis e libro Parisiensi ei adjungeretur; usus ad hunc finem, diligenti opera Emmanuel. Miller Regiæ Biblioth. Paris. adjuncti, et in perlegendis Gr. Codd. plurimum versati; unde non pauca lemmata suis auctoribus restituuntur, et alia, quæ plane omiserat Oxoniensis librarius, de integro eruuntur. Prætermissæ autem sunt Chrysostomi citationes, ut quæ ad jam edita plerumque pertineant. Porro monendum est, me Sacræ Scripturæ textum, qui Scholiorum *τὸ κείμενον*, ut vocant, exhibet, ad fidem Codicis Oxoniensis semper servasse, nisi ubi manifesto errore depravatus esset.

Alio volumine mox sequentur, Catena in Catholicas Epistolas, et in Apocalypsin Commentarii Arethæ et Œcumenii.

[d] Chr. Wolfius in Dissert. de Caten. Patr. p. 38. illum ad XIII sæc. vid. referre; sed non decimo juniorem esse probat Cod. Coisl.

ʽΕΡΜΗΝΕΙΑ ΤΩΝ ΠΡΑΞΕΩΝ

ΤΟΥ

ΧΡΥΣΟΣΤΟΜΟΥ ΚΑΙ ʽΕΤΕΡΩΝ ΔΙΑΦΟΡΩΝ.

ʼΑΝΤΙΟΧΕΥΣ ὑπάρχων τὸ γένος ὁ Λουκᾶς, ἰατρὸς τὴν ἐπιστήμην, ὁ ὑπὸ Παύλου μαθητευθεὶς, δύο βίβλους συνεγράψατο, μίαν μὲν προτέραν τὴν τοῦ Εὐαγγελίου, δευτέραν δὲ ταύτην τὴν περὶ τῶν ʼΑποστολικῶν Πράξεων. Ἔστιν οὖν ὁ πᾶς λόγος τοῦδε τοῦ τεύχους περὶ τῆς μετὰ τὴν ἀνάστασιν εἰς οὐρανοὺς ἀνόδου Χριστοῦ, καὶ περὶ τῆς τοῦ ʽΑγίου Πνεύματος εἰς τοὺς ʼΑποστόλους ἐπιφοιτήσεως· ὅπως καὶ ὅποι τὴν εἰς Χριστὸν εὐσέβειαν κατήγγειλαν οἱ μαθηταί· καὶ ὡς διὰ προσευχῆς καὶ τῆς εἰς Χριστὸν πίστεως ἐθαυματούργησαν· καὶ περὶ τῆς οὐρανόθεν θείας παρακλήσεως τοῦ Παύλου, ἀποστολῆς τε αὐτοῦ καὶ κηρύγματος εὐθαλοῦς· καὶ συλλήβδην εἰπεῖν, περὶ ὧν ἔτλησαν οἱ ʼΑπόστολοι διὰ Χριστὸν, πολλῶν γε καὶ μεγίστων κινδύνων.

ΚΕΦ. Α[a].

Περὶ τῆς ἐξ ἀναστάσεως διδασκαλίας Χριστοῦ καὶ ὀπτασίας πρὸς μαθητὰς, καὶ περὶ ἐπαγγελίας τῆς τοῦ ʽΑγίου Πνεύματος δωρεᾶς, θέας τε καὶ τρόπου τῆς ἀναλήψεως τοῦ Χριστοῦ, καὶ περὶ τῆς ἐνδόξου καὶ δευτέρας αὐτοῦ παρουσίας.

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ ʼΙησοῦς ποιεῖν τε καὶ διδάσκειν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Τίνος ἕνεκεν αὐτὸν ἀναμιμνήσκει τοῦ εὐαγγελίου; ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδείξασθαι. καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης φησὶν, "ἔδοξε κἀμοὶ, παρηκολουθηκότι*

[a] Tit. hujus primi Cap. ita evanidus est ut legi prorsus nequeat. Suppl. e Cod. Coislin.

“ ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι·” καὶ οὐδὲ τῇ οἰκείᾳ ἀρκεῖται μαρτυρίᾳ μόνον, ἀλλὰ ἀνάγει ἔτι τοὺς Ἀποστολους, τὸ πᾶν λέγων “ καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ “ ὑπηρέται γενόμενοι τοῦ λόγου·” διὸ τὸν λόγον ἀξιόπιστον ἐκεῖ ποίησας, οὐδεμιᾶς δεῖται ἐνταῦθα ἑτέρας συστάσεως, ἅπαξ τοῦ μαθητοῦ πεισθέντος, καὶ δι᾽ ἐκείνων τὸ ἀκριβὲς αὐτοῦ τῆς ἀληθείας ἀναρτίσας. Ὁ γὰρ ἅπερ ἤκουσεν ἀξιόπιστος γενόμενος γράψαι, καὶ πιστευθεὶς ὃ μὴ παρ᾽ ἑτέρων παρείληφεν, ἀλλὰ ὧν εἶδε καὶ ἤκουσε, πιστευθῆναι δίκαιος ἂν ἦν. Εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἐδέξω, πολλῷ μᾶλλον τὰ τῶν Ἀποστόλων. Τί οὖν; ἱστορία μόνον τὸ πρᾶγμα ἐστὶ καὶ Πνεύματος ἄμοιρος ὁ λόγος; οὐδαμῶς· εἰ γὰρ “ οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου” αὐτὰ παρέδοσαν, τὰ ἐκείνων λέγει. Καὶ μετ᾽ ὀλίγα—καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον· οὐ γὰρ λέγει τὸ μὲν πρῶτον εὐαγγέλιον ὃ εὐηγγελισάμην, ἀλλὰ “ τὸν μὲν πρῶτον λόγον ὃν ἐποιησάμην.” μείζονα ἑαυτοῦ εἶναι νομίζων τὴν τοῦ εὐαγγελίου προσηγορίαν. Καίτοι γε ὁ Ἀπόστολος ἐντεῦθεν αὐτὸν κοσμεῖ λέγων· “ οὗ ὁ ἔπαινος ἐν τῷ “ εὐαγγελίῳ.” ἀλλ᾽ αὐτὸς μετριάζει καὶ φησί· “ τὸν μὲν πρῶτον “ λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς “ ποιεῖν τε καὶ διδάσκειν.” οὐχ ἁπλῶς περὶ πάντων, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς μέχρι τέλους· “ ἄχρι γὰρ τῆς ἡμέρας,” φησιν, “ ἧς ἀνε- “ λήφθη.” καὶ μὴν Ἰωάννης φησὶν ὅτι “ οὐκ ἦν δύνατον πάντα “ γράψαι· εἰ γὰρ ἐγράφη, οὐκ ἂν τὸν κόσμον οἶμαι,” φησὶ, “ χωρῆσαι “ τὰ γραφόμενα βιβλία.” Πῶς οὖν οὗτος φησὶ “ περὶ πάντων”; οὐκ εἶπε πάντα· ὡς ἂν εἴποι τις ἁδρομερῶς καὶ παχυμερῶς περὶ πάντων τῶν συνεχόντων καὶ κατεπειγόντων.

2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

Τοῦ Χρυσοστόμου. “ Διὰ Πνεύματος ἐντειλάμενος·” τουτέστι πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρωπινόν· ἢ τοῦτο, ἢ ὅτι διὰ Πνεύματος αὐτοῖς ἐνετείλατο. Καὶ μετ᾽ ὀλίγα—τί δὲ ἐνετείλατο; “ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη· βαπτίζοντες αὐ- “ τοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύ- “ ματος.” καὶ τὰ ἑξῆς. Μέγα τῶν Ἀποστόλων τὸ ἐγκώμιον, ὅταν

τοιαῦτα ὦσιν ἐγκεχειρισμένοι· τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν· ῥήματα τοῦ Πνεύματος γέμοντα ἐντειλάμενος οὖν, φησὶν, ἀνελήφθη· οὐκ εἶπε ἀνέβη· ἔτι ὡς περὶ ἀνθρώπου διαλέγεται· ἄρα καὶ μετὰ τὴν ἀνάβασιν ἐδίδασκε τοὺς μαθητάς· ἀλλὰ τοῦ χρόνου τούτου οὐδεὶς εἶπεν ἡμῖν μετὰ ἀκριβείας πάντα· ἀλλ' ἐγχρονίζει μὲν αὐτῷ Ἰωάννης τῶν ἄλλων μᾶλλον καὶ οὗτος· πάντα δὲ σαφῶς οὐδεὶς ἀπήγγειλε, πρὸς γὰρ ἕτερον ἠπείγετο· ἐμάθομεν δὲ αὐτὰ διὰ τῶν Ἀποστόλων· ἃ γὰρ ἤκουσαν εἶπον.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν
αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα
ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας
4 τοῦ Θεοῦ. καὶ συναλιζόμενος[b].

Τοῦ αὐτοῦ. Εἰπὼν περὶ τῆς ἀναλήψεως πρότερον, λέγει καὶ περὶ τῆς ἀναστάσεως· ἐπειδὴ γὰρ ἤκουσας ὅτι ἀνελήφθη, ἵνα μὴ νομίσῃς ὑφ' ἑτέρων αὐτὸν ἀνειλῆφθαι, ἐπήγαγεν· "οἷς καὶ παρ-" ἔστησεν ἑαυτὸν," φησὶ, "ζῶντα·" εἰ γὰρ ἐν τῷ μείζονι ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι. Εἶδες πῶς λανθανόντως ὑποσπείρει ταυτὶ τὰ δόγματα.

Τοῦ αὐτοῦ. Οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως ὡς ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε· οὐ γὰρ εἶπε τεσσαράκοντα ἡμέρας, ἀλλὰ "δι' ἡμερῶν τεσσαράκοντα·" ἐφίστατο γὰρ καὶ ἀφίστατο πάλιν· ἀνοίγων αὐτῶν τὰς διανοίας, καὶ οὐκέτι συγχωρῶν ὁμοίως πρὸς αὐτὸν διακεῖσθαι ὥσπερ καὶ ἔμπροσθεν· ἀλλ' ἑκάτερα μετὰ ἀκριβείας κατασκευάζων· καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μεῖζον αὐτὸν νομισθῆναι ἢ κατὰ ἄνθρωπον. Τίνος δὲ ἕνεκεν οὐχὶ πᾶσιν ἀλλὰ τοῖς Ἀποστόλοις ἐφάνη; ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦτο μυστήριον. Εἰ γὰρ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο· καὶ ἁφῆς ἐδεήθησαν τῆς διὰ χειρὸς καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς ἦν παθεῖν; διὰ τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· ὥστε μὴ τοῖς τότε μόνον, ὅπερ ἐκ τῆς ὄψεως ἔμελλεν

[b] συναυλιζόμενος prim. m. scr. videtur postea autem υ erasum est, et denuo restitutum.

ἔσεσθαι, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. Διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα· εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρὸς, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ Ἀπόστολοι σημεῖα ἐποίησαν; ἀλλ' οὐκ ἐποίησαν σημεῖα· πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; οὐ γὰρ δὴ πρὸς τοῦτο ἀντιστήσονται· οὐδὲ τοῖς ὁρωμένους μαχήσονται· ὥστε ὅταν λέγωσι μὴ γεγενῆσθαι σημεῖα, μειζόνως ἑαυτοὺς περιπείρουσι. Τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προδραμεῖν ἅπασαν ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. Οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐδὲ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγίνοντο οἱ ἁλιεῖς· ὥστε καὶ ἄκοντες ὁμολογήσωσι θείαν εἶναι ἐν ἑαυτοῖς δύναμιν· ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτα ποτέ. Διά τοι τοῦτο καὶ τότε τεσσαράκοντα ἡμέρας ἔμεινεν ἐπὶ τῆς γῆς· ἔλεγχον διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. Καὶ οὐδὲ ἐν τούτῳ ἠρκέσθη· ἀλλὰ καὶ τράπεζαν προσετίθει. Ὅπερ οὖν δηλῶν ἔλεγε "καὶ συναλιζόμενος[c] αὐτοῖς." καὶ τοῦτο ἀεὶ καὶ αὐτοὶ οἱ Ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως, λέγοντες· "οἵτινες συνεφάγομεν αὐτῷ καὶ συνεπίομεν." Τί δὲ ἐποίει τὰς τεσσαράκοντα ἡμέρας ὀπτανόμενος; διελέγετο γὰρ αὐτοῖς φησι "περὶ τῆς βασιλείας τοῦ Θεοῦ." Ἐπειδὴ γὰρ καὶ πεπονηκότες ἦσαν καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους μέλλοντες ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνεκτᾶτο λόγοις.

Τοῦ Χρυσοστόμου. Ὅτι "συναλιζόμενος"[d] ἦν, φησὶν, αὐτοῖς· τὸ δὲ πῶς οὐκ ἡμέτερον εἰπεῖν· τρόπῳ γάρ τινι παραδοξοτέρῳ ταῦτα ἐγίνετο· οὐχ ὡς τῆς φύσεως δεομένης βρωμάτων λοιπὸν, ἀλλὰ συγκαταβάσεως πρὸς ἀπόδειξιν τῆς ἀναστάσεως γενομένης. Πρῶτον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε, δεδοικότας ἔτι καὶ τρέμοντας, ἵνα μετὰ ἀδείαν ἀκούσωσι τῶν λεγομένων· εἶτα ἐπειδὴ ἤκουσαν καὶ τεσσαράκοντα συνδιέτριβον ἡμέρας, "παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι." τί δήποτε; καθάπερ τινας στρατιώτας μέλλοντας εἰς

[c] Scr. erat συναυλιζόμενος sed postea erasum est τὸ υ. [d] Ibi etiam scr. erat συναυλιζόμενος.

πλῆθος ἐμπίπτειν οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾷν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν, οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ Πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ ἠφίει, ὥστε γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι· καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι. Τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως· παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι· τοῖς θάψασιν· ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ τὸ παράνομον ἐτολμήθη πρᾶγμα· ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομωθῆναι ἅπαντας· ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον ὅτι καὶ ὁ σταυρὸς, καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις.

Παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου.

Ἐξ Ἀνεπιγράφου. Εἶτα διὰ τοῦ εἰπεῖν "ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι" ἔδειξεν ὅτι εἰς τὸ λιποτακτῆσαι ἦσαν ἕτοιμοι· διὰ δὲ τοῦ εἰπεῖν "ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτιστήσεσθε ἐν Πνεύματι Ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας" ἔδωκεν αὐτοῖς ἐλπίδας, καὶ ἀνακεχηνέναι πεποίηκε τῷ ἀδήλῳ τῶν ἐπηρτημένων ἐλπίδων, ὅπως καὶ αὐτῶν τὸν φόβον ἔξω βάλῃ, καὶ τῆς Τριάδος ἀδεῶς τὰ εὐκρινῆ πρόσωπα παραστήσῃ. Καὶ διὰ μὲν τοῦ εἰπεῖν, "ἐντειλάμενος" αὐτοῖς "διὰ Πνεύματος Ἁγίου," δεῖξαι ὅτι οὔτε ἐντελλόμενος δι' αὐτοῦ μείζων αὐτοῦ ἐστιν· ὡς οὔτε ὁ Πατὴρ αὐτοῦ ἐργαζόμενος ἐν ἑαυτῷ καὶ δι' αὐτοῦ καὶ σὺν αὐτῷ μείζων αὐτοῦ ἐστιν· οὔτε ἀναγεννώμενος δι' αὐτοῦ ἥττων αὐτοῦ ἐστι· καὶ ὅτι οὐκ ἔστιν ἐπὶ Θεοῦ μικρὸν ἢ μέγα φυσικῶς· καὶ ὅτι οὐ δι' ἑαυτὸν ταῦτα οὕτως, ἀλλὰ διὰ τὸν λόγον τῆς οἰκονομίας λέγεται καὶ ᾠκονόμηται.

Τοῦ Χρυσοστόμου. Καὶ πότε ἤκουσαν φησὶν, ὅτε ἔλεγε· "συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος

“ οὐκ εἰσελεύσεται πρὸς ὑμᾶς.” καὶ πάλιν, “ ἐρωτήσω τὸν Πατέρα, “ καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν.” Καὶ τίνος ἕνεκεν οὐχὶ παρόντος αὐτοῦ οὐδὲ ἀπελθόντος εὐθέως παρεγένετο; ἀλλ' αὐτὸς μὲν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνῆλθε, τὸ δὲ Πνεῦμα παρεγένετο ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς. Καὶ πῶς εἰ μηδέπω παρεγεγόνει ἔλεγε “ λάβετε Πνεῦμα Ἅγιον;” ἵνα δεκτικοὺς αὐτοὺς ποιήσῃ, καὶ ἀρκοῦντας πρὸς τὴν ὑποδοχήν. Εἰ γὰρ ἄγγελον μέλλων ὁρᾶν ὁ Δανιὴλ διελύετο, πολλῷ μᾶλλον οὗτοι μέλλοντες τοσαύτην δέχεσθαι χάριν. Καὶ μετ' ὀλίγα— Τίνος ἕνεκεν οὐδέποτε παραγεγόνει; ἐν ἐπιθυμίᾳ αὐτοὺς ἔδει γενέσθαι τοῦ πράγματος, καὶ οὕτω δέξασθαι τὴν χάριν· διὰ τοῦτο αὐτὸς ἀπέπτη· καὶ τότε ἦλθεν ἐκεῖνο· εἰ γὰρ παρῆν αὐτὸς, οὐκ ἂν ἐν τοσαύτῃ ἐγένετο προσδοκίᾳ. Διὰ τοῦτο οὐδὲ εὐθέως ἀνελθόντος αὐτοῦ παρεγένετο, ἀλλὰ μετὰ ὀκτὼ ἢ ἐννέα ἡμέρας. Καὶ πρὸς τὸν Θεὸν δὲ τότε μάλιστα διεγειρόμεθα, ὅταν ἐν χρείᾳ καταστῶμεν· διὰ τοῦτο καὶ Ἰωάννης τότε πέμπει τοὺς μαθητὰς πρὸς τὸν Χριστὸν, ὅτε μάλιστα ἔμελλον ἐν χρείᾳ εἶναι τοῦ Ἰησοῦ, τὸ δεσμωτήριον οἰκοῦντος ἐκείνου· ἄλλως δὲ ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν καὶ τὰς καταλλαγὰς γενέσθαι ἀπηρτισμένας· καὶ τότε ἐλθεῖν τὸ Πνεῦμα καὶ καθαρὰν γενέσθαι τὴν ἡδονήν· εἰ γὰρ παρόντος αὐτοῦ, ὁ μὲν ἀπῆλθεν, ὁ δὲ ἔμεινεν, οὐκ ἦν τοιαῦτα τὰ τῆς παραμυθίας· εἰ δὲ ἔλαττον ἦν τὸ Πνεῦμα, οὐκ ἦν ἀρκοῦσα ἡ παραμυθία. Πῶς δὲ ἔλεγε “ συμφέρει ὑμῖν;” διὰ τοῦτο τὰ μείζονα αὐτῷ τετήρηται τῆς διδασκαλίας, ἵνα μὴ ἔλαττον αὐτὸν νομίσωσιν.

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι.

Τοῦ αὐτοῦ. Δείκνυσι λοιπὸν τὸ μέσον αὐτοῦ καὶ Ἰωάννου φανερῶς· οὐκέτι ὡς πρὸ τούτου συνεσκιασμένως. Καὶ γὰρ σφόδρα συνεσκίασε τὸν λόγον, ὅτε ἔλεγεν· “ ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν “ οὐρανῶν μείζων αὐτοῦ ἐστιν.” ἀλλὰ νῦν φανερῶς φησὶν, “ Ἰωάννης “ μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ·” οὐκέτι κέχρηται τῇ μαρτυρίᾳ· ἀλλ' ἀναμιμνήσκει τοῦ προσώπου μόνον εἰς μνήμην τῶν παρ' αὐτοῦ εἰρημένων ἐνάγων, καὶ δείκνυσιν αὐτοὺς ἤδη μείζους γεγενημένους Ἰωάννου· εἴγε ἐν Πνεύματ

ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. Καὶ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν Πνεύματι Ἁγίῳ, ἀλλὰ "βαπτισθήσεσθε," διδάσκων ἡμᾶς ταπεινοφρονεῖν· τοῦτο γὰρ ἀπὸ τῆς μαρτυρίας Ἰωάννου δῆλον λοιπὸν ἦν· ὅτι οὗτος ἦν ὁ βαπτίζων· αὐτὸς γὰρ ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί· διὸ καὶ Ἰωάννου ἐμνημόνευσε. Τὰ μὲν οὖν εὐαγγέλια, ἃ ὁ Χριστὸς ἐποίησε καὶ εἶπεν, ἱστορία τίς ἐστιν· αἱ δὲ Πράξεις ὧν ὁ ἕτερος Παράκλητος καὶ εἶπε καὶ ἐποίησε. Καὶ τότε μὲν γὰρ πολλὰ καὶ αὐτὸς ἐποίει· ὥσπερ οὖν καὶ νῦν ὁ Χριστὸς ἐνεργεῖ καθάπερ καὶ τότε, ἀλλὰ διὰ τοῦ ναοῦ· νῦν δὲ διὰ τῶν Ἀποστόλων· καὶ τότε μὲν εἰς παρθενικὴν ἦλθε μήτραν· καὶ ναὸν διέπλασε, νῦν δὲ εἰς ψυχὰς Ἀποστολικάς· καὶ τότε μὲν ἐν εἴδει περιστερᾶς, νῦν δὲ καὶ ἐν εἴδει πυρός. Τί δήποτε; ἐκεῖ μὲν τὸ πρᾶον τοῦ δεσπότου δηλῶν· ἐνταῦθα δὲ καὶ τὸ τιμωρητικόν· καὶ τῆς κρίσεως λοιπὸν ἀναμιμνήσκει· ὅτε μὲν γὰρ ἁμαρτήματα συγχωρῆσαι ἔδει, τῆς πραότητος· ἐπειδὴ δὲ ἐτύχομεν δωρεᾶς, λοιπὸν καὶ κρίσεως καιρός.

Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ.

Τοῦ Χρυσοστόμου. Πῶς δὲ "βαπτισθήσεσθε" λέγει, ὕδατος οὐκ ὄντος ἐν τῷ ὑπερῴῳ; ὅτι τὸ κυριώτερον Πνεῦμα ἐστὶ, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ὥσπερ οὖν καὶ αὐτὸς κέχρισθαι λέγεται οὐδαμοῦ χρισάμενος ἐλαίῳ, ἀλλὰ πνεῦμα δεξάμενος.

Οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

Τοῦ αὐτοῦ. Οὐκ ἐδήλωσε πότε, ἵνα ἀεὶ γρηγορῶσιν· ἀλλ' ὅτι μὲν ἐγγὺς ἔσται εἶπεν, ἵνα μὴ ἐκλυθῶσιν· πότε δὲ, οὐκέτι προσέθηκεν ἵνα ἀεὶ νήφωσιν.

6 Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

Ὅταν τι μέλλωσιν[e] ἐρωτᾶν οἱ μαθηταὶ, ὁμοῦ προσέρχονται· ἵνα τῷ πλήθει δυσωπήσωσιν· ᾔδεισαν γὰρ τὸ πρώην παρ' αὐτοῦ εἰρημένον, ὅτι οὐδεὶς οἶδε τὴν ἡμέραν· διακρουόμενον ἦν· ὅθεν πάλιν προσέρχονται καὶ ἐρωτῶσιν· οὐ γὰρ ἂν εἴγε ὄντως ἦσαν πεπεισμένοι ἠρώτησαν αὐτόν.

[e] μέλωσιν Cod.

7 **Εἶπε δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.**

Τοῦ ἁγίου Ἀθανασίου. *Οὐκέτι γὰρ ἔπρεπε σαρκικῶς αὐτὸν ἀποκρίνεσθαι ἀνερχόμενον εἰς τοὺς οὐρανοὺς, ἀλλὰ λοιπὸν θεϊκῶς διδάξαι· " ὅτι οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους καὶ καιροὺς, οὓς ὁ " Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ."*

Κυρίλλου. *Οὐ γὰρ περιεργάζεσθαι χρῆναι τὰ λίαν ἀπόρρητα καὶ ἐν Θεῷ κεκρύμμενα, καὶ διὰ τούτων ἐδίδασκεν· ἰέναι δὲ μᾶλλον ἐθέλειν καὶ σφόδρα νεανικῶς ἐπὶ τὸ σφῖσι λυσιτελές· καὶ πληροῦν ἐθέλειν τῆς ἀποστολῆς τὴν διακονίαν ἀνατεθεικότας Θεῷ τῶν ὅλων τὴν γνῶσιν.*

Τοῦ Χρυσοστόμου. *Τί τοίνυν θαυμάζεις ὅτι τὴν ἡμέραν τῆς συντελείας οὐ λέγει· ὅπου γε ταύτην τὴν οὕτως ἐγγὺς οὖσαν οὐκ ἠθέλησε ποιῆσαι κατάδηλον· καὶ μάλα εἰκότως, ἵνα ἀεὶ ἐγρηγορότες ὦσι, καὶ ἐν προσδοκίᾳ καὶ μερίμνῃ· οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι τὸν μὴ νήφοντα.*

8 Ἀλλὰ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Τοῦ Χρυσοστόμου. *Ὥσπερ γὰρ ἐκεῖ οὐ πρὸς ἃ ἠρώτησαν ἀπεκρίνατο, διδασκάλου γάρ ἐστι τοῦτο, μὴ ἃ βούλεται ὁ μαθητὴς, ἀλλ' ἃ* [f] *συμφέρει μαθητὴν διδάσκειν, οὕτω καὶ νῦν ἃ ἔδει μαθεῖν διὰ τοῦτο προλέγει, ἵνα μὴ ταραχθῶσιν. Ἄρα ἔτι ἀσθενεῖς ἦσαν ὥστε παρρησιάζεσθαι· ἐπῆρεν αὐτῶν τὰς ψυχὰς, καὶ τὰ φορτικὰ συνεκάλυψε.* Καὶ μεθ' ἕτερα—*ἐπειδὴ γὰρ εἶπεν " εἰς ὁδὸν " ἐθνῶν μὴ ἀπέλθητε·" καὶ ὃ τότε οὐκ εἶπε ἐνταῦθα προσέθηκε· " καὶ " ἕως ἐσχάτου τῆς γῆς·" καὶ τὸ πάντων φοβερώτερον ἐσίγησεν.*

9 **Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.**

Τοῦ αὐτοῦ. *Διατί δὲ νεφέλη ὑπέλαβεν αὐτόν; καὶ τοῦτο τεκμήριον ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθεν· οὐ πῦρ ὡς ἐπὶ Ἡλιοῦ, οὐδὲ ἅρμα πυρὸς, ἀλλὰ νεφέλη αὐτὸν ὑπέλαβεν, ὃ τοῦ οὐρανοῦ σύμβολον*

f ἀλλὰ Cod.

ἦν, καθὼς ὁ Προφήτης φησὶν, "ὁ τιθεὶς νέφει τὴν ἐπίβασιν αὐτοῦ." Περὶ τοῦ Πατρὸς αὐτοῦ εἴρηται τοῦτο· διὰ τοῦτο λέγει ἐπὶ νεφέλης· ἐν τῷ συμβόλῳ φησὶ τῆς θείας δυνάμεως· οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. Ἄκουε πάλιν τί φησιν ὁ Προφήτης· "ὁ Θεὸς κάθηται ἐπὶ νεφέλης κούφης·" προσεχόντων γὰρ αὐτῶν σφόδρα τοῖς λεγομένοις καίπερ ἀναγκαίας τῆς ἐρωτήσεως οὔσης, καὶ ἐγηγερμένων καὶ οὐ νυσταζόντων τοῦτο γέγονεν.

Ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθέως ἀνελήφθη.

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομέ-
νου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς
ἐν ἐσθῆτι λευκῇ.

Εἰκότως, "ἐπὶ στόματος γὰρ δύο μαρτύρων σταθήσεται πᾶν "ῥῆμα."

11 Οἳ καὶ εἶπαν· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέ-
ποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς
ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον
ἐθεάσασθε πορευόμενον εἰς τὸν οὐρανόν.

Διατί εἶπεν "ἄνδρες;" ἀκριβῶς γὰρ ἑαυτοὺς ἀπετύπωσαν ὡς μὴ πτοηθῆναι· καὶ εἶπον ἅμα, καὶ κολακευόντων ἦν τὰ ῥήματα· "τί "ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν;" οὐκέτι εἴασεν αὐτοὺς αὐτὸν προσδοκᾶν· πάλιν οὗτοι τὸ μὲν μεῖζον λέγουσι, τὸ δὲ ἔλαττον οὐκέτι· ὅτι "οὕτως ἐλεύσεταί," φησι, καὶ ὡς ἐξ οὐρανοῦ αὐτὸν προσδέχεσθε. λοιπὸν ἀπὸ τῆς θέας ἐκείνης ἐπέτρεψαν αὐτοὺς αὐτὸν προσδοκᾶν, ἵνα μὴ διὰ τὸ δύνασθαι θεωρεῖν αὐτὸν νομίσωσιν αὐτὸν μὴ ἀνεληλύθεναι, ἀλλ' ἐν ᾧ διαλέγονται φθάσῃ· εἰ γὰρ πρὸ τούτου ἔλεγον ποῦ ὑπάγεις; πολλῷ μᾶλλον καὶ νῦν εἶπον— Καὶ μετ' ὀλίγα—Οὐκ εἶπεν ἀναλαμβανομένου αὐτοῦ οὐδὲ βασταζομένου· πορεία γὰρ ἡ δι' αὐτοῦ γινομένη· εἰ γὰρ πρὸ σταυροῦ ἐπὶ τῶν ὑδάτων ἐφέρετο, παθητὸν ἔτι καὶ βαρὺ περικείμενος σῶμα, μηδεὶς ἀπορείτω, εἰ μετὰ τὸ ἄφθαρτον αὐτὸ λαβεῖν, τὸν ἀέρα ἔτεμε.

12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ

καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν.

Τοῦ Χρυσοστόμου. Τότε, φησιν, ὑπέστρεψαν· τότε· πότε; ὅτε ἤκουσαν· οὐ γὰρ ἂν ἀνέσχοντο, εἰ μὴ ἑτέραν αὐτοῖς παρουσίαν ὑπέθετο. δοκεῖ δέ μοι καὶ σαββάτῳ γεγονέναι ταῦτα· οὐ γὰρ ἂν οὕτως τὸ διάστημα ἐδήλωσεν εἰπὼν, "ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν·" εἰ μὴ ὡρισμένον τι μῆκος ὁδοιπορίας ἐβάδιζον ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου.

Ἀμμωνίου. Ταχὰ ἑπτὰ σταδίους λέγει, ὅτι ἀπεῖχε τῆς πόλεως Ἱερουσαλὴμ τὸ ὄρος τῶν Ἐλαιῶν, οὐ μὴν ἑπτὰ ἡμερῶν ὁδὸν, ὅπου σχεδὸν εἰς μίαν ὥραν δύναταί τις ἀπὸ τοῦ ὄρους κατελθεῖν εἰς Ἱερουσαλήμ. ἀπέχει οὖν ὡς μίλιον ἓν, ὃ ποιεῖ σταδίους ἑπτά· ἤτοι τοσοῦτον ἀπεῖχεν ἔξω τῶν τειχῶν διάστημα, ὅσον ἐξῆν Ἰουδαίῳ ἐν σαββάτῳ περιπατεῖν, πρὸς τὸ ἀδολεσχῆσαι ὡσανεὶ διακινοῦντα.

Ἡ τοῦ σαββάτου ὁδὸς, ὡς φησὶν Ὠριγένης ἐν τῷ ε΄ Στρωματεῖ, δισχιλίων πηχῶν ὑπῆρχε· καὶ μᾶλλον ἡ ἁγία σκηνὴ καὶ κιβωτὸς τοσοῦτον διάστημα προελάμβανον τὴν παρεμβολήν· καὶ ἀπὸ τοσούτου διαστηματος ἐσκήνου· ὃ διάστημα ἐξῆν τοῖς προσκυνοῦσι τὴν ἁγίαν σκηνὴν βαδίζειν ἐν σαββάτῳ.

13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῶον οὗ ἦσαν καταμένοντες.

Τοῦ αὐτοῦ. Ὅρα λοιπὸν ἐν Ἱεροσολύμοις ἔμενον μετὰ τὴν ἀνάστασιν.

Ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, Σιμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου.

Τοῦ Χρυσοστόμου. Οὐκέτι μετὰ τοῦ ἀδελφοῦ μόνον οὗτος ἀριθμεῖται, ἀλλὰ μετὰ Πέτρου οἱ δύο· καλῶς ἐμνημόνευσε τῶν μαθητῶν, ἐπειδὴ γὰρ ὁ μὲν προέδωκεν, ὁ δὲ ἠπίστησε, δείκνυσιν ὅτι πλὴν ἐκείνου πάντες ἦσαν σῶοι.

14 Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

Τοῦ αὐτοῦ. Μέγα γὰρ τοῦτο τὸ ὅπλον ἐν τοῖς πειρασμοῖς· καὶ τοῦτο ἦσαν παιδευθέντες καλῶς· ἄλλως δὲ καὶ ὁ παρὼν πειρασμὸς αὐτοὺς εἰς τοῦτο ἦγε· σφόδρα γὰρ ἐδεδοίκεισαν τοὺς Ἰουδαίους. "σὺν ταῖς γυναιξί," φησιν, εἶπε γὰρ ὅτι ἠκολούθησαν αὐτῷ "καὶ Μαριὰμ ἡ μητὴρ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς "αὐτοῦ·" καὶ οὗτοι ἀπιστοῦντες πρότερον ἦσαν. Σκόπει δέ μοι πῶς, ὅταν εὔχηταί τις, ὅταν προσκαρτερῇ τῇ δεήσει, ὅταν ἀγάπην ἔχῃ, τότε τὸ Πνεῦμα παραγίνεται.

ΚΕΦ. Β.

Πέτρου διάλογος πρὸς τοὺς μαθητευθέντας περὶ θανάτου καὶ ἀποβολῆς Ἰούδα τοῦ προδότου.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπεν· ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ, ὡς ἑκατὸν εἴκοσι.

Τοῦ αὐτοῦ. Ὡς θερμὸς καὶ ὡς πιστευθεὶς παρὰ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς προτιμώμενος ἀεὶ ἄρχεται τοῦ λόγου.

16 Ἄνδρες ἀδελφοὶ ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαβὶδ, περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν.

Τοῦ ἁγίου Εἰρηναίου. Τὴν ἀναπλήρωσιν τῶν Ἀποστόλων ἐκ τῶν ὑπὸ Δαβὶδ εἰρημένων ποιούμενος.

Τοῦ Χρυσοστόμου. Εἰ γὰρ ὁ Χριστὸς ἀδελφοὺς αὐτοὺς ἐκάλεσε, πολλῷ μᾶλλον οὗτος πάντων παρόντων· ἰδοὺ ἐκκλησίας εὐθέως ἀξίωμα καὶ εὐαγγελικὴ κατάστασις, οὐδεὶς ἦν ἐκεῖ, οὔτε ἄρσεν οὔτε θῆλυ· τοιαύτας βούλομαι τὰς ἐκκλησίας εἶναι καὶ νῦν· οὐδεὶς βιωτικόν τι ἐφρόντιζεν, οὐδεὶς περὶ οἰκίας ἐμερίμνα· τοσοῦτον ἀγαθὸν οἱ πειρασμοί· τοιοῦτον αἱ θλίψεις· ἀεὶ παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προρρήσεως· οὕτω καὶ ὁ Χριστὸς πανταχοῦ ποιεῖ· τὸν αὐτὸν τρόπον καὶ οὗτος δείκνυσιν, ὅτι οὐδὲν ξένον γέγονε, ἀλλὰ τὸ ἤδη προ-

εἰρημένον· καὶ οὐ λέγει Δαβὶδ εἶπεν, ἀλλὰ τὸ Πνεῦμα δι' αὐτοῦ. Ὅρα εὐθέως ἐν προοιμίοις τοῦ βιβλίου ὁποίᾳ κέχρηται διδασκαλίᾳ· ὅρα ὅτι οὐχ ἁπλῶς εἶπεν ἀρχόμενος τῆς συγγραφῆς, ὅτι τοῦ Πνεύματός ἐστι πολιτεία τὸ βίβλιον τοῦτο.

17 Ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν
18 κλῆρον τῆς διακονίας ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο
χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας.

Τοῦ Χρυσοστόμου. Κλῆρον δὲ αὐτὸν πανταχοῦ καλεῖ· δεικνὺς, τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ὂν καὶ τῆς ἐκλογῆς· καὶ ἀναμιμνήσκων αὐτοὺς τῶν παλαιῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἐκληρώσατο καθάπερ τοὺς Λευΐτας· καὶ ἐνδιατρίβει τοῖς περὶ αὐτοῦ· ὅτι ὁ τῆς προδοσίας μισθὸς αὐτὸς καὶ τῆς τιμωρίας γέγονε κήρυξ· "ἐκτήσατο γάρ," φησι, "χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας." Ὅρα πῶς Θεοῦ οἰκονομία ἦν· "τῆς ἀδικίας" φησὶ, πολλαὶ γὰρ ἀδικίαι· ταύτης δὲ οὐδὲν ἀδικώτερον γέγονέ ποτε.

Καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος.

Τοῦ αὐτοῦ. Καλῶς οὐκ ἐν τῷ ἁμαρτήματι ἀλλ' ἐν τῇ τιμωρίᾳ τὸν λόγον ἐπῆρεν.

Ἀπολιναρίου[g]. Οὐκ ἐναπέθανε τῇ ἀγχόνῃ Ἰούδας, ἀλλ' ἐπεβίω καθαιρεθεὶς πρὸ τοῦ ἀποπνιγῆναι· καὶ τοῦτο δηλοῦσιν αἱ τῶν Ἀποστόλων Πράξεις· "ὅτι πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ·" τοῦτο δὲ σαφέστερον ἱστορεῖ Παπίας ὁ Ἰωάννου μαθητὴς, λέγων οὕτως, ἐν τῷ δ' τῆς ἐξηγήσεως τῶν Κυριακῶν λόγων· "μέγα δὲ ἀσεβείας ὑπόδειγμα ἐν τούτῳ τῷ "κόσμῳ περιεπάτησεν ὁ Ἰούδας· πρησθεὶς ἐπιτοσοῦτον τὴν σάρκα, "ὥστε μὴ δὲ ὁπόθεν ἅμαξα διέρχεται ῥᾳδίως ἐκεῖνον δύνασθαι "διελθεῖν· ἀλλὰ μὴ δὲ αὐτὸν μόνον τὸν τῆς κεφαλῆς ὄγκον αὐτοῦ. "τὰ μὲν γὰρ βλέφαρα τῶν ὀφθαλμῶν αὐτοῦ φασὶ τοσοῦτον ἐξοιδῆσαι, ὡς αὐτὸν μὲν καθόλου τὸ φῶς μὴ βλέπειν· τοὺς ὀφθαλ"μοὺς δὲ αὐτοῦ μὴ δὲ ὑπὸ ἰατροῦ διόπτρας ὀφθῆναι δύνασθαι· "τοσοῦτον βάθος εἶχον ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας[h]· τὸ δὲ αἰδοῖον "αὐτοῦ πάσης μὲν ἀσχημοσύνης ἀηδέστερον καὶ μεῖζον φαίνεσθαι·

[g] ἀπ[illegible]. Cod. [h] Desunt hic quædam quæ supplevimus ex optimo Cod. Coislin. XXV.

" φέρεσθαι δὲ δι' αὐτοῦ ἐκ παντὸς τοῦ σώματος συῤῥέοντας ἰχῶ- " ρας τε καὶ σκώληκας[i] εἰς ὕβριν· δι' αὐτῶν μόνον τῶν ἀναγ- " καίων· μετὰ πολλὰς δὲ βασάνους καὶ τιμωρίας, ἐν ἰδίῳ φασὶ " χωρίῳ τελευτήσαντα· καὶ τοῦτο ἀπὸ τῆς ὀδοῦ ἔρημον καὶ ἀοί- " κητον τὸ χωρίον μέχρι τῆς νῦν γενέσθαι· ἀλλ' οὐδὲ μέχρι τῆς " σήμερον δύνασθαί τινα ἐκεῖνον τὸν τόπον παρελθεῖν, ἐὰν μὴ τὰς " ῥῖνας ταῖς χερσὶν ἐπιφράξῃ· τοσαύτη διὰ τῆς σαρκὸς αὐτοῦ " καὶ ἐπὶ γῆς κρίσις ἐχώρησεν."

Καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ.

Τοῦ Χρυσοστόμου. Τοῦτο παραμυθίαν ἐκείνοις ἔφερεν, ὥσπερ ἐξεχύθη τὰ ἔντερα Ἰούδα, οὕτω καὶ Ἀρείου τοῦ αἱρετικοῦ.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμὰ, τουτέστι, χωρίον αἵματος.

Τοῦτο περὶ τοῦ χωρίου καὶ τῆς οἰκίας.

20 Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Τοῦ Χρυσοστόμου. Τουτέστιν τὴν ἀρχὴν, τὴν ἱερωσύνην, ὥστε οὐκ ἐμὴ γνώμη τυγχάνει, ἀλλ' ἐκείνου τοῦ ταῦτα προειρηκότος. ἵνα γὰρ μὴ δόξῃ μεγάλῳ πράγματι ἐπιχαίρειν, καὶ τοιούτῳ οἵῳ ὁ Χριστὸς, ἐπήγαγε μάρτυρα τὸν προφήτην.

Τὸν κλῆρον τῆς διακονίας, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος· ὅρα ὅτι καὶ διάκονοι ἐκαλοῦντο οἱ μαθηταὶ καὶ ἐπίσκοποι.

21 Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς.

Τοῦ Χρυσοστόμου. Διατί κοινοῦται αὐτοῖς; ἵνα μὴ περιμάχητον τὸ πρᾶγμα γένηται, καὶ εἰς φιλονεικίαν[k] ἐμπέσωσιν· εἰ γὰρ αὐτοὶ τοῦτο ἔπαθον, πολλῷ μᾶλλον ἐκεῖνοι· καὶ ἀεὶ τοῦτο παραιτεῖται. διὰ τοῦτο ἀρχόμενος ἔλεγεν· " ἄνδρες ἀδελφοὶ," δεῖ ἐκδέξασθαι

[i] σκώλικας Cod. C. [k] φιλονικίαν Cod. C.

ἀφ' ὑμῶν· τῷ πλήθει τὴν κρίσιν ἐπιτρέπει, τουτέστι γινομένους αἰδεσίμους ποιῶν· καὶ αὐτὸς ἀπαλλαττόμενος ἀπεχθείας τῆς[k] πρὸς ἀλλήλους· μεγάλα γὰρ ἀεὶ τὰ τοιαῦτα ἐργάζεται κακά· καὶ ὅτι μὲν δεῖ γενέσθαι, τὸν προφήτην παράγει μάρτυρα. ἐκ τίνων δὲ δεῖ; ἐκ τῶν συνελθόντων ἡμῖν, φησὶν, ἐν παντὶ χρόνῳ. εἰ μὲν γὰρ εἶπεν τοὺς ἐπιεικεῖς ἔδει παρεῖναι, καὶ τοὺς ἄλλους ἂν ὕβρισαι, τῷ χρόνῳ τὸ πρᾶγμα ἐπέτρεψεν· οὐχ ἁπλῶς συνελθόντων εἰπὼν, ἀλλ' ἐν παντὶ χρόνῳ.

Τοῦ Χρυσοστόμου. Καλῶς γὰρ τὰ πρὸ τούτου οὐδεὶς μαθεῖν, ἀλλὰ τότε Πνεύματι ἐμάνθανον.

22 Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων.

Τοῦ αὐτοῦ. Ἵνα μὴ ἠκροτηριασμένος ὁ χορὸς ᾖ· τίς οὖν ἵνα γένηται αὐτὸς ἑλέσθαι οὐκ ἐνῆν; ἵνα μὴ δόξῃ χαρίζεσθαι· ἄλλος δὲ καὶ Πνεύματος ἄμοιρος ἦν.

Τοῦ αὐτοῦ. Οὐκ εἶπεν τῶν ἄλλων μάρτυρα, ἀλλὰ τῆς ἀναστάσεως μάρτυρα· καὶ γὰρ ἀξιοπιστότερος ἦν ὁ δυνάμενος εἰπεῖν[l], ὅτι ἐκεῖνος φαγὼν καὶ πιὼν ὁ σταυρωθεὶς αὐτὸς ἀνέστη· τὸ γὰρ ζητούμενον τοῦτο ἦν, ἡ ἀνάστασις· ἐπεὶ ἐκεῖνα δῆλα ἦν καὶ ὡμολογημένα· αὕτη δὲ λάθρα γέγονεν, καὶ τούτοις μόνοις δήλη.

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.

Οὐχὶ αὐτὸς αὐτοὺς ἔστησεν· ἀλλὰ τὴν γνώμην αὐτὸς εἰσηγήσατο, δείξας οὐδὲ αὐτὴν αὐτοῦ οὖσαν· ἀλλ' ἄνωθεν κατὰ προφητείαν, ὥστε ἐξηγητὴς γέγονεν οὐ διδάσκαλος.

24 Καὶ προσευξάμενοι εἶπον· Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο ἕνα ὃν ἐξελέξω.

Τοῦ Χρυσοστόμου. Σὺ μὴ ἡμεῖς· καὶ εὐκαίρως καρδιογνώστην καλοῦσιν· ἀπὸ γὰρ τούτου αἱρεῖσθαι ἐχρήν· οὕτως ἐθάρρουν, ὅτι πάντως ἕνα δεῖ γενέσθαι· οὐκ εἶπεν ἐκλέξαι, ἀλλ' ἀνάδειξον τὸν ἐκλεγέντα· εἰδότες πάντα προωρίσθαι τῷ Θεῷ.

[k] τῆς τῆς Cod. C. [l] εἶπεν Cod. C.

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

Τοῦ αὐτοῦ. Καλῶς λέγουσιν ἐκείνου τὸ ἁμάρτημα, δεικνῦντες ὅτι μάρτυρα ἀπαιτοῦσιν· οὐχὶ πλεονάζοντες τὸν ἀριθμὸν, ἀλλ' ἐλαττωθῆναι οὐκ ἐῶντες[m].

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων.

Ἐπειδὴ οὐδέπω πνεῦμα ἦν. οὔπω γὰρ ἑαυτοὺς ἀξίους εἶναι ἡγοῦντο τοῦ διάτινος σημείου μαθῆν[n]· ἄλλος δὲ εἰ ἔνθα οὔτε εὐχὴ, οὔτε ἀξιόλογοι ἄνδρες, κλῆρος τοσοῦτον ἴσχυσεν διὰ τὸ ἐξ ἀρχῆς γενέσθαι γνώμης ἐπὶ τοῦ Ἰωνᾶ· πολλῷ μᾶλλον ἐνταῦθα ἐπλήρωσε τὸν χορὸν[o], ἀπήρτησε τὴν τάξιν ὁ ἀναδεχθείς· ἀλλ' ὁ ἕτερος οὐκ ἤλγησεν, οὐ γὰρ ἂν ἀπέκρυψαν τὰ οἰκεῖα ἐλαττώματα οἱ Ἀπόστολοι· οἵγε περὶ αὐτῶν τῶν κορυφαίων εἰπόντες, ὅτι ἠγανάκτησαν ἀλλαχοῦ, καὶ οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ πολλάκις. Δεῖ τοίνυν τὸν κληρωθέντα τόπον ἔχειν ὃν ἐκληρώθη, καὶ μήτε κατασκευάζειν ἑαυτῷ, οὐ γὰρ ἂν εἴη κλῆρος τοῦτο, μήτε φεύγειν δοθέντα· εἰ γὰρ τὰ τοῦ κλήρου κύρια, πολλῷ μᾶλλον τὰ τοῦ Θεοῦ. Ὅταν ὁ Θεὸς κληρώσῃ, δεῖ καὶ τὸν ποιοῦντα ἀπροσπαθῶς ποιεῖν· τοῦτο γὰρ κλῆρος, μὴ ὃν βούληται αὐτὸς, ἀλλ' ὃν ἡ χάρις δίδωσιν. Ἕως μὲν οὖν Πνεύματος ἄμοιροι ἦσαν οἱ Ἀπόστολοι κλήρῳ τὰ πράγματα ἐπέτρεπον· ὕστερον δὲ καὶ τῷ πλήθει καὶ τῇ οἰκείᾳ χάριτι. ὁ κλῆρος πρᾶγμα ἄλυπον, οὐκ ἀφίησιν οὐδὲ ἐκείνους ἀλγεῖν ὡς ἀδικουμένους· ὁ κλῆρος συγγένειαν οὐκ οἶδεν· οὐδὲ φιλίαν οὐδὲ χάριν, οὐδὲ ἀπέχθειαν· ἐπειδὴ γὰρ πολλῶν ὄντων πάντας κληροῦσθαι οὐκ ἔνι, εἰκότως ἐκ πολλῶν ὀλίγους ἐπιλεγόμεθα.

ΚΕΦ. Γ.

Περὶ θείας τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως ἐν ἡμέρᾳ Πεντηκοστῆς γενομένης εἰς τοὺς πιστεύσαντας.

1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό.

m ἐῶμτ'. Cod. C. n Sic Cod. C. o Huc usque suppl. e Cod. Coisl.

Τοῦ αὐτοῦ. Τουτέστι περὶ τῆς Πεντηκοστῆς· περὶ αὐτὴν ὡς εἰπεῖν· ἔδει γὰρ ἑορτῆς οὔσης πάλιν ταῦτα γίνεσθαι· ἵνα οἱ παρόντες τῷ σταυρῷ τοῦ Χριστοῦ, οὗτοι καὶ ταῦτα ἴδωσιν.

Σευήρου. Χριστὸς ὁ Θεὸς παθὼν τὸ ἑκούσιον πάθος σαρκὶ, καὶ ἀναστὰς ἐκ νεκρῶν, συνανέστησεν ἑαυτῷ τοὺς τῇ ἁμαρτίᾳ νενεκρωμένους ἡμᾶς, καὶ τὸ τοῦ διαβόλου καὶ τῶν δαιμόνων κράτος κατέλυσε. Διὰ τοῦτο μέχρι τῆς Πεντηκοστῆς εἰς γῆν οὐ κλινόμεθα προσευχόμενοι καὶ κατὰ τῶν ἐχθρῶν ἡμῶν ψάλλοντες· "αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν·" ἐν δὲ πυρίναις γλώσσαις τοῦ Πνεύματος θεοπρεπῶς ἐπιφανέντος ἡμῖν, γόνυ κάμπτομεν, τὴν θέαν οὐ φέροντες, καὶ δηλοῦντες ὅτι διὰ τοῦ Πνεύματος τὴν ἐν Τριάδι τελείαν προσκύνησιν μεμαθήκαμεν· "Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν."

Σευηριανοῦ[p] Γαβάλων. Ἐν τοίνυν ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐδόθη νόμος, Θεοῦ φανέντος καὶ νομοθετήσαντος, καὶ Μωϋσέως τὰς πλάκας δεξαμένου. Ἔδει οὖν καθ' ἣν ἡμέραν ἐδόθη ὁ παλαιὸς νόμος, κατ' αὐτὴν δοθῆναι καὶ τὴν τοῦ Πνεύματος χάριν. ἵνα καὶ ἡ αὐθεντεία τοῦ Πνεύματος δειχθῇ, καὶ Θεοῦ ἐπιφάνεια ἑρμηνευθῇ· καὶ δείχθῃ ἀδιαίρετος ἡ φύσις τῆς θεϊκῆς ὑποστάσεως ἐν παλαιᾷ καὶ νέᾳ, καὶ διαφόροις χρόνοις μίαν ἐργαζομένη τὴν συμφωνίαν τῶν θείων λόγων. Ὥσπερ γὰρ ὁ Σωτὴρ μέλλων ἐπιτελεῖν τὸ ἅγιον πάθος οὐκ ἠνέσχετο ἄλλῳ καιρῷ ἑαυτὸν ἐκδοῦναι τῷ πάθει, ἀλλὰ καθ' ὃν καιρὸν ἐθύετο τὸ πρόβατον, ἵνα αὐτῷ τῷ τύπῳ συνάψῃ τὴν ἀλήθειαν· οὕτως καὶ ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις οὐκ ἠνέσχετο ἄλλῳ καιρῷ δοθῆναι, ἢ καθ' ὃν καιρὸν ἐδόθη νόμος· ἵνα δειχθῇ ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον καὶ τότε ἐνομοθέτησε, καὶ νῦν νομοθετεῖ.

2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος· ὥσπερ φερομένης πνοῆς βιαίας.

Σευήρου ἐπισκόπου ἀπὸ λόγου μη. Ἐξ οὐρανοῦ μὲν, ἵνα παραστήσῃ σαφῶς, ὡς οὐρανόθεν θεϊκῶς ἡ τοῦ Πνεύματος κάθοδος γέγονε· πνοῆς δὲ ὥσπερ φερομένης βιαίας, ὅτι τοὺς ὑποδεξομένους τῆς υἱοθεσίας τὴν χάριν βιαστὰς ἤμελλεν ἀποτελεῖν

p Σευήρου Cod.

τῆς βασιλείας τῶν οὐρανῶν· ἐπλήρου δὲ τὸν οἶκον ὅλον, ἵν' ἡ δωρεὰ δεδομένη δειχθῇ, μὴ μερικῶς τισὶν, ἀλλ' ὅλῳ τῷ τῆς ἐκκλησίας πληρώματι· γλῶσσαι ὑπῆρχον ὀφθεῖσαι πυρὸς, τοσοῦτον εἶναι δηλοῦσαι τὸ μέσον τῆς παλαιᾶς νομοθεσίας καὶ τῆς καινῆς, ὅσον ἐνάρθρου λόγου διὰ γλώττης ἐκφερομένου καὶ ἀσήμων σαλπίγγων ἠχοῦς. Καὶ ἐκεῖ μὲν ὡς ἐν ἀστραπῇ ἀεὶ τὸ πῦρ αὐτοὺς παρέτρεχεν· ἐνταῦθα δὲ αἱ τοῦ πυρὸς γλῶσσαι τοῖς Ἀποστόλοις ἐπεκαθέστησαν, καὶ παραχρῆμα πλήρης ἦσαν τοῦ Πνεύματος, τὰ θεῖα πλημμυροῦντες νάματα· καὶ ἐγκαθημένην ἔχοντες, οὐ παροδεύουσαν τὴν φλόγα τῆς χάριτος· καὶ τὰς γλώσσας αὐτῶν πρὸ πᾶν εἶδος διαλέκτου στομώσασας· οὐ σκότῳ καὶ γνόφῳ καλυπτομένην, ἀλλ' ὥρᾳ τρίτῃ τῆς ἡμέρας ἐκλάμπουσαν· καὶ τοῦτο εἰς ἔνδειξιν τοῦ διὰ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνδημίας πεφανερῶσθαι λαμπρῶς ὡς ἐν ἡμέρᾳ τὸ τῆς Τριάδος μυστήριον.

Ἰσιδώρου. Ὃν τρόπον τὰ τοῦ νόμου προοίμια φόβου ἐδεῖτο πρὸς φυλακὴν τῶν ἐντολῶν, ἐπιστρέφοντα τοὺς ἀκούοντας, καὶ ἐκ μέσου τοῦ πυρὸς ὁ Θεὸς ἐχρημάτιζεν, οὕτω καὶ μετὰ τὴν τοῦ δεσπότου καὶ Σωτῆρος ἡμῶν ἀνάστασιν ἐν πυρὶ τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς Ἀποστόλοις κατήρχετο, βιαίας πνοῆς προηγουμένης, ἵνα εἷς ὁ Θεὸς ἐν ἀμφοτέραις ταῖς διαθήκαις γνωσθῇ· εἰ καὶ πολὺ τῆς δευτέρας τὸ πρὸς τὴν προτέραν διάφορον· ἡ μὲν γὰρ τυπικοῖς ἐχρῆτο προστάγμασιν· ἡ δὲ ταῖς ἀλήθεσιν ἐλλάμψεσι θαύμασί τε καὶ δόγμασιν.

Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι.

Ἰωάννου. Πολλὴν τὴν ῥύμην λέγει τοῦ Πνεύματος, ὥστε καὶ τοὺς παρόντας θεραπεῦσαι, καὶ οὕτως ἀξίους δειχθῆναι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ τούτου φρικωδέστερον, "καὶ ὤφθησαν "αὐτοῖς," φησὶ, "διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός."

Τοῦ αὐτοῦ. Ἡ οἰκία τοῦ κόσμου σύμβολον ἦν.

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός.

Τοῦ Χρυσοστόμου. "Ὡσεὶ πυρός," φησι· καλῶς πανταχοῦ τὸ ὡς, ἵνα μηδὲν αἰσθητὸν περὶ τοῦ Πνεύματος νομίσῃς· καὶ ὡσεὶ πνοῆς [q] +κ ἄρα ἄνεμος ἦν ὡσεὶ πυρός· ὅτε μὲν γὰρ Ἰωάννῃ τὸ Πνεῦμα ἔδει γνωσθῆναι, ὡς ἐν εἴδει περιστερᾶς ἦλθεν ἐπὶ τὴν

[q] Est hic parvus hiatus.

κεφαλὴν τοῦ Χρίστου· νῦν δὲ ὅτε πλῆθος ὅλον ἐπιστραφῆναι ἐχρῆν, ὡσεὶ πυρός—Καὶ μετ' ὀλίγα—ἀνέμνησεν αὐτοῦ καὶ ἑτέρας ὄψεως· ὥσπερ γὰρ ἐφάνη ἐν τῇ βάτῳ.

Τοῦ αὐτοῦ. Καὶ καλῶς εἶπε "διαμεριζόμεναι·" ἐκ μιᾶς γὰρ ἦν ῥίζης· ἵνα μάθῃς ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ Παρακλήτου πεμφθεῖσα. ὅρα δὲ καὶ ἐκείνους πρώτους δειχθέντας ἀξίους· καὶ τότε Πνεύματος καταξιωθέντας· οἷον ὥσπερ Δαβὶδ, ἅπερ ἐν ταῖς ποίμναις εἰργάζετο, ταῦτα καὶ μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον, ἵνα δειχθῇ αὐτοῦ γυμνὴ ἡ πίστις· καὶ πάλιν τὸν Μωσέα καταφρονοῦντα βασιλείων καὶ πάντα ἀφιέντα, καὶ μετὰ τεσσαράκοντα ἔτη δημαγωγίας ἁπτόμενον· τὸν Σαμουὴλ ἐν τῷ ναῷ· τὸν Ἐλισσαῖον πάντα ἀφιέντα· τὸν Ἰεζεκιὴλ πάλιν ἐκ τῶν μετὰ ταῦτα δῆλον· οὕτω δὴ καὶ οὗτοι πάντα εἴασαν τὰ ἑαυτῶν.

Σχόλ. Τοῦτο σημαίνει τὸν εὐκίνητον καὶ διάπυρον λόγον κατὰ τὸ "ἄργυρος πεπυρώμενος γλῶσσα δικαίου·" πᾶς οὖν, ᾧ δέδοται λόγος σοφίας καὶ γνώσεως, τετύχηκε τοῦ προκειμένου χαρίσματος, ὡς εὐχαρίστως εἰπεῖν· "Κύριος διδωσί μοι γλῶσσαν παιδείας τοῦ "γνῶναι ἡνίκα δεῖ εἰπεῖν."

Κυρίλλου. Οἱ μὲν ταῖς γλωσσαῖς ἐλάλουν, καίτοι πρὶν οὐκ εἰδότες αὐτάς· οἱ δὲ σύνησαν διερμηνεύοντες, καίτοι πάλαι τὸ οὖς οὐκ ἐντριβῇ τε καὶ ἐν ἔθει τῶν τοιούτων ἐχόντων τινῶν· δεδόσθαι γε μὴν ὁ θεσπέσιος Παῦλος τοῖς τότε τὴν χάριν διισχυρίζεται τὸ γλώσσαις λαλεῖν, οὐχ ὡς μοῖρα χαρίσματος, ἀλλ' ὡς ἐν τάξει σημείου τοῖς πιστοῖς· καὶ δὴ καὶ προτρεπτικὸν παρετίθει λόγιον οὕτως ἔχον· "ὅτι "ἐν ἑτερογλώσσοις καὶ ἑτεροχείλεσι λαλήσω τῷ λαῷ[n] τούτῳ, "καὶ οὐδ' οὕτως πιστεύσουσιν·" ἔνειμε διαφόρως τὸ Πνεῦμα τὴν τῶν χαρισμάτων διανομήν· ἵνα ὥσπερ, φησὶ, τὸ παχὺ δὴ τοῦτο καὶ ἀπὸ γῆς σῶμα συνέστηκεν ἐκ μορίων, οὕτω καὶ ὁ Χριστὸς, ἤτοι τὸ σῶμα αὐτοῦ, τουτέστιν ἡ ἐκκλησία, διὰ πολλῆς ἁγίων πληθύος εἰς ἑνότητα τὴν νοητὴν, τελειοτάτην ἔχει τὴν σύστασιν. Καὶ μετ' ὀλίγα—ὅτε τοίνυν ἔμελλον οἱ τῆς ὑφ' ἡλίῳ μυσταγωγοὶ, γλώσσῃ τε ἁπάσῃ καὶ ἔθνει παντὶ προσλαλεῖν τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κήρυγμα, σημεῖον ἐδίδου τὰς γλώσσας αὐτοῖς. Ἄνδρες ὄντες Γαλιλαῖοι καὶ τεθραμμένοι κατὰ τὴν Ἰου-

[n] Verba a λαῷ usque ad διαφ. suppl. rec. m. in margine.

δαῖαν, Ἑβραῖοι τὲ καὶ ἐξ Ἑβραίων, Μήδοις τὲ καὶ Πάρθοις, καὶ μέντοι καὶ Ἐλαμίταις, καὶ τοῖς ἐκ μέσης οἰκούσης ποταμῶν, Καππαδόκαις τὲ καὶ Αἰγυπτίοις, ταῖς αὐτῶν προσελάλουν γλώσσαις· καὶ διεπεραίνετο μὲν τὸ χρῆμα αὐτοῖς τῇ τοῦ Πνεύματος ἐνεργείᾳ καὶ χάριτι· γέγραπται γὰρ, ὡς "ὤφθησαν αὐτοῖς διαμε-" ριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς" καὶ τὰ ἑξῆς. ἀλλὰ τρόπος μὲν οἰκονομίας τὸ δρώμενον ἦν· συνίσταν δὲ οὐ πάντες. ἐπειδὴ δὲ ἅπαξ ταῖς ἑτέρων γλώσσαις ἐλάλουν, ἐπίδειξιν ὥσπέρ τινα τὴν διὰ τοῦ Πνεύματος ποιούμενοι χάριν, καὶ φιλοκομπίας ἀφορμὴν δεχόμενοι τὸ σημεῖον, ῥάθυμοι μὲν ἦσαν τὸ δεῖν τοῖς ὄχλοις τὰ ἐκ τῶν ἁγίων προφητῶν διαλέγεσθαι, καὶ τοῖς εὐαγγελικοῖς συναγορεύειν δόγμασιν· ὡς ἄνωθέν τε καὶ ἐκ πολλοῦ προκεκηρυγμένου· ἀποσεμνυνόμενοι δὲ ὡς ἐπὶ μόνῳ τῷ δύνασθαι γλώσσαις λαλεῖν, τούτου τε καὶ μόνου μεταποιεῖσθαι δεῖν ᾤοντο· καὶ τὸ πρᾶγμα ἦν ἐν σπουδαῖς ταῖς προυργιαιτάταις.

Γρηγορίου τοῦ θεολόγου. Ἐν γλώσσαις δὲ, διὰ τὴν πρὸς τὸν λόγον οἰκείωσιν· πυρίναις δὲ, ζητῶ πότερον διὰ τὴν κάθαρσιν· οἶδε γὰρ ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πολλαχόθεν βουλομένοις ὑπάρχει μαθεῖν ἢ[o] διὰ τὴν οὐσίαν· πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν· μεριζομέναις δὲ, διὰ τὸ τῶν χαρισμάτων διάφορον· καθεζομέναις δὲ, διὰ τὸ βασιλικὸν, καὶ τὴν ἐπὶ τοῖς ἁγίοις ἀνάπαυσιν· ἐπεὶ καὶ Θεοῦ θρόνος τὰ Χερουβίμ· ἐν ὑπερῴῳ δὲ, εἰ μή τῳ περιεργότερος εἶναι δοκῶ τοῦ δέοντος, διὰ τὴν ἀνάβασιν τῶν δεξομένων καὶ τὴν χαμόθεν ἔπαρσιν· ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζονται, δι' ὧν ὑμνεῖται Θεός· καὶ Ἰησοῦς αὐτὸς ἐν ὑπερῴῳ τοῦ μυστηρίου κοινωνεῖ τοῖς τὰ ὑψηλότερα τελουμένοις· ἵν' ἐκεῖ παραδειχθῇ, ὅτι τὸ μέν τι καταβῆναι δεῖ Θεὸν πρὸς ἡμᾶς, ὃ καὶ πρότερον ἐπὶ Μωσέως οἶδα γινόμενον· τὸ δὲ ἡμᾶς ἀναβῆναι, καὶ οὕτω γενέσθαι κοινωνίαν Θεοῦ πρὸς ἀνθρώπους, τῆς ἀξίας συγκιρναμένης· ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν περιωπῆς, τὸ δὲ ταπεινώσεως ἄμικτος ἡ ἀγαθότης· καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον· καὶ χάσμα μέγα ἐν μέσῳ καὶ ἀδιάβατον· οὐ τὸν πλούσιον τοῦ Λαζάρα μόνον καὶ τῶν ὀρεκτῶν Ἀβραὰμ κόλπων διεῖργον, τὴν δὲ γενητὴν φύσιν καὶ ῥέουσαν, τῆς ἀγεννήτου καὶ ἑστηκυίας.

[o] Sic Cod.

Τίμησον τὴν ἡμέραν τοῦ Πνεύματος· ἐπίσχες μικρὸν τὴν γλῶτταν εἰ δύνατον, περὶ ἄλλων γλωσσῶν ὁ λόγος· ταύτας αἰδέσθητι ἢ φοβήθητι μετὰ πυρὸς ὁρώμενας.

Σευήρου. Οὐκ εἶπε πυρὸς, ἀλλ' "ὡσεὶ πυρὸς," οὐ γὰρ ἦν πῦρ τὸ φαινόμενον· ἀλλὰ πῦρ ἐνομίζετο, ἢ ἐφαίνετο. διατί δὲ τὸ πῦρ τοῦ Πνεύματος πρόδρομον εἰς φόβον ἐγεῖρον τοὺς ἀποστόλους[o]; τὸ πῦρ ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφάνεια· καὶ ἵνα μὴ εἰς ὕβριν ἐκλάβοις τότε τὴν ἁγίαν καὶ προσκυνητὴν φύσιν πυρὸς ὄψει φανεῖσαν, ἑρμηνεύει τὰ νέα τὰ διὰ Μωϋσέως γινόμενα. λέγει Μωϋσῆς "καὶ "ἦν τὸ εἶδος τοῦ Θεοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ ὡς πῦρ καιόμενον." ὅρα καὶ τὴν λέξιν συμφωνοῦσαν, ἐκείνη ἡ δόξα τοῦ Ἰσραὴλ ὡς πῦρ· οὐκ εἶπεν πῦρ, ἀλλ' ὡς πῦρ· καὶ ὧδε ὤφθησαν γλῶσσαι, ὡσεὶ πυρὸς διαμεριζόμεναι· πρόσεχε, παρακαλῶ, τὸν τρόπον πῶς ἐγένετο· οὐκ ἐφάνησαν εὐθέως γλῶσσαι, ἀλλὰ πῦρ πολύ· εἶτα ὥσπερ κατεμένετο τὸ πῦρ καὶ διεμερίζετο εἰς γλῶσσαν. τίνος μερίζοντος; τίνος μεριζομένου; οὐχ ἡ φύσις τοῦ Πνεύματος ἐμερίζετο, ἀλλ' ἦν τὸ μερίζον τὸ Πνεῦμα, τὸ δὲ μεριζόμενον ἡ δωρεὰ τοῦ Πνεύματος· τὸ γὰρ Πνεῦμα οὐ διαιρεῖται, ἀλλὰ διαιρεῖ. "ὤφθησαν διαμε-"ριζόμεναι ὡσεὶ πυρός·" διατί γλῶσσαι; ἐπειδὴ κηρύγματος ἦν ἡ σταύρωσις, ἵνα τὸ σχῆμα ἑρμηνεύσῃ τὴν ἐνέργειαν· ὅτι ὑπὲρ ἄλλου τινὸς οὐ δίδοται τὸ Πνεῦμα ἐν εἴδει γλωσσῶν, ἀλλ' ὑπὲρ τοῦ τὸ κήρυγμα ἀνθῇ οὖν τῆς ἀποστολικῆς διδασκαλίας· καὶ ἃ ἔλιπε τῇ φύσει τῶν ἁλιέων διὰ τὴν ἀπαιδευσίαν, ταῦτα δοθῆναι δι' αὐτῶν· ἵνα παρ' αὐτῶν λαλούμενα διαφόροις γλώσσαις, καὶ ὑπερβολὴν δωρεᾶς ἔχοντα, φωτίζῃ τοὺς ἀκούοντας. Ἔδει δὲ καὶ πυρὸς ἔχειν δύναμιν, εἰς τὸ ἀναλῶσαι πᾶσαν τὴν ἐν τῷ κόσμῳ ὑλομανοῦσαν ἁμαρτίαν· καὶ ὥσπερ τὸ πῦρ ἔχει τὴν φωτιστικὴν καὶ καυστικὴν δύναμιν, οὕτως ὁ λόγος τῶν Ἀποστόλων καὶ ἐφώτιζε τοὺς πιστεύοντας καὶ ἀνήλισκε τοὺς ἀντιλέγοντας. Τοιαύτην εἶχεν γλῶσσαν πυρὸς Παῦλος· ᾗ[p] κατὰ τὸ αὐτὸ καὶ τὸν ἀνθύπατον ἐφώτισεν καὶ Ἐλύμων τὸν μάγον ἐτύφλωσεν· τῇ αὐτῇ δυνάμει κἀκεῖνον φωτίσας, καὶ τοῦτον τυφλώσας.

Σευήρου Ἀντιοχείας. Μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἐπ-

[o] Desunt duo fol. quæ supplevimus e Cod. Coislin. XXV. [p] ἢ Cod.

αγγελίαν τῆς ἀψευδοῦς ἐκείνης φωνῆς, ἐν πυρίναις γλώσσαις τοῖς Ἀποστόλοις τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεφοίτησεν· οἳ τοῖς ἁπάντων τῶν ἐθνῶν γλώσσαις λαλοῦντες, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κηρύττοντες, ἐδήλουν, ὡς ὁ πάλαι τὴν τῶν ἀνθρώπων φωνὴν μίαν οὖσαν εἰς πολλὰς διελὼν, νῦν τὰς ἁπάντων γλώσσας εἰς μίαν πνοὴν συνήρμοσεν.

Τοῦ αὐτοῦ ἀπὸ λόγου κε. Καὶ ἐν πυρίναις γλώσσαις τοῖς Ἀποστόλοις ἐπιφοιτᾷ· διὰ μὲν τοῦ πυρὸς δεικνύον, ὡς ταὐτόν ἐστι τὴν οὐσίαν καὶ τὴν δόξαν ἐκείνῳ τῷ ἐν πυρὶ καταβεβηκότι πρὸς τὸ ὄρος Σινᾶ καὶ τὴν βάτον τὴν ἀκατάφλεκτον, καὶ τὸν Μωϋσέα μυσταγωγήσαντι· διὰ δὲ τῶν γλωσσῶν, ὡς[q] σύγγενές ἐστι καὶ οὐκ ἀλλότριον τῆς τοῦ Υἱοῦ καὶ Λόγου θεότητος· γλῶσσα γὰρ καὶ λόγος πολλὴν ἔχει πρὸς ἄλληλα τὴν ἐγγύτητα, καὶ τὰ τοῦ νοῦ κινήματα διαγγέλλουσιν.

Σχόλιον. Διὰ γλωσσῶν διεμέρισεν ἅπαν τὸ γένος, καὶ διὰ τοῦτο διὰ γλωσσῶν ἐπὶ τοῦ παρόντος πάλιν ἐπισυνήγαγε πάντας ἐπὶ τὸ αὐτό.

Σευήρου ἐπισκόπου Ἀντιοχείας. Ἵνα τὰς ἀκάνθας καταφλέξωσιν, ἃς ἡ παράβασις τοῦ Ἀδὰμ κατεφύτευσεν.

Διδύμου. Ἀναλαμβανόμενος ἀπὸ τῶν μαθητῶν Ἰησοῦς εἶπεν, μετ' οὐ πολλὰς ἡμέρας ἐπελεύσεσθαι ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ Ἅγιον. μετὰ δέκα ἡμέρας τοῦ ταῦτα λεχθῆναι, συμπληρωθείσης τῆς Πεντηκοστῆς ἡμέρας παρέσχεν δαψιλῶς αὐτοῖς τὸ Πνεῦμα· ὡς πλησθῆναι αὐτοῦ ἕκαστον τῶν Ἀποστόλων καὶ τῶν ὄντων μετ' αὐτῶν ἐν τῷ ὑπερῴῳ, ἔνθα ἦσαν κατιόντος τοῦ Πνεύματος· ὤφθησαν γλῶσσαι ὡσεὶ πυρὸς, αἳ καὶ ἐκάθισαν ἐπὶ ἕκαστον αὐτῶν· σημαίνει δὲ ἡ γλῶσσα ἡ πυρίνη τὸν εὐκίνητον καὶ διάπυρον λόγον κατὰ τὸ "ἄργυρος πεπυρώμενος γλῶσσα δικαίου·" πᾶς οὖν ᾧ δίδοται λόγος σοφίας καὶ γνώσεως, τετύχηκε τοῦ προκειμένου χαρίσματος· ὡς εὐχάριστος εἶπεν, "Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ "γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον."

Ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν.

Τοῦ Χρυσοστόμου. Τουτέστι παρέμενεν, ἐπαναπαύσατο· τὸ γὰρ καθίσαι τοῦ ἑδραίου ἐπισημαντικὸν καὶ τοῦ μεῖναι· ἄρα ἐπὶ

q ᾧ Cod.

τοὺς δώδεκα ἦλθεν; οὐχί· ἀλλ' ἐπὶ τοὺς ρκ· οὐ γὰρ ἂν ἁπλῶς παρήγαγε τὴν μαρτυρίαν τοῦ προφήτου ὁ Πέτρος λέγων· "καὶ "ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ "Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα," καὶ τὰ ἑξῆς.

Σετηριανοῦ ἐπισκόπου Γαβάλων. "Ἐκάθισεν ἐφ' ἕνα "ἕκαστον αὐτῶν·" ἦν ἰδεῖν ὑπὲρ κεφαλῆς πάντων τῶν ἁγίων πῦρ οὐ καῖον, ἀλλ' ἁγιάζον καὶ καταλάμπον. Διατί οὖν τὰς γλώσσας οὐκ ἐπὶ τοῦ στόματος ἐδέξαντο, ἀλλ' ἐπὶ τῆς κεφαλῆς; εἰκότως οὖν εἰς τὴν γλῶσσαν, τουτέστιν εἰς τὸ τῆς φύσεως ὄργανον, ἐδόθη τὸ Πνεῦμα· ἵνα μὴ νομίσωσιν ἐκ τῶν ἰδίων λαγόνων καὶ ἐκ τοῦ ἰδίου στόματος προφέρειν, ἃ μὴ εἶχον· ἀλλ' ὥσπερ εἰς οὐρανὸν τὰ ὕδατα λαμβανόμενα τὰς κορυφὰς τῶν ὀρέων καταλαμβάνουσι, καὶ ἀπὸ τῶν ὑψωμάτων ἐπὶ τὰς φάραγγας καταφέρονται, οὕτως τὴν κορυφὴν ὡς ὄρος καταλαμβάνουσα ἡ τοῦ Πνεύματος χάρις, ἐπεχωρήγησε λοιπὸν ἀπὸ τῆς κορυφῆς τῷ ἐγκεφάλῳ· εἶτα τῷ στόματι καὶ τῇ καρδίᾳ, καὶ ὅλον δι' ὅλου τὸν ἄνθρωπον ἐπλήρωσεν ἀπὸ τῆς κεφαλῆς. Διατί δὲ πάλιν ἐπὶ τὴν κεφαλήν; ἐπειδὴ οἱ Ἀπόστολοι ἐχειροτονοῦντο τῆς οἰκουμένης διδάσκαλοι· χειροτονία δὲ ἄλλως οὐ γίνεται, εἰ μὴ ἐν τῇ κεφαλῇ· ὑπὸ γὰρ τοῦ Σωτῆρος εἰ καὶ προεχειρίσθησαν Ἀπόστολοι, ἀλλ' οὐ τῆς οἰκουμένης· τὴν Ἰουδαίαν δὲ μόνην ἐπιστεύθησαν· ὅθεν παρήγγειλεν αὐτοῖς ὁ Σωτήρ· "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς "πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ "πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ." τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐπιδημῆσαν χειροτονεῖ αὐτοὺς Ἀποστόλους τῆς οἰκουμένης, πάντων τῶν ἐθνῶν· καὶ εἰ μὴ ἐδέξαντο τοῦ Πνεύματος τὴν χάριν, οὐκ ἂν ἐνεχειρίσθησαν τὴν ἀποστολὴν τοῦ κόσμου. μαρτυρεῖ τούτοις τοῖς ῥήμασιν αὐτὸς ὁ δεσπότης· "καὶ λήψεσθε δύναμιν ἐπελθόν- "τος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες "ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ "ἕως ἐσχάτου τῆς γῆς·" τὴν μὲν γὰρ ἀπαρχὴν παρὰ τοῦ Σωτῆρος ἔλαβον, τὸ δὲ τέλος παρὰ τοῦ Πνεύματος· ἀνώτερον οὖν τὸ Πνεῦμα τοῦ Υἱοῦ; οὐ· ἀλλ' ὥσπερ ὁ Πατὴρ τὰ μείζονα τῷ Υἱῷ δεδωκὼς, ἑαυτὸν οὐκ ἐλαττοῖ· οὕτω καὶ ὁ Υἱὸς τῷ Πνεύματι παραχωρῶν τὰ μείζονα, τὴν ἑαυτοῦ δόξαν οὐκ ἐλαττοῖ· τοῦ Ἁγίου Πνεύματος ἐπι-

φοιτήσαντος προεχειρίσθησαν οἱ Ἀπόστολοι τῆς οἰκουμένης· τὸ γὰρ τὰς γλώσσας ἐπὶ τῶν κεφαλῶν φανῆναι, δείκνυσι χειροτονίας σχῆμα· πῶς ὑπὲρ κεφαλῆς τίθεται ἡ χειροτονία διὰ τὴν τῶν ἀναγκαίων καὶ ἐκκλησιαστικῶν πραγμάτων[p] ἀκολουθίαν. ὅρα γὰρ ὅτι ἐντεῦθεν καὶ ἕως νῦν ἐκράτησε τὸ πρᾶγμα. ἐπειδὴ γὰρ ἀόρατος ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις, ἀπὸ τῆς τοῦ Ἁγίου Πνεύματος διδασκαλίας ὁ νόμος εὕρηται τοῦ εὐαγγελίου· ἐπιτίθεται τῇ κεφαλῇ τοῦ μέλλοντος χειροτονεῖσθαι τὸ εὐαγγέλιον· καὶ ὅτ᾽ ἂν ἐπιτεθῇ, οὐδὲν ἄλλο ἔστιν ἰδεῖν ἢ γλῶσσαν πυρὸς ἐπικειμένην τῇ κεφαλῇ· γλῶσσαν, διὰ τὸ κήρυγμα· πυρὸς, διὰ τὸν λέγοντα· "πῦρ ἦλθον "βαλεῖν[q] ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον, εἰ ἤδη ἀνήφθη;" "ἐκάθισεν "ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν·" οὐκ εἶπεν ἑδράσθη· οὐκ εἶπεν κατήντησεν, ἀλλ᾽ ἐκάθισεν· ἵνα δείξῃ ὅτι πᾶς ἄνηρ δουλεύων Θεῷ καὶ δεχόμενος λειτουργίαν, θρόνος ἐστιν Θεοῦ. οὐκ εἶπεν ἐπεπόλευσεν ἑκάστῳ, ἀλλ᾽ ἐκάθισεν ἐπάνω· καὶ ἦν Πέτρου ἡ κεφαλὴ θρόνος τοῦ Ἁγίου Πνεύματος, καὶ Ἀνδρέου καὶ ἑκάστου αὐτῶν· ὁμοίως ἦν ἰδεῖν ἐπικαθήμενον αὐτοῖς τὸ πῦρ· καὶ ἐννοῆσαι φύσιν, ὄψει μὲν ἕτερα δεικνύουσαν, τῇ δὲ ἐνεργείᾳ ἄλλα παριστῶσαν.

4 Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου.

Τοῦ Χρυσοστόμου. Οὐ λαμβάνουσιν ἕτερον σημεῖον, ἀλλὰ τοῦτο πρῶτον· ξένον γὰρ ἦν· καὶ οὐ χρεία ἦν ἑτέρου σημείου· "ἐκάθισεν" φησὶν "ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν·" ὅρα μοι πῶς οὐκέτι ἀλγεῖ ἐκεῖνος ὁ μὴ αἱρεθεὶς[r] ὡς ὁ Ματθίας, καὶ "ἐπλήσθησαν ἅπαντες" φησίν· οὐχ ἁπλῶς ἔλαβον τοῦ Πνεύματος τὴν χάριν, ἀλλ᾽ "ἐπλή- "σθησαν."

Κυρίλλου ἐκ τῆς Ἰωὴλ ἑρμηνείας τόμου β. Ἀπεφθέγγοντο δὲ προφητεύοντες, ἤγουν συνιέντες τε καὶ λέγοντες τὰ διὰ τῶν ἁγίων προφητῶν ἐπὶ Χριστῷ μαρτύρια, καὶ τὰ δι᾽ ὧν ἦν εἰκὸς ἑτοίμως εἰσιέναι πρὸς εὐπείθειαν ἀναπεπεισμένους εὖ μάλα τοὺς ἀκροωμένους, ὡς ἐνέστηκε λοιπὸν ὁ τῆς εὐδοκίας καιρός· καὶ τὰ πάλαι διὰ νόμου καὶ προφητῶν ἐπὶ Χριστῷ προαπηγγελμένα πρὸς πέρας ἥκει λοιπόν· οὐκ οὖν προεφήτευον ἁπάσῃ γλώσσῃ

[p] In marg. γρ. προσταγμάτων. [q] ἦλθεν βαλὴν Cod. [r] ἐρεθείς Cod.

λαλοῦντες· προαναφωνοῦντος Θεοῦ διὰ φωνῆς ἁγίων καὶ τοῦτο· γέγραπται γὰρ " ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις " λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως πιστεύσωσιν." τοῦτό σοι συνεὶς καὶ ὁ θεσπέσιος Παῦλος εἰς σημεῖον δεδόσθαι τοῖς Ἰουδαίοις ἐφ' ἑκάστην πολυγλωσσίαν τὴν ἀπαρχὴν[s] ἤτοι τὸ γένος.

Σετηριανοῦ Γαβάλων. " Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύ- " ματος Ἁγίου." *ἐδείχθη πρῶτον ὅτι ἐκάθισεν μὲν ἐπὶ τῇ κεφαλῇ· ἀπὸ δὲ τῆς κεφαλῆς ἐπληρώθη ὁ ἄνθρωπος·* " ἐπλήσθησαν Πνεύ- " ματος καὶ ἤρξαντο λαλεῖν, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς·" *αὐτὸ διαιρεῖ· αὐτὸ δίδωσι λαλεῖν[t] καὶ τῷ κηρύττοντι καὶ τῷ λαλοῦντι· οὔτε μαρτυρῆσαι ἔστιν ἀνδρὶ, μὴ ὑπὸ Πνεύματος Ἁγίου χωρηγουμένῳ·* " καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι·" *οὐ γὰρ ἐξ ἑαυτῶν ἐφθέγγετο, ἀλλ' ἀπὸ τοῦ Ἁγίου Πνεύματος. λοιπὸν ἡ τοῦ Θεοῦ χάρις ὠκονόμησεν ἀπαρχῆς τοῖς Ἀποστόλοις ἔμπρακτον εἶναι τὸν λόγον· τίς γὰρ χρεία ἦν κηρύκων, τῶν ἀκουόντων οὐκ ὄντων; τίς γὰρ χρεία σπόρου, τῆς γῆς μὴ ἀνανεωθείσης; ἐπεὶ οὖν ἐχρὴν τὴν ἀπαρχὴν τῶν ἐθνῶν ἐξ αὐτῶν τῶν προοιμίων τάξιν λαβεῖν, ἐπάγει ὁ συγγραφεὺς* " καὶ ἤρξαντο λαλεῖν γλώσ- " σαις," *καὶ τὰ ἑξῆς.*

Καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.

Τοῦ Χρυσοστόμου. *Τίνος ἕνεκεν πρὸ τῶν ἄλλων χαρισμάτων τὸ τῶν γλωσσῶν ἔλαβον οἱ Ἀπόστολοι; ἐπειδὴ πανταχοῦ διέρχεσθαι ἤμελλον· καὶ ὥσπερ ἐν καιρῷ τῆς πυργοποιΐας ἡ μία γλῶττα εἰς πολλὰς διετέμνετο, οὕτω τότε αἱ πολλαὶ γλῶσσαι πολλάκις εἰς ἕνα ἄνθρωπον ἤεσαν· καὶ ὁ αὐτὸς καὶ τῇ Περσῶν καὶ τῇ Ῥωμαίων καὶ τῇ Ἰνδῶν καὶ ταῖς πολλαῖς διελέγετο γλωσσαῖς, τοῦ Πνεύματος ἐνηχοῦντος αὐτῷ· καὶ τὸ χάρισμα ἐκαλεῖτο[u] χάρισμα γλωσσῶν, ἐπειδὴ πολλαῖς ἀθρόον ἠδύνατο λαλεῖν φωναῖς.*

5 Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

[s] Est vacuum spatium in Cod. [t] λαλῖν Cod. [u] Hinc denuo descr. Cod. N.C.

Οὐκ ἂν εἶπε παντὸς καὶ τῶν Ἀποστόλων ὄντων ἐκεῖ· εἰ μὴ καὶ οἱ ἄλλοι μετέσχον· οὐ γὰρ ἂν αὐτοὺς ἄνω καὶ κατ' ἰδίαν προειπὼν καὶ ὀνομαστὶ, νῦν συνῆψεν ἐν τοιούτῳ πράγματι· εἰ γὰρ ὅπου εἰπεῖν ἦν, ὅτι παρῆσαν, κατ' ἰδίαν τῶν Ἀποστόλων μνημονεύει, πολλῷ μᾶλλον ἐνταῦθα.

Τοῦ Χρυσοστόμου. Τὸ κατοικεῖν εὐλαβείας ἦν σημεῖον, ἀπὸ τοσούτων ἐθνῶν πατρίδας ἀφέντες καὶ οἰκίαν καὶ συγγενεῖς, ἐκεῖ οἰκεῖν.

Ἀντὶ τοῦ ἀπὸ πολλῶν ἐθνῶν· τὸ γὰρ παντὸς ἐπὶ πολλῶν ἐκλαμβάνει ἡ γραφὴ ὑπερβολικῶς χρωμένη· οὕτως εἴρηται καὶ τὸ "ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·" καὶ τὸ "οἱ πάντες τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ." καὶ τὸ, "οὐκ ἔστι δίκαιος οὐδὲ εἷς·" ἀπὸ τοῦ καθόλου τοὺς πόλλους σημαίνουσα.

Ἵνα δείξῃ αὐτοὺς κατὰ τὸν νόμον τρὶς τοῦ ἐνιαυτοῦ φαίνεσθαι ἐν τῷ ναῷ· ἐκεῖ ᾤκουν οἱ ἀπὸ πάντων τῶν ἐθνῶν.

Διδύμου. Τὸ ἀπὸ παντὸς ἔθνους ἁπλούστερον ἐκληπτέον· ἴσον δυνάμενον τῷ ἀπὸ πολλῶν· μᾶλλον δέ τις βιαιότερον ἐπιχειρήσει λέγων ἐπὶ τοὺς εὐλαβεῖς Ἰουδαίους τοὺς κατοικοῦντας Ἱερουσαλὴμ φησὶ, τὸ ἀπὸ παντὸς ἔθνους δηλοῖ τῶν ἐν Ἱερουσαλὴμ ὄντων· οἷον, λόγου χάριν ἤτωσαν τὰ πάντα ἔθνη ἑβδομήκοντα· ἀπὸ τούτων τῶν ἑβδομήκοντα, τινὰ ἔθνη ἐτύγχανεν ἐν τῇ Ἱερουσαλήμ· φέρε ἀπὸ τούτων εἴκοσιν οἱ ὄντες εὐλαβεῖς Ἰουδαῖοι ἐν τῇ Ἱερουσαλὴμ ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ· ὡς τὸ ἀπὸ παντὸς ἔθνους μὴ καθάπαξ εἰρῆσθαι, ἀλλὰ τοῦ ὄντος ἐν τῇ Ἱερουσαλήμ. ἐὰν δὲ ἔθνη εἴκοσιν ὑποθώμεθα ἐν τῇ Ἱερουσαλὴμ εἶναι, μὴ νομιζέτω τις ἐξ ὁλοκλήρου τὰ εἴκοσιν ἔθνη εἶναι ἐν τῇ Ἱερουσαλήμ· ἀλλ' ἀπὸ τούτων τινὰς ἀνθρώπους· συμφώνως τούτους νοῆσαι σπουδαστέον, καὶ τὴν προφητείαν τοῦ Ἰωὴλ τὴν ἐκ προσώπου τοῦ Θεοῦ λέγουσαν "ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα," ἀλλὰ τὴν παρεσκευασμένην δέξασθαι τὸ Πνεῦμα δίδοσθαι αὐτὸ ῥητέον.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ γὰρ ἐν οἰκίᾳ ἐγένετο τὸ γινόμενον, εἰκότως ἔξωθεν συνέδραμον.

Τοῦ αὐτοῦ. Διὰ τὴν τῶν ἐθνῶν δωρεὰν αἱ γλῶσσαι· ἔδει οὖν τὴν ἀπαρχὴν τῶν ἐθνῶν ἐκεῖθεν λαβεῖν τὸ σημεῖον. ἐγένετο ἄφνω

ἐκ τοῦ οὐρανοῦ φωνὴ, ἵνα καὶ ἐκ τοῦ γενομένου συναχθῇ τὸ πλῆθος· οἶδας δὲ τῶν ἀνθρώπων τὸ φιλοπράγμον[u]*, ὅτι οὐκ ἀνέχεται ὁ ἄνθρωπος μὴ ἐρωτῆσαι· σεισμός ἐστιν; ἄνεμός ἐστι; Θεὸς ᾠκονόμησε τοῦτο· εἶτα λέγουσιν οὔ. ἀλλ' οἱ μαθηταὶ τοῦ σταυρωθέντος Πνεῦμα Ἅγιον ἔλαβον· ἤρξαντο πάντες οὐχ ὡς φίλοι τέως, ἀλλ' ὡς θεωροὶ τοῦ ξένου θεάματος ἑστάναι· "γενομένης δέ, φησι, "τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη" διὰ τὸν φόβον· καὶ ἵνα δείξῃ ὅτι τὴν σύγχυσιν εἰργάσατο ὁ φόβος, καὶ τὸ ξένον τοῦ θεάματος, λέγει, συνεχύθησαν τῷ φόβῳ· ἔστιν οὖν σύγχυσις κατάστασιν ἐργαζομένη· ὅταν συγχέῃ σε φόβος Θεοῦ, εἰς κατάνυξιν φέρει· συνεχύθης διὰ τὴν συνείδησιν τῶν ἁμαρτημάτων· κατέστης διὰ τὴν ἐλπίδα τῆς μετανοίας.*

Καὶ συνεχύθη, ὅτι ἤκουσεν εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

Τοῦ Χρυσοστόμου. *Εἰκότως· ἐνόμιζον γὰρ αὐτῶν τέλος ἔχειν τὸ πρᾶγμα διὰ τὴν γενομένην τόλμαν κατὰ τοῦ Χριστοῦ· καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχὰς, ἐν χερσὶν ἔτι οὔσης τῆς σφαγῆς· καὶ πάντα αὐτοὺς ἐπτόει.*

7 Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον.

Τοῦ αὐτοῦ. *Ἐξίσταντο καὶ ἐθαύμαζον λέγοντες· "οὐκ ἰδοὺ "πάντες οὗτοι·" πρὸς τοὺς Ἀποστόλους ἑώρων; ὁρᾷς ἐξ ἀνατολῶν εἰς δυσμὰς αὐτοὺς τρέχοντας· "ἕτεροι διαχλευάζοντες ἔλεγον, ὅτι γλεύ- "κους μεμεστωμένοι εἰσίν·" ὢ τῆς ἀνοίας· ὢ τῆς κακίας τῆς πολλῆς· καίτοι οὐδὲ καιρὸς ἦν· τὸ δεινότερον, ὅτι ἐκείνων ὁμολογούντων, Ἰουδαίων ὄντων, τῶν σταυρωσάντων· ἴσως ἐκεῖνοι μετὰ τὸ εἰπεῖν τοσαῦτα λέγουσιν "ὅτι γλεύκους μεμεστωμένοι εἰσίν." "οὐκ ἰδοὺ," φησι, "πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι·" καὶ γὰρ τοῦτο ὡμολόγητο· οὕτως αὐτοὺς ἐποίησεν ὁ ἦχος· τὸ γὰρ πλέον τῆς οἰκουμένης κατέλαβε· τοῦτο ἐνεύρου τοὺς Ἀποστόλους.*

Τοῦ ἁγίου Σευηριανοῦ ἐπισκόπου Γαβάλων. *Ἐνενόουν πρὸς ἀλλήλους λέγοντες πάντες οἱ ἐξ ἐθνῶν· "οὐκ ἰδοὺ πάντες οἱ "λαλοῦντες εἰσὶ Γαλιλαῖοι;" ἐγνωρίζοντο γὰρ καὶ ἀπὸ τοῦ Σωτῆρος καὶ ἀπὸ τῆς λαλιᾶς τῆς πρώτης. Καὶ μετ' ὀλίγα—δεκάπεντε*

[u] *φιλοπράγμονον* Cod.

δὲ γλωσσῶν ἔλαβον τέως χαρίσματα, ὅσον πρὸς τοὺς παρόντας· τίς γὰρ ἦν χρεία Περσικῆς γλώττης, μὴ παρόντων Περσῶν; ἀλλ' ὥσπερ ἐν τοῖς πολέμοις πᾶσα μηχανὴ κατασκευάζεται καὶ πᾶσα μαγγανεία, ἕκαστον δὲ τούτων ἐνεργεῖ πρὸς τὴν χρείαν καὶ τὴν ἀναγκὴν τὴν καταλαβοῦσαν, οὕτως τοσαῦται γλῶσσαι ἐφάνησαν τότε, ὅσαι ἦσαν καὶ τῶν ἐθνῶν ἀπαρχαί. Διατί δὲ δεκαπέντε γλωσσῶν ἀπαρχαί; ἵνα καὶ ἡ ἐνέργεια τῆς Τριάδος φανῇ· καὶ ὑπηρέται οἱ δώδεκα· καὶ πρόσεχε, παρακαλῶ, ἐν τῇ τῶν θαυμάτων φανερώσει συνεισῆγον οἱ Ἀπόστολοι, καὶ τὸ κήρυγμα τὸ εὐτελὲς τοῦ σταυροῦ· ἵνα ἀπὸ τοῦ φαινομένου ἐνδόξου ἀναιρεθῇ μὲν τὰ τῆς εὐτελοῦς ὑπονοίας, ὑποφαίνηται δὲ κατὰ μέρος καὶ οἰκονομῆται ἡ τοῦ σταυροῦ χάρις· καὶ τὰ γινόμενα ἀντιμαρτυρήσῃ ταῖς τῶν πολλῶν ὑπονοίαις· ὅτι ἄλλο τὸ νομιζόμενον, καὶ ἄλλο τὸ ἐνεργοῦν· οἷον ἐλάλουν οἱ Ἀπόστολοι ταύτην τὴν χάριν, ἣν ἐλάβομεν διὰ τὸν παθόντα, τὸν σταυρωθέντα, τὸν οὐρανοῦ δεσποτήν· καὶ οὐκ ἐδόκουν ἐναντία λέγειν· αὕτη γὰρ ἡ γλῶσσα παροῦσα, ἔλυε τὴν ὑποψίαν καὶ ἐβεβαίου τὸ κήρυγμα. Ἐλάλουν οὖν τὰ μεγαλεῖα τοῦ Θεοῦ· ἦν ἰδεῖν τὸν Γαλιλαῖον Πέτρον Ῥωμαϊστὶ λαλοῦντα, γλῶσσαν ἣν οὐκ ἔμαθεν· ἵνα πληρώθῃ καὶ τὸ ἀρχαῖον ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου, "γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν." οἰκονομεῖ δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα μὴ ᾖ στάσις ἐν τοῖς Ἀποστόλοις, τὸ ποῦ δεῖ ἕκαστον ἀπελθεῖν· καὶ δίδοται ἑκάστῳ γλῶσσα καθάπερ κανών· Ῥωμαϊστὶ λαλεῖς, ἄπελθε εἰς τὴν Ῥώμην· Περσιστὶ λαλεῖς, ἄπελθε εἰς τὴν Περσίδα. καὶ ὥσπερ ἡ χειροτονία ἡ ἱερατικὴ μηνύει τῷ χειροτονουμένῳ τὸ ἀξίωμα, εἴτε διάκονος, εἴτε πρεσβύτερος, εἴτε Ἐπίσκοπος· καὶ οὐ δύναται ἐκφωνηθεῖσαν αὐτῷ κήρυξιν ἁρπάσαι ἑαυτῷ ἄλλο ἀξίωμα, οὕτως καὶ οἱ Ἀπόστολοι ἐκ τῆς γλώσσης ἔλαβον τὸν κανόνα. ἀλλ' ἐπειδὴ πάλιν ἐχρῆν αὐτοὺς ἐν ὅσῳ ἀπήεσαν ἐς τὴν Ῥώμην, διέρχεσθαι διὰ πολλῶν ἐθνῶν, ἐλάμβανον ὥσπερ[x] βοηθοὺς ἄλλας γλώσσας· τὴν πρώτην ἀπὸ χειροτονίας ἔχοντες. Εὑρίσκεται γὰρ ἕκαστος τῶν Ἀποστόλων καὶ διαφόροις γλώσσαις λαλῶν· ἐπειδὴ καὶ διὰ πολλῶν παρήεσαν ἐθνῶν, ὡς λέγει Παῦλος· "εὐχαριστῶ τῷ Θεῷ· πάντων ὑμῶν γλώσσαις λαλῶ·" ἐλάλησε Ῥωμαϊστὶ Πέτρος, καὶ ἐκηρύττετο αὐτῷ ἡ τῶν Ῥωμαίων

[x] Sic Cod. corr. rec. m. in marg. ὡς παραβοηθούς.

ἀρχή· καὶ ἦν κανὼν καὶ ὅρος, ὅτι σοι ἀφώρισται· οὗτος ἐξέλθοι εἰς τὴν ἀνατολήν· οὗτος εἰς τὴν δύσιν, καὶ καταλαμπέτω τὰ ἑσπέρια μέρη· οὗτος τὰ βόρεια· οὗτος τὰ νότια· καὶ ἐσκορπίζοντο οἱ κήρυκες ὡς ἀστραπαὶ ἀθρόως πηδῶσαι, καθὼς εἴρηται περὶ αὐτῶν διὰ τῆς προφητικῆς γλώσσης· " ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκου-" μένῃ· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ·" καὶ μὴν ἀστραπὴ οὐ σαλεύει γῆν, ἀλλὰ σεισμός· ἀλλ' ἐπειδὴ τὸ κήρυγμα τῶν Ἀποστόλων ἠλευθέρωσε τὰ ἔθνη ὡς πρὸς καινοτομίαν ἀγανακτοῦντα· " εἶδε καὶ " ἐσαλεύθη ἡ γῆ·" καὶ πῶς ἐσαλεύετο; ὅτε εἰσῆλθε Παῦλος εἰς Μακεδονίαν, ἐσαλεύθη ἡ γῆ· ἤρξαντο γὰρ οἱ Ἕλληνες λέγειν, ὅτι " οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισι·" ταῦτα δὲ τύπος ἡμῖν ἐγένετο· ἵνα μηδέποτε ἀκούων ὕβρεως λόγον λυπηθῇς· οὐδὲν γὰρ λέγεται ξένον, οἱ οἰκοφθόροι, οἱ Χριστιανοί, οἱ ἀνασεισταί· ταῦτα περὶ τῶν φωστήρων ἐκείνων ἐλέχθη· " γλεύκους " μεμεστωμένοι εἰσίν·" οὐ λείπει φθόνος τῇ ἀρετῇ· οὐ λείπει τῇ τοῦ Θεοῦ διδασκαλίᾳ ἡ τῶν κακῶν βάσανος.

Λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ ἅπαντες οὗτοί
8 εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν
9 ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν· Πάρ-
θοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν
Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον
10 καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον
καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπι-
11 δημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆ-
τες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμε-
12 τέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; ἐξίσταντο δὲ
πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί
τοῦτο θέλει εἶναι;

Τοῦ Χρυσοστόμου. *Οὐ γὰρ ἁπλῶς ἐλάλουν, ἀλλὰ τινὰ θαυμαστὰ ἔλεγον. εἰκότως τοίνυν ἠπόρουν· οὐδέποτε γὰρ γέγονέ τι τοιοῦτον· ὅρα εὐγνωμοσύνην ἀνθρώπων.*

13 Ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμε-
στωμένοι εἰσίν.

Τοῦ αὐτοῦ. Ὦ τῆς ἀναισχυντίας· καὶ τί θαυμαστόν; ὅπου γε καὶ αὐτὸν τὸν δεσπότην δαίμονας ἐλαύνοντα, δαίμονα ἔχειν λέγουσιν· ἔνθα γὰρ ἂν ᾖ ἰταμότης, ζητεῖ μόνον εἰπεῖν ὅτι δήποτε· οὐχ ὅπως ὅτι λόγῳ πρᾶγμα ἐχόμενον εἴποι, ἀλλ' ὅπως εἴποι ὅτι δήποτε.

Ἐξ ἀνεπιγράφου. Ἀρξαμένους δὲ τοῦ τοιοῦδε ἐν τῷ λέγειν "γλεύκους μεμεστωμένοι εἰσὶ" παραχρῆμα ὁ Πέτρος ἄλλος ἐξ ἄλλου γενόμενος, πνευματικώτερός τε καὶ ἐξουσιαστικώτερος ἢ τὸ πρίν, τῇ ἐφιζήσει τοῦ κληρωθέντος αὐτῷ χαρίσματος τοῦ Πνεύματος· καὶ τὴν ὥραν θεωρῶν συνερχομένην εἰς συνηγορίαν αὐτῷ οὖσαν τρίτην τῆς ἡμέρας, τῶν τε τολμημένων εἰς τὸν ἐσταυρώμενον· ὧν ἕνεκεν ἐτόλμησεν ἂν οὐδαμῶς εἰς μέσον τί προσθεῖναι τοῖς διαχειρισαμένοις τὸν Κύριον, εἰ μὴ τὴν ἐξουσίαν εἰλήφει τοῦ φανερωθέντος Πνεύματος κατὰ τὴν ἐπαγγελίαν τοῦ Χριστοῦ, ἐπαγγειλαμένου αὐτοῖς ἐρωτήσασι τὰ περὶ τῆς βασιλείας τοῦ Ἰσραὴλ, "ὅτι λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς·" διὸ παρρησιέστερον ἀρξάμενος αὐτοὺς καλεῖ ἵστορας τῶν τετολμημένων.

Σευηριανοῦ. Θεὸς ἐνήργει, καὶ τῇ μέθῃ ἐπέγραφον· μέθης ἐνομίσθη καρπὸς, ὁ τοῦ Ἁγίου Πνεύματος καρπός. Ὅρα τὴν κακίαν καὶ ἀπὸ τοῦ χρόνου καὶ ἀπὸ τῆς ὥρας ἐλεγχομένην· ἐν τῇ Πεντηκοστῇ πόθεν γλεῦκος; γλεῦκος γὰρ λέγεται ὁ νέος οἶνος· ἀλλὰ τὸ ψεῦδος ἐστὶ τυφλὸν, οὐκ οἶδε πῶς ψεύδεται· εἶτα μέθη διαφόρους γλώσσας δίδωσιν; ἢ καὶ τὴν οὖσαν ἀφανίζει. Ὅρα δὲ τί κατασκευάζει Θεός· ἀφίει τὴν ἀρετὴν ὑπονοηθῆναι εἰς χλεύην· ἵνα πρῶτον συνέλθῃ τὸ πλῆθος τῶν χλευαζόντων, καὶ τότε λάμψει ἡ δύναμις τῶν ἁγίων· καὶ οὕτως ἡ ἐνέργεια δειχθῇ πολιορκοῦσα τὸ ψεῦδος· ἢ οὐκ οἶδας ὅτι πολλοὶ πολλάκις συνειδότες τισὶν ἀρετὴν ἢ λόγου, ἢ τρόπου, ἢ βίου, ὀκνοῦσι καὶ παραβάλλειν αὐτοῦ τῇ ὄψει, ἵνα μὴ πλήττωνται αὐτῷ τῷ προσώπῳ ἐλεγχόμενοι. εἰ μὴ ὑπενόηθη χλεύη, παρῃτοῦντο Ἰουδαῖοι εἰσελθεῖν καὶ ἀκοῦσαι· συνεχώρησεν οὖν ὁ Θεὸς, ἵνα ἡ χλεύη πολλοὺς συναγάγῃ.

Σευήρου ἐπισκόπου Ἀντιοχείας. Τῶν Ἀποστόλων τὴν εὐαγγελικὴν διδασκαλίαν προφερόντων ἐν καινότητι Πνεύματος καὶ οὐ παλαιότητι γράμματος· καὶ τούτου σημεῖον παρεχομένων τὸ λαλεῖν παντὶ γένει γλωσσῶν· οἱ ἐν ταῖς ἁμαρτίαις καταγηράσαν-

τες Ἰουδαῖοι τὸ ἀληθὲς καὶ ἄκοντες ἔλεγον· "ὅτι γλεύκους μεμεστωμένοι εἰσίν·" οἶνος γὰρ νέος ἦν, ἡ τελεία τοῦ Πνεύματος χάρις, ἧς οἱ Ἀπόστολοι ταῖς πυρίναις γλώσσαις καθαρθέντες πλήρεις ἐγίνοντο.

[x]Πέτρου Κατήχησις.

14 **Στάθεις δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς.**

Τοῦ Χρυσοστόμου. Ὅτι οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσεν· ὅτι οὐκ ἐξεστήκασι καθάπερ οἱ μάντεις· καὶ τοῦτο οὐκ ἀνάγκῃ κατείχοντο· τί δέ ἐστι σὺν τοῖς ἕνδεκα; κοινὴν προεβάλλοντο φωνὴν, καὶ πάντων αὐτὸς ἦν τὸ στόμα· παρεστήκασι δὲ οἱ ἕνδεκα μαρτυροῦντες τοῖς λεγομένοις· "ἐπῆρε τὴν φωνὴν αὐτοῦ," φησιν, τουτέστι μετὰ πολλῆς τῆς παρρησίας· ἵνα μάθωσι τοῦ Πνεύματος τὴν χάριν. Ὁ γὰρ μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς, οὗτος ἐν μέσῳ δήμῳ φωνούντων μετὰ τοσαύτης διαλέγεται παρρησίας, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως τοῦτο γενέσθαι τεκμήριον· μεταξὺ γελώντων ἀνθρώπων καὶ τὰ τοιαῦτα διαχλευαζόντων· πόσης εἶναι νομίζεις ἰταμότητος τοῦτο; πόσης ἀσεβείας; πόσης ἀναισχυντίας; ἔνθα γὰρ ἂν παραγένηται τὸ Πνεῦμα τὸ Ἅγιον, χρυσοῦς ἀντὶ πηλίνων ποιεῖ. Ὅρα μοι λοιπὸν Πέτρον· καὶ ἐξέταζε τὸν δειλόν· σκόπει δὲ τῶν Ἀποστόλων τὴν ὁμόνοιαν· αὐτοὶ παρεχώρουν αὐτῷ τῆς δημηγορίας[y], οὐ γὰρ ἔδει πάντας φθέγγεσθαι.

Σευηριανοῦ. Μάθε λοιπὸν τί ἐνεργεῖ Πνεῦμα Ἅγιον· βλέπε τίς ἦν Πέτρος πρὸ τῆς χάριτος· καὶ τίς ἐγένετο μετὰ τὴν χάριν· πρὶν δέξεται τὰς γλώσσας τοῦ πυρὸς, ὑπὸ μιᾶς παιδίσκης οἰκτρᾶς ἐρωτώμενος ἐφοβήθη, καὶ λέγει, "οὐκ οἶδα τὸν ἄνθρωπον." ἐκεῖ μία παιδίσκη, καὶ δειλία πολλή· ὧδε πλῆθος ἄπειρον, καὶ φωνὴ εὐπαρρησίαστος· διατί; "οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ "τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν." "Σταθεὶς ὁ "Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ." ἐπαρρησιάσατο· οὐκ εἶπεν ἐφθέγξατο, ἀλλ' "ἀπεφθέγξατο·" πρὸς οἷς ἐλάλησεν ἐν γλώσσῃ, ἐπεφθέγξατο τῇ διδασκαλίᾳ.

[x] Asteriscus quo hæc Cap. sectio notari debuerat excidit e Cod.
[y] δημιγορίας Cod.

Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες.

Τοῦ Χρυσοστόμου. Οὓς ξένους εἶπεν ἀνωτέρω, ἐνταῦθα πρὸς ἐκείνους τείνει τὸν λόγον τοὺς διαχλευάζοντας· καὶ δοκεῖ μὲν ἐκείνοις διαλέγεσθαι· ὀρθοῖ[z] δὲ τούτους· καὶ γὰρ ᾠκονομήθη τινὰς διαχλευάσαι, ἵν᾽ ἀρχὴν τῆς ἀπολογίας λάβῃ, καὶ ἀπολογούμενος διδάξῃ· μέγα ἄρα ἐγκώμιον ἡγοῦντο καὶ τὸ ἐν Ἱεροσολύμοις οἰκεῖν.

15 Τοῦτο γνωστὸν ὑμῖν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου· οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν.

Σευηριανοῦ. Ἐννόησον τὸν τότε φοβηθέντα, νῦν παρρησιαζόμενον· τὸν τότε δειλὸν, νῦν ἀνδρεῖον.

Τοῦ Χρυσοστόμου. Προσεκτικωτέρους τέως αὐτοὺς ἐποίησεν.

Τοῦ αὐτοῦ. Τὸ ἐν τρίτῃ ὥρᾳ ταῦτα γενέσθαι οὐχ ἁπλῶς· τότε γὰρ τὸ λαμπρὸν τοῦ πυρὸς δείκνυται, ὅτι περὶ ἔργα ἔχουσιν οἱ ἄνθρωποι· ὅτε περὶ ἄριστον· ὅτε λαμπρὰ ἡ ἡμέρα· ὅτε πάντες εἰσιν ἐπ᾽ ἀγορᾶς· ὁρᾷς ἐλευθερίας τὸν λόγον γέμοντα.

Ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας.

Σευηριανοῦ. Οὐδὲ ἡ ὥρα, φησὶν, ἐνέτρεψεν ὑμᾶς; ὥρᾳ τρίτῃ μεθύουσιν οἱ τοῦ λόγου τὸν δρόμον πιστευθέντες; οἱ τὴν κοινὴν τοῦ κόσμου πραγματείαν ἐπανειλημμένοι; αἰδοῦνται τὴν εὔκαιρον μετάληψιν τοῦ οἴνου· καὶ ἡμεῖς οἱ κήρυκες τοῦ νόμου, οἱ τὴν οὐρανίον διδασκαλίαν ἐγχειρισθέντες, ἡμεῖς μὲν ἀπὸ τοῦ καιροῦ τῶν καρπῶν ἐδείξαμεν τὸ ψεῦδος, ὁ δὲ Πέτρος καὶ ἀπὸ τῆς ὥρας.

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ Προφήτου Ἰωήλ.

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τῶν Οὐαλέντος καὶ Μαρκίωνος. Ὁ οὖν διὰ τοῦ Προφήτου ἐπαγγειλάμενος Θεὸς πέμψειν τὸ Πνεῦμα αὐτοῦ ἐπὶ τὴν ἀνθρωπότητα, οὗτος καὶ ἔπεμψε, καὶ Θεὸς ὑπὸ Πέτρου καταγγέλλεται τὴν ἰδίαν ἐπαγγελίαν πεπληρωκώς.

Τοῦ Χρυσοστόμου. Οὐδαμοῦ τέως ὄνομα τοῦ Χριστοῦ, οὐδὲ ἐπαγγελία αὐτοῦ, ἀλλὰ τοῦ Πατρὸς ἡ ἐπαγγελία· ὅρα σύνεσιν·

[z] ὀρθοὶ Cod.

ὅρα συγκατάβασιν· οὐ παρῆλθε καὶ εἶπεν εὐθέως τὰ κατὰ τὸν Χριστὸν, ὅτι ἐκεῖνος ἐπηγγείλατο ταῦτα μετὰ τὸ σταυρωθῆναι· ἢ γὰρ ἂν πάντα ἀνέτρεψεν οὕτως εἰπών· καίτοι ἱκανὰ ἦν δεῖξαι αὐτοῦ τὴν θεότητα, ἀλλὰ πιστευόμενα· τὸ δὲ ζητούμενον πιστευθῆναι ἦν· μὴ πιστευόμενα δὲ ἂν καταλευσθῆναι αὐτοὺς ἐποίησεν.

Σετηριανοῦ. *Ὁρᾷς ὅτι τὰς ἀπορίας ἄλλο οὐ λύει ἢ μαρτυρία προφητική· τοῦτο δὲ λέγω, ἵνα ὅτε κινεῖ αἱρετικὸς πρὸς ὀρθόδοξον, καὶ ἀνακύπτει τι τῶν ἀπόρων ζητημάτων, μὴ καταφύγῃς ἐπὶ τοὺς λογισμούς· ἐνθυμήσεις γὰρ λογισμῶν καὶ λέγονται καὶ ἀνατρέπονται, καὶ συνίστανται καὶ ἀποσυνίστανται· Θεοῦ δὲ φωνὴν τίς λύει; λογισμὸς λύεται· γραφὴ οὐ λύεται. Ἀπορούντων ἐκείνων λέγει ὁ Πέτρος· τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ Προφήτου Ἰωήλ*[z]*· "ἐκχεῶ ἀπὸ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·" οὐκ εἶπεν, ἐκχεῶ τὸ Πνεῦμά μου, ἀλλ' "ἀπὸ τοῦ Πνεύματος·" οὐ τὸ Πνεῦμα ἐκχεῖται, ἀλλ' ἡ δωρεὰ τοῦ Πνεύματος· "καὶ προφητεύ-" σουσι" καὶ τὰ ἑξῆς. Ὅρα πῶς διάφορος ἡ τοῦ Ἁγίου Πνεύματος ἀποκάλυψις· ὁ μὲν προφητεύει ἔχων τοῦ Πνεύματος τὴν χάριν· ἄλλος ἀτονῶν πρὸς τὸ ὑπηρετήσασθαι τοιούτῳ πράγματι, λαμβάνει τὸ τῶν ὁράσεων· ὡς εἶδεν ἕκτῃ ὥρᾳ τὴν εἰκόνα ὁ Πέτρος· ὡς ὁ Κορνήλιος ἐνάτῃ ὥρᾳ εἶδε τὸν ἄγγελον· ἐκεῖνο τὸ ἐν τῇ καρδίᾳ οὐ λέγεται ὅραμα, ἀλλ' ὅρασις· ἄλλως βλέπει τις ὅρασιν, ὡς φησὶν, ὁρῶν βάδιζε· ἄλλως δὲ ὁ τῇ ὄψει μόνον ὁρῶν τὸ θεώρημα· ἄλλως τὸ ἐνύπνιον τῇ φαντασίᾳ παιδεύεται. ἔστι δὲ τὸ μὲν πρῶτον προφητεία, τὸ δὲ δεύτερον ὅραμα· τὸ δὲ τρίτον ἐνύπνιον· "οἱ πρεσβύ-" τεροι ἐνύπνια ἐνυπνιασθήσονται," ἐπειδὴ τὸ γῆρας ἄτονον πρὸς τὴν ὑπηρεσίαν· εἰ καὶ οὐ δύναται διακονεῖσθαι, ἀλλὰ διὰ τὴν ἀρετὴν μὴ ὑβριζέσθω.*

17 Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.

Τοῦ Χρυσοστόμου. *Δίδωσι καὶ αὐτοὺς ἐλπίδας χρηστὰς ἔχειν· καὶ τέως οὐκ ἀφίησιν αὐτῶν εἶναι τὸ πλεονέκτημα· τὸ γὰρ αὐτῶν μόνων εἶναι, βασκανίαν ποιεῖ· ταύτῃ τὸν φθόνον ὑποτεμνόμενος.*

[z] Cod. *τί ἐν ἰωὴλ κυρίου Θεοῦ.* sed hæ voces signantur ut interpolatæ, et in marg. scr. *ἐκχεῶ* sec. manu.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς εἰς τὸν προφήτην Ἰωήλ. Καταγγέλλετε σαφῶς τὴν διὰ τοῦ Πνεύματος ἐπιφάνειαν, ἣν καὶ ἀπαρχὴν ὥσπερ καὶ τοῖς ἁγίοις Ἀποστόλοις κατέπεμψεν· "ἤρξαντο "γάρ," φησι, "λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου "αὐτοῖς ἀποφθέγγεσθαι·" ἀπεφθέγγοντο δὲ προφητεύοντες, ἤγουν συνιέντες τε καὶ λέγοντες τὰ διὰ τῶν ἁγίων προφητῶν ἐπὶ Χριστῷ μαρτύρια· τὸ δὲ καὶ θυγατέρας προφητεύειν εἰπεῖν, τοῦτο ἦν δηλοῦντος τὸ τῆς χάριτος ἀμφιλαφές· τοὺς πρεσβυτέρους γε μὴν ἐνυπνίοις ἐνυπνιάζεσθαι, φησὶν, ὄψεσθαι δὲ καὶ ὁράσεις τοὺς νεανίσκους· πρεσβυτικὴν ἡλικίαν λέγων τὴν ὡς ἐν ποσότητι τῆς ἀρετῆς προύχουσάν τε καὶ ὑπερκειμένην, καὶ οἷον λαμπροῖς πεπολιωμένην κατορθώμασι· νεότητα δὲ τὴν ἐν πίστει ἰσχὺν καὶ ἀκμάζουσαν εἰς τὸ ἀγαθὸν γνώμην. ἀπόδειξις τοῦ μὲν προτέρου ὁ μακάριος Παῦλος, καθ' ὕπνον ἑωρακὼς τὸν Μακεδόνα λέγοντα, "διαβὰς εἰς "Μακεδονίαν βοήθησον ἡμῖν·" ἦν γὰρ πρεσβύτης τὸν νοῦν· τὸ δὲ δεύτερον Ἀνανίας, πρὸς ὃν ἐν ὁράματι λελάληκεν ὁ Θεὸς περὶ τοῦ μακαρίου Παύλου· ἦν γὰρ τὴν πίστιν εὔτονος.

Θεοδότου Ἀγκύρας[a]. Ἀλλὰ μὴν οὐκ εἶπεν ἰδικῶς τὸν καιρόν· ἤρκει γὰρ ἡ τοῦ Πνεύματος ἐνέργεια καὶ ἡ παρακολουθοῦσα θεία δύναμις δηλῶσαι τὸν σημαινόμενον καιρόν· ὃς δι' αὐτῶν τῶν πραγμάτων ἐδείχθη, ὁ ἐπὶ τῶν Ἀποστόλων ὑπάρχων. δείκνυται ἄρα διὰ πάντων ἐκεῖνον εἶναι τὸν παρὰ τοῦ προφήτου εἰρημένον καιρόν· οὐ γὰρ δύνανται κἂν ἀναισχυντῶσιν ἀντειπεῖν τούτῳ οἱ Ἰουδαῖοι· οὐ γὰρ ἔχουσιν ἕτερον ἐπιδεῖξαι καιρὸν παρ' ἐκεῖνον, ἐφ' ᾧ ταῦτα ἐξέβη.

Καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν.

Τοῦ Χρυσοστόμου. Οὔτε ὑμῶν τὸ κατόρθωμα τοῦτο, οὔτε ἐγκώμιον· εἰς τὰ παιδία τὰ ὑμέτερα διέβη ἡ χάρις· υἱοὺς αὐτοὺς αὐτῶν καλεῖ καὶ τοὺς πατέρας ἐκείνους.

Καὶ οἱ νεανισκοὶ ὑμῶν ὁράσεις ὄψονται καὶ οἱ πρεσ-
18 βύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καί γε ἐπὶ

[a] Θεοδώρου Cod., sed vid. Fabr. B. Gr. t. IX. p. 269.

F

τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσιν.

Τοῦ Αὐτοῦ. Τέως δείκνυσιν αὐτοὺς εὐδοκιμηκότας, ἅτε καταξιωθέντας· ἐκείνους δὲ οὐχὶ, ἅτε σταυρώσαντας. οὕτω καὶ ὁ Κύριος βουλόμενος αὐτῶν μαλάξαι τὸν θυμὸν, ἔλεγεν· "οἱ υἱοὶ "ὑμῶν ἐν τίνι ἐκβάλλουσι τὰ δαιμόνια;" οὐκ εἶπεν οἱ μαθηταί μου· καὶ γὰρ ἐδόκει κολακείας εἶναι· οὕτω καὶ αὐτὸς οὐκ εἶπεν ὅτι οὐ μεθύουσιν, ἀλλ' ὅτι Πνεύματι φθέγγονται· ἀλλ' ἐπὶ τὸν προφήτην κατέφυγε, καὶ αὐτὸν ὑποδὺς, οὕτω λέγει· τῆς μὲν γὰρ κατηγορίας αὐτοὺς ἀπαλλάξας δι' ἑαυτοῦ· τῆς δὲ χάριτος ἐκεῖνον παράγει μάρτυρα· "ἐκχεῶ," φησὶν, "ἀπὸ τοῦ Πνεύματός μου "ἐπὶ πᾶσαν σάρκα·" τοῖς μὲν γὰρ δι' ὀνείρων, τοῖς δὲ καὶ ἐμφανῶς ἡ χάρις ἐξεχεῖτο· καὶ γὰρ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο.

19 Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω.

Τοῦ Αὐτοῦ. Ταῦτα καὶ περὶ τῆς μελλούσης κρίσεως, καὶ περὶ τῶν Ἱεροσολύμων φησὶ, καὶ περὶ τῆς αἰχμαλωσίας.

Τοῦ Ἁγίου Κυρίλλου. Τὰ ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενησόμενα προδιδάσκει σαφῶς· καὶ τὰ δι' αὐτὸν τοῖς Ἰουδαίοις συμβαίνοντα διὰ τοῦ Ῥωμαίων πολέμου· τὴν δὲ Χριστοῦ ἡμέραν "τὴν "μεγάλην καὶ ἐπιφανῆ," τὴν τῆς ἀναστάσεως φησίν.

Σευηριανοῦ. Καὶ πρώην ἡμῖν εἴρηται· ὅτε τὸν περὶ τοῦ σταυροῦ ἀνελάβομεν λόγον, καὶ τὸ ἅγιον πάθος, καθὼς οἷόν τε ἦν, ἀνεπτύξαμεν τῇ θεωρίᾳ· ὅτι ἐδόθη δύο ξένα· αἷμα καὶ πῦρ· πῦρ, ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις· αἷμα, ἡ ἐκ τῆς πλευρᾶς προελθοῦσα χάρις· ἀδύνατον γὰρ ἀπὸ νεκροῦ σώματος προελθεῖν αἷμα· πήγνυται γὰρ διὰ τοῦτο, καὶ ἐν σημείοις αὐτὸ τίθησιν ὁ Θεός.

Διδύμου. Ὅταν οἱ φοροῦντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, τοῦ φωτὸς τοῦ ἀληθινοῦ μετειληφότες, λέγουσιν, "ἐσημειώθη ἐφ' ἡμᾶς "τὸ φῶς τοῦ προσώπου σου Κύριε·" δίδοται δὲ καὶ ἐπὶ γῆς τέρατα πάντων ἐθνῶν ἀναχωρούντων τῶν πατρώων ἐθῶν τε καὶ θεῶν, ἐπὶ τῷ δέξασθαι τὴν ἔκχυσιν τοῦ Πνεύματος· πρὸς τούτοις ἐρεῖ, καὶ τὰ

δοθέντα διὰ τοῦ Πνεύματος καὶ κατὰ τὸ Πνεῦμα, θεῖα χαρίσματα τοῖς ἐπὶ γῆς ἀνθρώποις εἶναι τὰ τέρατα· κληθείη δὲ ταῦτα ἀπὸ ἑτέρας ἀρχῆς οὕτως, ἐπεὶ ἑξῆς εἴρηται· " αἷμα καὶ πῦρ καὶ ἀτμίδα " καπνοῦ."

Νικολάου πρεσβυτέρου Ἀγκύρας εἰς τὸν προφήτην Ἰωήλ. *Ταῦτα ἔσται κατὰ τὸν καιρὸν καθ' ὃν τὰ ἐν οὐρανῷ τεράστια καὶ τὰ ἐπὶ τῆς γῆς φοβερὰ γενήσεται· αἵματος μὲν ὑπὸ Ῥωμαίων ἐκχεομένου πλείστου κατὰ τὴν Ἰουδαίαν· καπνοῦ δὲ ἐγγινομένου τῶν πόλεων καὶ τῶν κωμῶν ἐμπιπραμένων· δίκην τινόντων τῶν Ἰουδαίων τῆς εἰς Χριστὸν παροινίας· ἣν οὐδὲ αὐτὸς ὁ ἥλιος βλέπειν ἀνασχόμενος, μονονουχὶ τὸν ἴδιον ὀφθαλμὸν τὴν φωτιστικὴν αὐτοῦ δύναμιν συνέστελλε, καὶ σκότος τοῖς ἐσκοτισμένοις τὴν διάνοιαν ἔδειξεν· ἀλλ' οὐδὲ, φησὶν, ἡ σελήνη μεμένηκεν ἀπαθής· θυμουμένη δὲ ὡς εἰπεῖν κατὰ τῶν κυριοκτόνων, εἰς ἐρύθημα τὴν ἀργυροειδῆ μετέβαλεν ἑαυτῆς ἰδέαν.*

Αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ.

Τοῦ Χρυσοστόμου. *Ὁρᾷς πῶς τὴν ἅλωσιν ὑπέγραψεν.*

Σευηριανοῦ. *Πολλοὶ ἐνόμισαν ὅτι αἷμα περὶ τῆς σελήνης εἶπε, καὶ οὐ περὶ τῆς πλευρᾶς· αἷμα δὲ λέγω, ὃ ἐξέχεαν οἱ Ἰουδαῖοι, καὶ καθ' ἑαυτῶν ἐπεσπάσαντο λέγοντες, " τὸ αἷμα αὐτοῦ ἐφ' " ἡμᾶς καὶ τὰ τέκνα ἡμῶν·" καὶ μετὰ τὸ ἀνελεῖν ἀρνοῦνται· ἀεὶ γὰρ ἡ κακία καθ' ἑαυτῆς ὁρίζουσα μετανοεῖ, καὶ ἀνακαλεῖται τὰς ἰδίας φωνάς· οἱ εἰπόντες " τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς," λέγουσι τοῖς Ἀποστόλοις " τί βούλεσθε ἐφ' ἡμᾶς ἐπαγαγεῖν τὸ αἷμα τοῦ ἀν- " θρώπου τούτου;"*

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα.

Τοῦ Χρυσοστόμου. *Ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων τοῦτο γίνεται· λέγεται μὲν οὖν καὶ πολλὰ τοιαῦτα γεγενῆσθαι ἐν οὐρανῷ, καθὼς Ἰώσηπος μαρτυρεῖ· ἅμα δὲ καὶ αὐτοὺς τοῦ σκότους ἀναμνήσας τοῦ γεγενημένου, καὶ ποιῶν προσδοκᾶν τὰ μέλλοντα.*

Κυρίλλου. *Ἐπὶ ταῖς τῶν Ἰουδαίων δυσσεβείαις, ταῖς εἰς Χριστὸν δηλονότι γεγενημέναις, καὶ αὐτὴ τῶν στοιχείων δεδυσφό-*

ρηκεν ἡ φύσις· κατωλοφύρατο δὲ ὥσπερ ἡ κτίσις, ὑβρισμένον ὁρῶσα τὸν ἑαυτῆς δεσπότην· καὶ ὁ μὲν θεῖος ναὸς μονονουχὶ καὶ ἀσχάλλων τοῖς πενθοῦσιν ἐν ἴσῳ, περιερρήγνυτο· γέγραπται γὰρ ὅτι τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπὸ ἄνωθεν ἕως κάτω· ἥλιος δὲ τὸ οἰκεῖον ἀνάπτων σέλας, καὶ τὴν ἀκτῖνα συνενεγκὼν, οὐκ ἠξίου φαίνειν ἔτι τοῖς ἐπὶ τῆς γῆς· ἐποίει γὰρ σκότος ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης· ἐσχίζοντο δὲ καὶ αἱ πέτραι· τάχα δέ που καὶ περὶ τὸν τῆς σελήνης κύκλον ἐπράττετό τι τῶν ἀσυνήθων, ὡς δοκεῖν εἰς αἷμα μεταπεποιῆσθαι καὶ αὐτήν. Σεσίγηται μὲν οὖν τὸ τοιόνδε παρὰ τοῖς ἁγίοις Εὐαγγελισταῖς· ἀξιόχρεως γε μὴν ἡ πίστις ἐκ προφητείας, ὅτι τοῖς τοῦ δημιουργοῦ νεύμασιν οὐκ ἐν ἡλίῳ μόνῳ τὰ σημεῖα γέγονεν, ἀλλ' οἷον ὅλη πρὸς τὸ ἀκαλλὲς καὶ ἀσύνηθες αὐτῇ μετακεχώρηκεν ἡ κτίσις, σαφὲς ἂν γένοιτο διὰ φωνῆς λέγοντος Ἡσαΐου· "Καὶ ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ "θήσω ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ·" οὐρανὸν δὲ ὅταν λέγῃ, πάντα που πάντως φησὶν τὰ ἐν οὐρανῷ· καὶ οἷον σάκκῳ τῷ σκοτεινῷ καταμφιέσαι φησὶ, πενθοῦντά τε καὶ κατηλγηκότα· καὶ αὐτῷ δὴ τούτῳ διακεκραγότα τῷ σχήματι. Σημεῖα μὲν οὖν ἤτοι τέρατα, τὰ ἐν οὐρανῷ ταυτὶ φαίην ἄν· τὰ δέ γε εἰς γῆν "αἷμά "τε καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ," καταδήλως εἶεν ἂν οἶμαι που τὰς τῶν Ἰουδαίων συμφορὰς, ἃς ὁ παγχάλεπος αὐτοῖς ἐπεσώρευσε πόλεμος, ὁ διὰ τῆς Ῥωμαίων χειρός· αἵματι μὲν γὰρ ἡ πᾶσα μὲν αὐτοῖς κατερραίνετο χώρα· ἔμελλε δὲ ὅμου ταῖς πόλεσι καταπίμπρασθαι καὶ αὐτὸς ὁ διαβόητος νεώς· οἶκοί τε καπνίζεσθαι κατασεσεισμένοι· ὅτι δὲ καὶ πρὸ τῆς ἡμέρας τῆς μεγάλης καὶ ἐπιφανοῦς, καθ' ἣν ἅπασι τὸ θεῖον προκείσεται βῆμα Χριστοῦ διδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τὰ τοιάδε τοῖς Ἰουδαίοις συμβήσεται, διαμεμήνυκεν εἰπὼν, "πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν "μεγάλην καὶ ἐπιφανῆ."

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς ἐξαημέρου ὁμιλίας ϛ.

Ἤδη δὲ καὶ τῆς τοῦ παντὸς διαλύσεως ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις σημεῖα φανήσεσθαι ὁ Κύριος προηγόρευσεν· "ὁ ἥλιος "μεταστραφήσεται εἰς αἷμα, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος "αὐτῆς·" ταῦτα σημεῖα τῆς συμπληρώσεως καὶ τῆς τοῦ πάντος διαλύσεως.

Σευηριανοῦ. Ἐπειδὴ γὰρ ἡ πρώτη ἦν εὐτελὴς ἡ ἐν σαρκὶ, ἡ διδακτική· ἡ δὲ δευτέρα ἔνδοξος, τοῦ ἁγίου σώματος ἐκείνου οὐκέτι ἄλλως φαινομένου, ἀλλ' αὐγὰς φωτὸς ἀστράπτοντος, διὰ τοῦτο λέγει "τὴν ἡμέραν Κυρίου τὴν μεγάλην·" εἴρηται πολλάκις ἡμῖν, ὅτι Θεός ἐστιν ὁ λέγων "ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου πρὶν ἐλθεῖν "ἡμέραν Κυρίου·" εἰπὲ τῷ Ἰουδαίῳ, εἰ ἓν πρόσωπόν ἐστι, καὶ ἓν θεϊκόν ἐστιν ὄνομα, καὶ αὐτὸς λαλεῖ περὶ ἑαυτοῦ, διατί μὴ εἶπε πρὶν ἐλθεῖν τὴν ἡμέραν τὴν ἐμήν.

Πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

Τοῦ Χρυσοστόμου. Μὴ γὰρ ἐπειδὴ νῦν ἀτιμωρητὶ ἁμαρτάνετε, φησὶ, θαρσήσετε· ταῦτα γὰρ προοίμιά ἐστι μεγάλης τινὸς ἡμέρας καὶ χαλεπῆς· ὅρα πῶς αὐτῶν κατέσεισε τὴν ψυχὴν καὶ διέλυσε· καὶ τὸν γελῶτα μετέστρεψεν εἰς ἀπολογίαν· εἰ γὰρ ταῦτα προοίμια τῆς ἡμέρας ἐκείνης, ἀνάγκη παρὰ τῶν ἐσχάτων τὸν κίνδυνον ἐπηρτῆσθαι.

Νικολάου Ἀγκύρας. Συμβήσεται δὲ ταῦτα πρὸ τῆς τοῦ Κυρίου πάλιν ἐνδόξου καὶ φοβερᾶς ἐλεύσεως, καθ' ἣν μέλλει κρίνειν ζῶντάς τε καὶ νεκρούς· τουτέστιν, ἀδύνατον παρελθεῖν τουτονὶ τὸν αἰῶνα, μὴ πάντων τῶν εἰρημένων εἰς πέρας ἐλθόντων.

21 Καὶ ἔσται πᾶς ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου
σωθήσεται.

Τοῦ Χρυσοστόμου. "Ἐπικαλέσηται" οὐχ ἁπλῶς· οὐ γάρ, φησιν, ὁ λέγων μοι Κύριε, Κύριε, ἀλλὰ μετὰ διαθέσεως, μετὰ βίου ἀρίστου, μετὰ παρρησίας τῆς προσηκούσης· τέως δὲ κοῦφον ποιεῖ τὸν λόγον, τὸ τῆς πίστεως εἰσάγων, καὶ φοβερὸν τὸ τῆς κολάσεως, ὅτι ἐν ἐπικλήσει ἡ σωτηρία.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς εἰς τὸν Ἰωὴλ ἑρμηνείας. Ἔσονται μέν, φησιν, ἐν οὐρανῷ τε καὶ γῇ σημεῖα ἐπὶ τοῖς γινομένοις κατὰ Χριστοῦ δυσσεβήμασιν· ὅμως προκείσεται αὐτοῖς τὰ ἐξ ἡμερότητος, εἰ τὴν ἐν Χριστῷ δικαίωσιν ἀγαπήσαντες, ἕλοιντο Κύριον αὐτὸν ὁμολογεῖν· τὸ δὲ, οὓς Κύριος προκέκληται, τοῦτό ἐστιν, ὃ καὶ Παῦλος ἔφη· ὅτι "οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τι-"μὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ."

Διδύμου. Ὡς ἀληθεύεται τὸ "πᾶς ὁ αἰτῶν λαμβάνει," μὴ ἀριθμουμένων εἰς πάντας τοὺς αἰτουμένους τῶν κακῶς αἰτούντων· ὁ γὰρ κακῶς αἰτῶν οὐκ αἰτεῖται· οὕτως ἀληθές ἐστι τὸ "πᾶς, ὃς ἂν "ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται·" οὐ συμπεριλαμβανομένων τῶν ἄνευ τοῦ ποιεῖν τὸ θέλημα τοῦ Πατρὸς λεγόντων τὸν Ἰησοῦν Κύριον, Καὶ διὰ τοῦτο δοκούντων ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ. καὶ ἑτέρως· οὐ ταυτὸν τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου, καὶ λέγειν αὐτό· ὁ μὲν γὰρ εὐχόμενος, καὶ τυχεῖν τινὸς ἀγαθοῦ βουλόμενος ἐπικαλεῖται· ᾧ ἀκολούθως γίνεται σωτηρία· ὁ δὲ προσποιούμενος εἶναι δοῦλος, λέγει, Κύριε, Κύριε τῷ Ἰησοῦ, οὐ πράττων τὰ δούλου· ὅθεν πρὸς τοὺς τοιούτους φησί· "τί με λέγετε "Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω." παραπλησίως ἐκδέξῃ τὸ "πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται·" τῷ "οὐδεὶς "λέγει Κύριος Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ·" Κύριον, τοῦ ἔργῳ καὶ διαθέσει δουλεύοντος αὐτῷ, ἀλλ' οὐ μόνῃ ψιλῇ προφορᾷ λέγοντος τὸν Ἰησοῦν Κύριον.

Νικολάου Ἀγκύρας. Οὐκ Ἰουδαῖος μόνον, ἀλλὰ καὶ Ἕλλην καὶ βάρβαρος καὶ Σκύθης, καὶ ἁπλῶς εἰπεῖν πάντων τῶν εἰς Χριστὸν πιστευόντων ἡ ὁμήγυρις, ἡ ἐν Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἐπὶ τῶν Ἀποστόλων γενομένη, τῶν ἐκ τοῦ καταλείμματος τοῦ Ἰσραὴλ πρὸς τὸ εὐαγγελικὸν κληθέντων κήρυγμα.

[b] Περὶ πάθους καὶ ἀναστάσεως καὶ ἀναλήψεως Χριστοῦ, δωρεάς τε τοῦ Ἁγίου Πνεύματος.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους.

Τοῦ Χρυσοστόμου. Οὐκ ἔστι κολακείας τὰ ῥήματα, ἀλλ' ἐπειδὴ καθήψατο αὐτῶν σφόδρα, ἀνίησιν αὐτοὺς καὶ ἀναμιμνήσκει τοῦ προπάτορος, καὶ πάλιν ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν προφήτου ἀκούοντες· τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ εὐθέως ἂν αὐτοῖς προέστη· καὶ οὐκ εἶπε πείσθητε, ἀλλ' ἀκούσατε, ὅπερ ἦν ἀνεπαχθές.

Σχόλ. Ἰσραηλίτας αὐτοὺς καλεῖ διὰ τοὺς προπάτορας· προτρεπόμενος αὐτοὺς τούτων μεμνῆσθαι τὴν πίστιν.

Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς.

[b] Et hæc sectio asterisco notari debuit.

Τοῦ Ἁγίου Ἀθανασίου. Ἆρ' ἐπειδὴ τοῖς ῥήμασι τούτοις ἐχρήσαντο, μόνον τὸν ἄνθρωπον ᾔδεισαν τὸν Χριστὸν οἱ Ἀπόστολοι, καὶ πλέον οὐδέν; μὴ γένοιτο· οὐκ ἔστιν οὐδ' εἰς νοῦν τοῦτο λαβεῖν ποτέ· ἀλλὰ καὶ τοῦτο ὡς ἀρχιτέκτονες σοφοὶ καὶ οἰκονόμοι μυστηρίων Θεοῦ πεποιήκασι· καὶ τὴν αἰτίαν ἔχουσιν εὔλογον. Ἐπειδὴ γὰρ οἱ τότε Ἰουδαῖοι πλανηθέντες καὶ πλανήσαντες Ἕλληνας, ἐνόμιζον τὸν Χριστὸν ψιλὸν ἄνθρωπον μόνον ἐκ σπέρματος Δαβὶδ ἔρχεσθαι, καθ' ὁμοιότητα τῶν ἐκ τοῦ Δαβὶδ ἄλλων γενομένων τέκνων· οὔτε γὰρ Θεὸν αὐτὸν, οὐδ' ὅτι ὁ Λόγος σάρξ ἐγένετο, ἐπίστευον· τούτου ἕνεκα μετὰ πολλῆς τῆς συνέσεως οἱ μακάριοι Ἀπόστολοι τὰ ἀνθρώπινα τοῦ Σωτῆρος ἐξηγοῦντο τοῖς Ἰουδαίοις· ἵν' ὅλως πείσαντες αὐτοὺς ἐκ τῶν φαινομένων καὶ γενομένων σημείων ἐληλυθέναι τὸν Χριστὸν, λοιπὸν καὶ εἰς τὴν περὶ τῆς θειότητος πίστιν αὐτοὺς ἀγάγωσι· δεικνύντες ὅτι τὰ γενόμενα ἔργα οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ Θεοῦ· ἀμέλει Πέτρος ὁ λέγων ἄνδρα παθητὸν τὸν Χριστὸν, εὐθὺς συνῆπτεν, οὗτος "ἀρχηγὸς τῆς ζωῆς ἐστιν·" ἐν δὲ τῷ Εὐαγγελίῳ ὁμολογεῖ· "σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ "τοῦ ζῶντος·" ἐν δὲ τῇ Ἐπιστολῇ φησὶν αὐτὸν "ἐπίσκοπον ψυ-"χῶν·" καὶ Κύριον ἑαυτοῦ τὲ καὶ τῶν Ἀγγέλων καὶ δυναμέων εἶναι· πάλιν τὲ ὁ Παῦλος, ὁ λέγων ἄνδρα ἐκ σπέρματος Δαβὶδ εἶναι τὸν Υἱὸν, οὗτος ἐπέστελλεν Ἑβραίοις μὲν, "ὃς ὢν ἀπαύγασμα τῆς "δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ·" Φιλιππησίοις δὲ, "ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα "Θεῷ." τὸ δὲ λέγειν ἀρχηγὸν ζωῆς, καὶ Υἱὸν τοῦ Θεοῦ, καὶ ἀπαύγασμα καὶ χαρακτῆρα, καὶ ἴσα Θεῷ, καὶ Κύριον, καὶ Ἐπίσκοπον ψυχῶν, τί ἂν εἴη ἕτερον ἢ ὅτι ἐν σώματι Λόγος ἦν Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο· καὶ ἔστιν ἀδιαίρετος τοῦ Πατρὸς, ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς;

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς οὐδὲν λέγει τῶν ὑψηλῶν, ἀλλ' ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται· καὶ εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι· καὶ οὐδὲν μέγα λέγει περὶ αὐτοῦ· οὐδὲ οἷον ἄν τις εἴποι περὶ προφήτου τέως· "Ἰησοῦν," φησὶ, "τὸν "Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς." Ὅρα ποῖον ἦν μέγα τὸ εἰπεῖν, ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη· τοῦτο γὰρ ἄνω καὶ κάτω, καὶ αὐτὸς ἐσπούδαζε, καὶ Ἰωάννης καὶ οἱ

Ἀπόστολοι, δεῖξαι· ἄκουε γὰρ Ἰωάννου λέγοντος· "ἐκεῖνός μοι εἶπεν, "ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗ-"τος ἐστιν." αὐτὸς δὲ ὁ Χριστὸς καὶ μεθ' ὑπερβολῆς τοῦτο ποιεῖ λέγων· "ἀπ' ἐμαυτοῦ οὐχ ἥκω· ἐκεῖνος με ἔπεμψε," καὶ πανταχοῦ τῶν γραφῶν τοῦτο μάλιστά ἐστι τὸ σπουδαζόμενον.

Ἐξ ἀνεπιγράφου. Τοῦτό φησιν· ἐπειδὴ Θεοῦ υἱὸς ὢν, καὶ Θεὸς Λόγος, γέγονεν ἄνθρωπος, λαβὼν δούλου μορφήν· ὡς εἶναι τὸν ἐπιδημήσαντα Χριστὸν ἄνθρωπον ἅμα καὶ Θεόν. ὥσπερ οὖν ὅταν ὁ Χριστὸς λέγηται "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία," περὶ τῆς θεότητος αὐτοῦ τὰ λεγόμενα ἐκλαμβάνομεν, ἣς ἔλαβεν ἐκ τῆς παρθένου. Ὅρα γὰρ ποτὲ μὲν λέγοντα αὐτὸν, "ζητεῖτέ με ἀποκτεῖ-"ναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα·" ποτὲ δὲ "ἐγὼ "καὶ ὁ Πατὴρ ἕν ἐσμεν."

Τοῦ ἁγίου Σευήρου ἐπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Εὐπράξιον κουβικουλάριον ἀποκρίσεως. Ὅρα σαφῶς ὡς οἶδεν αὐτὸν καὶ ἄνθρωπον ἀληθῶς καὶ Θεὸν ἀπαθῆ, μὴ δυνάμενον κρατεῖσθαι θανάτῳ. εἰ μὴ γὰρ ἦν ὁ αὐτὸς κατὰ φύσιν ἀθάνατος, εἰ καὶ θνητὸς, καθ' ὃ γέγονε σὰρξ, οὐκ ἂν εἶπε· "καθότι οὐκ ἦν "δύνατον κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ." καὶ πάλιν Ἰουδαίοις ἔλεγεν ἀλλαχοῦ· "τὸν ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε·" οὕτως ὁ αὐτός ἐστι παθητὸς σαρκὶ, καὶ θεότητι πάθους ἀνώτερος· καὶ καθὸ μὲν ἄνθρωπος, ἐξηγέρθαι λεγόμενος ὑπὸ τοῦ Πατρός· καθὸ δὲ Θεὸς, οὐχ οἷος τε ὢν κρατεῖσθαι θανάτῳ· οὕτω καὶ Παῦλος Ῥωμαίοις ἐπιστέλλων· ἐξ Ἰουδαίων εἶναί, φησι, "τὸ κατὰ σάρκα Χριστὸν," τὸν αὐτὸν δὲ "Θεὸν εὐλόγητον εἰς τοὺς αἰῶνας· ἀμήν·" γράφει δὲ καὶ ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους Ἐπιστολῇ "εἷς Κύριος Ἰη-"σοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ·" καὶ πάλιν ἐν τῇ πρὸς Ἑβραίους· "Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, "καὶ εἰς τοὺς αἰῶνας."

Διδύμου. Εἰ καὶ μανέντες ἀπὸ Ἀρτεμᾶ, οἷς ἠκολούθησαν καὶ οἱ ἀπὸ Σαμοσάτων, οἴονται ψιλὸν ἄνθρωπον τὸν Ἰησοῦν διὰ τὴν προκειμένην λέξιν, ἴστωσαν ὅτι τοῦ Θεοῦ Υἱὸς, Θεὸς Λόγος ὢν, ἄνθρωπος γέγονε, δεξάμενος δούλου μορφήν· ὡς εἶναι τὸν ἐπιδημήσαντα Χριστὸν, ἄνθρωπον ἅμα καὶ Θεόν· ὥσπερ οὖν ὅταν ὁ Χριστὸς λέγηται "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία," περὶ τῆς θεότητος,

ἀλλ' οὐ περὶ τοῦ ἀνθρωπείου αὐτὸ ἐκλαμβάνομεν· οὕτω πάλιν ἐὰν λέγηται Χριστὸς τεθνάναι καὶ τεθάφθαι κατὰ τὰς γραφὰς, περὶ τοῦ σώματος αὐτοῦ, οὐχὶ δὲ περὶ τῆς θεότητος ἐκδεχόμεθα· καὶ ἔστί γε μυρία τοιαῦτα ἐν ταῖς γραφαῖς εὑρεῖν· ὅθεν ἐὰν "ἄνδρα" λέγῃ "Ἰησοῦν ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ σημείοις καὶ τέρασιν," ἀκολούθως αὐτὸ νοοῦμεν τῷ "νῦν με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, "ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα," καὶ τὸ "ἄνθρωπος ἐν πληγῇ ὢν, "καὶ εἰδὼς φέρειν μαλακίαν." Καὶ γὰρ ἀκούοντες αὐτοῦ τούτου ἀνδρὸς τοῦ ἀποδεδειγμένου ἀπὸ Θεοῦ λέγοντος, "οὕτω γὰρ ἠγάπη-"σεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε" καὶ "ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου" καὶ "ἐγὼ ἐν τῷ Πατρὶ, "καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," οὐκ ἠλίθιοι ἐσμὲν ὡς περὶ ψιλοῦ ἀνθρώπου ταῦτα λελέχθαι νομίζειν. Εἰπάτωσαν δὲ ἡμῖν οἱ τῆς γνώμης ταύτης, πῶς ἀκούουσιν· "οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ "μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου" καὶ τὸ "ἐὰν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρό-"τερον." οὐ γάρ τι τούτων νοῆσαι εὐσεβῶς δυνήσονται, ἀρνούμενοι τὴν θεότητα τοῦ Ἰησοῦ· πῶς ὁ ἐκ τῆς Μαρίας, ὃν ὑπονοοῦσι ψιλὸν ἄνθρωπον εἶναι, ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ ἀναβαίνει ὅπου ἦν τὸ πρότερον, οὐχ ἕξουσιν εἰπεῖν. Ἐλεγκτέον ἐκ τῆς προκειμένης λέξεως καὶ τοὺς οἰομένους σάρκα μόνον γεγενῆσθαι τὸν Σωτῆρα· οὐ γὰρ κατὰ μόνης σαρκὸς οἰκείως λεχθήσεται ἡ "ἀνὴρ" φωνή.

Πρὸς ταύτην τὴν διάνοιαν τείνοι καὶ τὸ εἰρημένον ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ Παύλῳ τῷ Ἀποστόλῳ· "τοῦ ὁρισθέντος "Υἱοῦ Θεοῦ ἐν δυνάμει·" τουτέστι τοῦ διὰ τῶν ἔργων ἀποδειχθέντος καὶ τῆς δυνάμεως τῶν θαυμάτων· ὡς ἔστιν ἀληθῶς Υἱὸς τοῦ Πατρός· κατ' οὐδὲν διαφέρει τὸ εἰπεῖν[c], ὁρισθῆναι αὐτὸν υἱὸν Θεοῦ ἐν δυνάμει, καὶ τὸ εἰπεῖν, ἀποδειχθῆναι αὐτὸν δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησεν ὁ Θεὸς δι' αὐτοῦ καθάπερ δι' Υἱοῦ· δι' αὐτοῦ γὰρ θεοπρεπῶς καὶ τοὺς αἰῶνας ἐποίησεν.

Δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς αὐτοὶ οἴδατε.

[c] εἶπεν Cod.

Ἐκ ἀνεπιγράφου. Πάλιν διὰ τοῦ εἰπεῖν "δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησεν ὁ Θεὸς δι' αὐτοῦ ἐν μέσῳ ὑμῶν," ἐμφαντικώτατα ἔδειξε Θεὸν τὸ Πνεῦμα, καὶ ὅτι Θεὸς τὸ Πνεῦμα ἐστὶ, δι' οὗ καὶ μεθ' οὗ ταῦτα ἐθαυματουργεῖ· οὐχ ὁ μείζων ἐλάττων, ἀλλ' ὡς Υἱὸς ἐπιφανεὶς καὶ ἐμφανίζων, οὐχ ἑαυτὸν μόνον, ἀλλὰ καὶ Πατέρα τὸν γεννήσαντα καὶ συμπληρωτικὸν τῆς οὐσίας αὐτοῦ· Θεὸν τὸ Πνεῦμα, ὡς Πνεῦμα Θεοῦ καὶ Θεόν· τοῖς δὲ θεομάχοις Ἰουδαίοις εἰποῦσιν αὐτῷ "ὅτι ἐν Βεελζεβοὺλ ἐκβάλλεις "τὰ δαιμόνια," ἀποκριθεὶς εἶπεν· "οὐκ ἐν Βεελζεβοὺλ ἀλλ' ἐν "Πνεύματι Θεοῦ·" σαφῶς καὶ ἑαυτὸν Θεὸν ἔδειξε· καὶ τὸ Πνεῦμα Πνεῦμα αὐτοῦ καὶ Θεόν· οὐδὲν γὰρ τερατωδέστερον ἢ δυνατώτερον ἐν τοῖς σημείοις τοῦ δαίμονας ἀπελαύνειν· ἐξέβαλε δὲ αὐτὸς ὡς Θεός· ἔλεγε δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια· ἵνα δείξῃ πρόσωπον τοῦ ἐν ᾧ, καὶ μεθ' οὗ ἐκβάλλειν ἐννυπόστατον οὐσιωδῶς συμπληροῦντος τὴν Τριαδικὴν ὁμότιμον καθέδραν αὐτῷ καὶ τῷ Πατρί· ἵνα δεικνυμένου αὐτοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ ἐν δυσὶ προσώποις, μίαν ὁμότιμων φύσιν τὲ καὶ ἀξίαν, ἕνα δείξῃ Θεὸν τῇ φύσει τὴν ἀσυγχύτως εὐκρινῆ καὶ ἀδιαίρετον ἐν προσώποις Τριάδα. Ἀμφιλεκτείτω δὲ μηδεὶς μικρότερον τοῦ ἑτέρου ἢ μεῖζον, ἢ αἴτιον ἢ αἰτιατὸν νοεῖν ἢ λέγειν ἐν τῇ ὁμοτίμῳ Τριάδι· διὰ τὸ οἰκονομικῶς καὶ διὰ συστατικῶν λόγων λέγεσθαι τὸν μὲν δι' οὗ καὶ ἐξ οὗ, συνεκτικῇ ἀσυγχύτῳ ὁμοτιμίᾳ ἐργάζεσθαί τε καὶ θαυματουργεῖν τὰ ἀνθρώπινα καὶ τὰ ὑπὲρ ἄνθρωπον, καὶ τὰ ἐπέκεινα τῶν ὑπὲρ ἄνθρωπον· τὰς δυνάμεις καὶ τὰ τέρατα, σημεῖα τε καὶ παράδοξα· ἀλλ' ἐκλαμβανέτω ἐν Υἱῷ τὸν Πατέρα καὶ τὸ Πνεῦμα, καὶ ἐκ Πατρὸς τὸν Υἱὸν ἐνυποστάτῳ γεννήσει, καὶ τὸ Πνεῦμα ἐνυποστάτω οὐσιώδει ὑπάρξει· ἐκδεχέσθω δὲ καὶ τὸν Πατέρα ἐν Υἱῷ ἅμα τῷ Πνεύματι· αἳ καὶ ἐν μέσῳ ἑστάναι ἐκείνου τοῦ λαοῦ, μᾶλλον δὲ καὶ ἡμῶν· καὶ τὸν Υἱὸν ἐν τῷ Πατρὶ, ἔχοντα ἐν ἑαυτῷ καὶ σὺν αὐτῷ τὸν Πατέρα· ἐμφανίζοντα ἐν ἑαυτῷ τὸ ἐξ αὐτοῦ καὶ σὺν αὐτῷ Πνεῦμα Θεοῦ καὶ Θεὸν, ἐν ᾧ ἐκβάλλει τὰ δαιμόνια· ἵνα ἀκούοντες τὸ "ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ "ἐν ἐμοὶ," καὶ τὸ "ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαι"μόνια," ἐκδεχώμεθα τὸ ἐν τῷ Πνεύματι· ὥς τε "ἐγὼ ἐν τῷ "Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·" καὶ "ἐγὼ ἐν τῷ Πνεύματι ἐκ-

“ *βάλλω τὰ δαιμόνια,*” ἓν εἶναι τὸ ὁμόφωνον διὰ τὸ ὁμοούσιον· εἰ γὰρ καὶ ὁ Πατὴρ Θεὸς, ἀλλὰ λέγεται καὶ Πνεῦμα ὁμωνύμως, τοῦ Πνεύματος μὴ ἀποβάλλων τὸ εἶναι· καὶ Πατὴρ καὶ Πνεῦμα, μὴ γινομένου τοῦ Πνεύματος Πατὴρ, ἀλλὰ μένοντος Πνεῦμα καὶ Θεός.

23 Τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε.

Τοῦ Χρυσοστόμου. Εἶτα ἐν μέσῳ θεὶς τὸ τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγκλήματος· εἰ γὰρ καὶ ὡρισμένον ἦν, φησὶν, ὅμως ἀνδροφόνοι ἦσαν. Καὶ μετ᾽ ὀλίγα—μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα, καθάπερ κ᾽ακεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφοὺς, “ μὴ ὀργίζεσθε πρὸς “ ἀλλήλους· ὁ Θεός με ἀπέστειλεν ἐνταῦθα· τοῦ Θεοῦ τὸ ἔργον “ γέγονε·” τί οὖν καλῶς ἐποιήσαμεν φησίν; ἵνα μὴ τοῦτο εἴπωσι, διὰ τοῦτο προσέθηκε “ διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε·” ἐνταῦθα τὸν Ἰούδαν αἰνίττεται, ἅμα δὲ αὐτοῖς δείκνυσιν· ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ αὐτὸς συνεχώρησεν· ἢ διὰ χειρῶν ἀνόμων, τῶν στρατιωτῶν φησίν.

Τοῦ αὐτοῦ. Εἰ καὶ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστι· καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διετύπωτο.

24 Ὃν ὁ Θεὸς ἀνέστησεν ἐκ νεκρῶν.

Τοῦ ἁγίου Σευήρου ἐπισκόπου Ἀντιοχείας. Τὸ ἐγηγέρθαι αὐτὸν ὑπὸ τοῦ Πατρὸς λέγεσθαι, διὰ τὸ τῶν ἀκουόντων ἀσθενὲς, εὐπαράδεκτον τὸν λόγον ταύτῃ κατασκευάζοντες. Καὶ μετ᾽ ὀλίγα—ἐν τίνι γὰρ ὁ Πατὴρ ἐνεργεῖ; ἐν τῇ οἰκείᾳ δυνάμει δηλονότι. τίς δέ ἐστιν ἡ αὐτοῦ δύναμις τοῦ Πατρός; οὐδεὶς ἄλλος ἢ ὁ Χριστός· “ Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία·” οὐκοῦν ἑαυτὸν ἀνέστησεν ὁ Χριστὸς, καὶ ὑπὸ τοῦ Πατρὸς ἐγηγέρθαι λεγόμενος.

Λύσας τὰς ὠδῖνας τοῦ θανάτου.

Ἐξ ἀνεπιγράφου. Ἵνα εἴπῃ ἔρρηξε καὶ ἀνέρρηξε τὴν ἔγκυον καὶ ὠγκωμένην καὶ ὠδίνουσαν γαστέρα τοῦ θανάτου· ὃν οὐ μόνον ἐφαλλόμενος οὐ κατέπιεν, ἀλλὰ καὶ κατεπόθη ἐπιπηδήσας· καὶ

οὓς εἶχεν ἐξήμεσεν· οὐ μόνον αὐτὸν οὐ κατέπιεν, ἀλλὰ καὶ οὓς εἶχεν ἐξέτρωσε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου· λύειν λέγων τῶν ὠδίνων τοῦ θανάτου τὴν σάρκωσιν τοῦ Θεοῦ Λόγου.

ΣΕΥΗΡΟΥ ἈΝΤΙΟΧΕΙΑΣ ἘΚ ΤΟΥ ΠΡΟΣ ἉΛΙΚΑΡΝΑΣΕΑ[c] ΣΥΝΤΑΓΜΑΤΟΣ. Τὴν ἀνάστασιν προσηγόρευσεν, ὥσπερ ἐκ κοιλίας τινὸς ὠδινούσης, φημὶ δὴ τῶν τοῦ θανάτου δεσμῶν, καὶ τῶν τοῦ ᾅδου μυχῶν, ἀναδύντος τοῦ Σωτῆρος Χριστοῦ καὶ παρελθόντος ὡς ἐκ τοκετοῦ ξένου τῆς ἀναστάσεως. ταύτῃ τοι καὶ ὠνόμασται "πρωτοτόκος ἐκ νεκρῶν."

Ὠδῖνας θανάτου ἡ παλαιὰ κίνδυνον φησὶ καὶ συμφοράν.

Ὁ ὠδίνων οὐ κατέχει τὸ κατεχόμενον, ἀλλὰ πάσχει καὶ ῥίψαι σπεύδει.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὕτως ἀνέστης ὡς μηκέτι πάλιν ἀποθανεῖν· τὸ γὰρ εἰπεῖν, "καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ," τοῦτό ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις.

Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.

ἘΞ ἈΝΕΠΙΓΡΑΦΟΥ. Οἱ ἀθληταὶ ἀλειφόμενοι ἄληπτοί εἰσὶ τοῖς ἀντιπάλοις, καὶ οἱ ἐπαοιδοὶ ἠλειμμένοι, ἄθικτοι γίνονται καὶ ἀπροσπέλαστοι τοῖς ὀδοῦσι τοῦ ὄφεως· τῷ δὲ Χριστῷ εἰλημμένῳ[d] μυστικῶς τῷ ἑαυτοῦ Πνεύματι διὰ τὴν ὑπὲρ ἡμῶν ἐνανθρώπησιν, καὶ συμπλακέντι τῷ θανάτῳ, καὶ ὑποτάξαντι τὸν ἀλάστορα, προσελθὼν ὁ ἀντίπαλος κατεάγη, κείμενος ἡμῖν εἰς συριγμόν· ἐξ ἐκείνου γὰρ ἔχομεν "ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ·" τὸ δὲ "καθότι·" καθότι μὲν εὑρηθῆναι αὐτὸν Θεὸν ἐκ Θεοῦ γεγενημένον· καὶ τὴν αὐτὴν τῷ γεγεννηκότι κεκτημένον φυσικῶς ἀνεπίδεκτον φύσιν τε καὶ ὑπόστασιν πάσης τροπῆς ἢ ἀλλοιώσεως ἢ προσθήκης, ἢ ἐπιβολῆς, ἢ συστολῆς, ἢ τῶν ὅσα εἰς ἀλλοίωσιν φυσικὴν ἢ παραφύσιν· καὶ ἀναλλοίωτον ἐν τῇ σαρκώσει, ὁποῖον καὶ τὸν ἄσαρκον Πατέρα, καὶ τὸ ἀσώματον Πνεῦμα τὸ Ἅγιον καὶ ἀναμάρτητον.

ΣΕΥΗΡΟΥ ἘΚ ΤΟΥ ΕἸΣ ΤΟ ἍΓΙΟΣ Ὁ ΘΕΟΣ ΣΥΝΤΑΓΜΑΤΟΣ. Οὗτος καὶ σαρκὶ συμπλακεὶς τῷ θανάτῳ, καὶ φθάσας μεχρὶ αὐτῶν ᾅδου πυλῶν, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ "λύσας τὰς ὠδῖνας τοῦ θα-

c Sic Cod. d Leg. ἠλειμμένῳ.

“νάτου, καθότι οὐκ ἦν δυνατὸν,” καθὼς ὁ Ἀπόστολος Πέτρος, “κρατεῖσθαι αὐτὸν ὑπ’ αὐτοῦ·” ἦν γὰρ κατὰ φύσιν ἀθάνατος, εἰ καὶ τῷ πεφυκότι θνήσκειν σώματι τὸ παθεῖν κατεδέξατο, ἐπείπερ οὐδὲ ἄλλως[e] προσπελάσαι τὸν θάνατον· ὃν τοίνυν ἐπὶ τῆς πείρας εἴδομεν ἀθανάτως ἐν θανάτῳ γινόμενον, τοῦτον ἀνυμνοῦντες λέγομεν τὸ “Ἅγιος ἀθάνατος.”

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Ἰουλιανὸν Ἁλικαρνασέα συντάγματος. Οὐχὶ τὸ μὴ πάντη αὐτὸν γεύσασθαι θανάτου σαρκὶ, καὶ ὑπὸ τὸν ἐκείνου γίνεσθαι ζυγὸν, ἀλλὰ τὸ διαρρῆξαι τοῦτον διὰ τῆς τριταίας ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς παντελοῦς μὴ ἀνασχέσθαι φθορᾶς τε καὶ διαλύσεως.

25 Δαβὶδ γὰρ λέγει εἰς αὐτὸν, προορώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός.

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης ἐκ τοῦ κατὰ Εὐνομίου λόγου. Ἀλλὰ καὶ ὁ προφήτης Δαβὶδ κατὰ τὴν ἑρμηνείαν τοῦ μεγάλου Πέτρου εἰς αὐτὸν προορώμενος εἶπεν· “ὅτι “οὐ κἐγκαταλείψεις ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιον “σου ἰδεῖν διαφθοράν·” οὕτω τοῦ Ἀποστόλου Πέτρου τὸ ῥητὸν ἑρμηνεύσαντος, ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ κατελείφθη εἰς τὸν ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν· ἡ γὰρ θεότης, καὶ πρὸ τῆς σαρκὸς καὶ ἐν τῇ σαρκὶ, καὶ μετὰ τὸ πάθος, ἀεὶ ὡσαύτως ἔχει, ὃ ἦν τῇ φύσει, πάντοτε οὖσα καὶ εἰσαεὶ διαμένουσα· ἐν δὲ τῷ παθητῷ τῆς ἀνθρωπίνης φύσεως τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐπλήρωσε, διαζεύξασα πρὸς καιρὸν τὴν ψυχὴν ἐκ τοῦ σώματος, χωρισθεῖσα δὲ οὐδετέρου ᾧ ἅπαξ ἡνώθη· καὶ πάλιν τὰ διεστῶτα συνάψασα, ὥστε ἀκολουθίαν καὶ ἀρχὴν δοῦναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει τῆς ἐκ νεκρῶν ἀναστάσεως· “ἵνα τὸ φθαρτὸν ἅπαν ἐνδύσηται τὴν “ἀφθαρσίαν, καὶ τὸ θνητὸν τὴν ἀθανασίαν,” τῆς ἀπ’ ἀρχῆς ἡμῶν διὰ τῆς πρὸς τὸν Θεὸν ἀνακράσεως, εἰς θείαν φύσιν μεταποιηθείσης.

26 Ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ· διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσα μου.

[e] Superscr. m. s. ἦν δυνατόν.

Ἐξ ἀνεπιγράφου. Τὸ ἐκ δεξιῶν ἑστάναι τὸν Πατέρα λεγέσθαι τοῦ Υἱοῦ νῦν· ποτὲ δὲ πάλιν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέσθαι τὸν Υἱὸν, οὐδὲν ἕτερον ἢ τὴν ἰσότητα ἡμῖν σημαίνει· Κύριον δὲ αὐτοῦ τὸν Πατέρα καλεῖ, διά γε τὸ λαβεῖν αὐτὸν δούλου μορφήν.

Διδύμου. Οἱ μὴ ἔχοντες περὶ Θεοῦ ἐννοίας διηρθρωμένας τοπικῶς ἐκλαμβάνουσιν ἐκ δεξιῶν εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, διὰ τὸ "κάθου ἐκ δεξιῶν μου·" ἢ κεκαθικέναι τὸν Σωτῆρα μετὰ ἀνάληψιν ἐκ δεξιῶν τῆς μεγαλωσύνης· οἷς δυνατόν τι εἰπεῖν· εἰ γὰρ ἐκ δεξιῶν τοῦ Πατρὸς ὁ Υἱὸς τοπικῶς ὡς οἴονται· ἀδύνατον ἐκ δεξιῶν τοῦ Υἱοῦ τὸν Πατέρα εἶναι κατ' αὐτὸ τοῦτο τὸ σημαινόμενον· ἀλλὰ λέγει ὁ Υἱὸς, "προωρώμην τὸν Κύριον ἐκ δεξιῶν "μου·" ὅθεν ἑτέρως ἢ κατὰ τόπον ἐκληπτέον τὸν Υἱὸν δεξιὸν τοῦ Πατρὸς, καὶ τὸν Πατέρα τοῦ Υἱοῦ· ὡσαύτως τὸ "ἐγὼ ἐν τῷ "Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν·" ἔτι δὲ "καὶ ἡ σάρξ μου "κατασκηνώσει ἐπ' ἐλπιδι." ἐπεὶ Ἰησοῦς, καθὸ ἀνεδέξατο θάνατον, ἀπέθετο ἣν κατ' οἰκονομίαν ἔλαβε σάρκα, ἐπὶ τῷ πάλιν ἀναστῆσαι αὐτὴν ἀπὸ τοῦ θανάτου τῇ τρίτῃ ἡμέρᾳ· εἰκότως τὴν σάρκα ταύτην οὖσαν ἑαυτοῦ ἐπ' ἐλπίδι κατεσκηνωκέναι φησὶ, διὰ τὴν προσδοκίαν τῆς ἀναστάσεως. Εἰ δέ τις ἐκ προσώπου τοῦ Δαβὶδ εἰρῆσθαι αὐτὸ ἐκλαμβάνει, παυσάσθω κατατρέχων τῆς περὶ ἀναστάσεως δόξης τῶν ἁπλουστέρων· εἰ γὰρ καὶ μὴ οἷοι τέ εἰσι παρίστασθαι ὃ φρονοῦσιν· ἀλλ' οὖν εὐσεβῶς διάκεινται φάσκοντες τὴν σάρκα ἀνίστασθαι ἐπὶ τὸ εἶναι ἄφθαρτον καὶ πνευματικὸν σῶμα· ὡς γὰρ ὁ ἐγειρόμενος νεκρὸς μετὰ ἀνάστασιν ζῶν καὶ οὐ νεκρός ἐστιν, οὕτως ἡ ἐγειρομένη σὰρξ μετὰ τὴν ἔγερσιν πνευματικὸν καὶ ἄφθαρτον σῶμά ἐστι.

Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

Κυρίλλου. Τριήμερος γὰρ ἀνεβίω, καθότι οὐκ ἦν δυνατὸν ζωὴν ὄντα κατὰ φύσιν αὐτὸν τοῖς τοῦ θανάτου κρατεῖσθαι δεσμοῖς. Καὶ πάλιν—Οὐ γάρ τι θέμις εἰπεῖν φθορᾷ μὲν δύνασθαι κρατεῖσθαι ποτὲ τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα· κάτοχον δὲ αὐταῖς ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν· οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος.

27 *Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.*

Κυρίλλου. *Ἀνεβίω γὰρ σκυλεύσας τὸν ᾅδην, καὶ τοῖς ἐν δεσμοῖς εἰπὼν, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύφθητε.*

Σευήρου Ἀντιοχείας ἐκ τοῦ πρὸς Εὐπράξιον γραφέντος. *Καὶ θανάτου λέγεται γεγεῦσθαι δι' ἡμᾶς, τῷ τὴν αὐτοῦ ψυχὴν χωρισθῆναι τοῦ σώματος, οὐ τῷ θεότητος ἔρημον τὴν ψυχὴν ἢ τὸ σῶμα γενέσθαι· αὐτὸς γὰρ ἑαυτὸν ἀμφοτέρων ἀχώριστον ἔδειξεν· οὔτε γὰρ ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν· καθὼς ὁ ψάλλων φησίν· ἀλλὰ τοῦ μὲν σώματος οὐ κεχώριστο θαπτομένου, καταργῶν τὴν φθοράν· οὐ γὰρ ἦν, ἀπολειπομένης τῆς ἀφθαρσίας τε καὶ ζωῆς, μὴ πάντως αὐτῷ καὶ πειραθῆναι διαφθορᾶς· τῇ δὲ ψυχῇ συγκάτεισιν εἰς ᾅδου· ὅλος ὢν ἐν αὐτῇ, καὶ ὅλος ὢν ἐν τῷ σώματι· ἀδιαίρετος γὰρ ὡς ἀσώματος, καὶ πάντα πληροῦν δυνάμενος ὡς ἀπερίγραπτος.*

Ἡσυχίου. *Ὥσπερ αἱ ψυχαὶ τῶν δικαίων μετὰ τοῦ Σωτῆρος ἐκ τῶν κάτω χωρίων ἔτριψαν ἀναβαίνουσαι.*

28 *Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς.*

Κυρίλλου Ἀλεξανδρείας. *Ἐκεῖνο διδάσκων ὅτι τὸ τῆς ἀνθρωπότητος ἔχων πρόσωπον ὁ καθ' ἡμᾶς γεγονὼς, τοὺς ἡμῖν μᾶλλον καὶ οὐκ αὐτῷ πρέποντας, καθὸ νοεῖται Θεὸς, ἀνίησι λόγους, ὡς ἐφ' ἑαυτῷ καὶ πρώτῳ καλῶν· ἐφ' ἡμᾶς τὴν τῶν οὐρανίων μέθεξιν ἀγαθῶν· ὡς γὰρ ἑαυτῷ δεδόσθαι φησὶ, τῇ τοῦ ἀνθρώπου φύσει προσνέμει· ἐπεὶ πῶς τῇ τοῦ ἀνθρώπου πτωχείᾳ πεπλουτήκαμεν.*

Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

Τοῦ ἁγίου Σευήρου Ἀντιοχείας. *Πρόσωπον Κυρίου νοητέον τὴν θεοπρεπεστάτην θεοφάνειαν καὶ τὴν ἡμετέραν ἐπισκοπὴν, ἣν ἡμᾶς τότε τελειωτέρον ἐπισκέψεται.*

29 *Ἄνδρες ἀδελφοὶ ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.*

Τοῦ Χρυσοστόμου. *Ὅταν μέλλῃ τί λέγειν μέγα, τούτῳ*

κέχρηται τῷ προοιμίῳ διεγείρων αὐτοὺς καὶ οἰκειούμενος. Καὶ μετ' ὀλίγα—πολλὴ ἡ ταπεινοφροσύνη ἔνθα οὐδὲν ἔβλαπτεν, οὐδ' ἂν ὠργίσθησαν· οὐ γὰρ εἶπε ταῦτα. οὐ περὶ τοῦ Δαβὶδ εἴρηται ἀλλὰ περὶ τοῦ Χριστοῦ· ἀλλ' ἑτέρως· τῇ πολλῇ περὶ τὸν μακάριον Δαβὶδ τιμῇ ἐνέτριψεν αὐτοὺς περὶ τοὺς ὡμολογημένους, ὡς πρὸς τολμηροὺς φθεγγόμενος καὶ παραιτούμενος αὐτούς· καὶ ἐνταῦθα οὐκ ἔτι περὶ τοῦ Δαβὶδ φησὶν ἁπλῶς, ἀλλὰ καὶ περὶ τοῦ Πατριάρχου· ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη· καὶ οὐκέτι λέγει, καὶ οὐκ ἀνέστη, ἀλλ' ἑτέρως· καίτοι οὐδὲ τοῦτο μέγα ἦν· "καὶ τὸ "μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης·" εἰς τὸ αὐτὸ ἦλθε, καὶ οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστόν· ἀλλὰ τί; μετ' ἐγκωμίων τῶν τοῦ Δαβίδ.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός.

Ταῦτα λέγει, ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος, δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης, εἰ μὴ τοῦτο εἴη καὶ τῆς εἰς αὐτὸν τιμῆς.

Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀνα-
31 στῆσαι τὸν Χριστὸν, καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως Χριστοῦ.

Ἐξ ἀνεπιγράφου. Ἐν πολλοῖς τόποις τῆς θείας γραφῆς, ἀντὶ βασιλείας, θρόνος ὀνομάζεται· ὡς καὶ ἐν τῷ προκειμένῳ, καὶ ἐν τῷ "ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα." ἐβασίλευσε γὰρ ὁ Χριστὸς ἐπὶ τὸν νοητὸν Ἰσραήλ.

Ὅτι οὔτε ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδην.

Τοῦ Χρυσοστόμου. Τοῦτο πάλιν θαυμαστὸν δείκνυσιν, ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἦν ἡ ἀνάστασις· κατέσχε μὲν γὰρ αὐτὸν, οὐκ εἰργάσατο δὲ τὸ αὐτοῦ τότε ὁ θάνατος. Καὶ μετ' ὀλίγα—πάντα τοίνυν ἀνατίθησι τῷ Πατρὶ, ἵνα δέξωνται τὰ λεγόμενα.

Οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

Διδύμου. Τὸ μὴ ἰδεῖν τὴν σάρκα Ἰησοῦ διαφθορὰν, δηλοῖ, οὐ τὸ μὴ τεθνᾶναι· τέθνηκε γὰρ, καὶ ἐν μνήματι ἐτέθη· ἀλλὰ τὸ μὴ διαλελύσθαι· τρίτῃ γὰρ ἡμέρᾳ ἀνέστη· ἔπρεπε γὰρ οὕτω τὴν

ἀνάστασιν γενέσθαι· εἰ γὰρ ἦν ἡ σὰρξ αὐτοῦ διαλυθεῖσα κατὰ τοὺς νεκροὺς, δισταγμὸν ἔφερεν ἀναστὰς, ἀμφιβαλλομένου εἰ αὐτὸ εἴη τὸ τοῦ Ἰησοῦ σῶμα τὸ ἀναστάν· ἠκολούθει δὲ καὶ τὸ μὴ τρίτῃ ἡμέρᾳ, ἀλλ' ἔτι μετ' ἐκείνην τὴν ἀνάστασιν γεγονέναι· ὅπως οὖν πᾶς ὁ περιελκυσμὸς λυθῇ, καὶ τριήμερος ἀνέστη ἀδιάφθορος ἔτι οὖσα, καὶ ἐν μνήματι κενῷ, ἔνθα οὐδεὶς πρότερον τέθειτο, ἐτάφη· ἵνα μὴ ὑποληφθῇ ἕτερος ἀνθ' ἑτέρου ἐγηγέρθαι.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός· οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες.

Τοῦ Ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδούνων. Οὐκ ἄλλον Θεὸν κατήγγελον οἱ Ἀπόστολοι, οὐδὲ ἄλλον μὲν παθόντα καὶ ἐγερθέντα Χριστὸν, ἄλλον δὲ τὸν ἀναστήσαντα καὶ ἀπαθῆ διαμεμενηκότα· ἀλλ' ἕνα τὸν αὐτὸν Θεὸν καὶ Σωτῆρα καὶ Χριστὸν Ἰησοῦν, τὸν ἐκ νεκρῶν ἐγερθέντα· καὶ τὴν εἰς αὐτὸν πίστιν ἐκήρυσσον τοῖς μὴ πιστεύουσιν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἐκ τῶν προφητῶν συνεβίαζον αὐτοὺς, ὅτι ὃν ἐπεγγείλατο ὁ Θεὸς πέμψειν Χριστὸν, ἔπεμψε τὸν Ἰησοῦν, ὃν αὐτοὶ ἐσταύρωσαν καὶ Θεὸς ἤγειρεν.

Πάλιν ἐπὶ τὸν Πατέρα καταφεύγει· καίτοιγε ἤρκει εἰπεῖν τὸ πρότερον, ἀλλ' οἶδε σῶον τοῦτό ἐστιν, ἐνταῦθα καὶ περὶ τῆς ἀναλήψεως ἠνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστιν· ἀλλ' οὐδὲ αὐτὸ φανερῶς λέγει.

Σευήρου λόγου οζ. Οἱ Ἀπόστολοι κηρύττοντες τὸ Εὐαγγέλιον ἔλεγον τὸν Χριστὸν ἐγηγέρθαι ὑπὸ τοῦ Πατρὸς διὰ τὸ τῶν ἀκουόντων ἀσθενὲς, εὐπαράδεκτον τὸν λόγον ταύτῃ κατασκευάζοντες. Καὶ μετ' ὀλίγα—Καὶ τὸ ἐγηγέρθαι δὲ αὐτὸν ὑπὸ τοῦ Πατρὸς λέγεσθαι, τῶν μὲν ἀκουόντων ᾠκονόμει τὸ ἀσθενές· τὸν δὲ αὐτὸν ἔχει νοῦν τὸ "ἠγέρθη, οὐκ ἔστιν ὧδε," καὶ οὐχ ἕτερον· ἐν τίνι γὰρ ὁ Πατὴρ ἐνεργεῖ; ἐν τῇ οἰκείᾳ δυνάμει δηλονότι. τίς δέ ἐστι δύναμις τοῦ Πατρός; οὐδεὶς ἄλλος ἢ Χριστός· "Χριστὸς γὰρ "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία." οὐκοῦν ἑαυτὸν ἀνέστησεν ὁ Χριστὸς καὶ ὑπὸ τοῦ Πατρὸς ἐγηγέρθαι λεγόμενος.

Ἐξ ἀνεπιγράφου. Πρέπον ἐνταῦθα τῷ ἐκ Πατρὸς ἐκφύντι Λόγῳ διὰ τὰ τῆς κενώσεως μέτρα· ὅτι δὲ καὶ μετὰ τὴν ἐνανθρώπησιν τῆς τοῦ Πατρὸς ἰσοτιμίας οὐκ ἔμεινεν ἐκτὸς, ἄκουσον

λέγοντος τοῦ Δαβίδ· "Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ "δεξιῶν μου·" καὶ πάλιν ὁ Παῦλος· "ἀπεκδεχόμενοι τὴν μακα-"ρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ "Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·" καὶ πάλιν· "ἐν τῷ ὀνόματι "Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθο-"νίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς "Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός."

"Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός." ὅταν ἀκούσωμεν λέγοντος τοῦ θεσπεσίου Πέτρου· "τοῦτον τὸν Ἰη-"σοῦν ἀνέστησεν ὁ Θεός·" κἂν τὸν ὁρώμενον λέγῃς καὶ προσηλωθέντα τῷ ξύλῳ, τὸν ταῖς τοῦ Θωμᾶ ψηλαφηθέντα[f] χερσὶν, οὐδὲν ἧττον ἡμεῖς σεσαρκωμένον νοοῦμεν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον· ἕνα τε καὶ τὸν αὐτὸν ὁμολογοῦμεν Υἱόν.

33 *Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ Πνεύματος τοῦ Ἁγίου λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε.*

Τοῦ Χρυσοστόμου. *"Ἐξέχεε," φησὶν, οὐκ ἀξίωμα ζητῶν· καὶ οὐχ ἁπλῶς ἀλλὰ μετὰ δαψιλείας.*

34 *Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανοὺς, λέγει δὲ αὐτός.*

Τοῦ αὐτοῦ. *Θαρρούντως λοιπὸν μετὰ τὴν τοῦ Πνεύματος δόσιν, καὶ περὶ τῆς εἰς οὐρανὸν ἀναλήψεως διαλέγεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τὸν μάρτυρα παράγων καὶ ἐκείνους ἀναμιμνήσκων περὶ οὗ καὶ ὁ Χριστὸς εἶπεν· "οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς οὐ-"ρανούς·" οὐκέτι ἐνταῦθα μεθ' ὑποστολῆς λέγει, ἔχων τὸ ἀπὸ τῶν εἰρημένων θάρσος· οὐ λέγει ἐξὸν εἰπεῖν, οὐ δὲ ὅσα τοιαῦτα· λέγει δὲ αὐτὸς "εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου," καὶ τὰ ἑξῆς.*

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου.

Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας ἀπὸ λόγου ΡΚΓ. *Τὸ ἰσότιμον Υἱοῦ καὶ Πατρὸς διὰ τούτου νοοῦμεν· ἐπὶ γὰρ τῆς ἀσωμάτου οὐσίας οὐ δυνατὸν νοῆσαι δεξιὸν ἢ ἀριστερόν.*

35 *Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.*

[f] ψηλαφιθέντα Cod.

Τοῦ ἁγίου Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας. Καὶ τίνες ἂν εἶεν οἱ ἐχθροὶ, ὁ Ἀπόστολος δηλοῖ βοῶν· " ὅταν καταργήσῃ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας, " ἔσχατος ἐχθρὸς καταργεῖται ὁ Θάνατος."

Ἐνταῦθα καὶ φόβον ἐπέστησε μέγαν, ὥσπερ ἐν τῇ ἀρχῇ.

36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι
Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν
Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

Καλῶς ἐνταῦθα ἔληξε διασείων αὐτῶν τὴν διάνοιαν· ἐπειδὴ γὰρ ἔδειξεν ἡλίκον ἐστὶ, τότε λοιπὸν καὶ τὸ τόλμημα ἐγύμνωσεν, ὥστε μείζονα δεῖξαι καὶ τῷ φόβῳ αὐτοὺς ἑλεῖν.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην ὑπομνήματος. Ταύτην γὰρ πρώτην πρὸς Ἰουδαίους ἐδημηγόρει δημηγορίαν· οὐδὲν οὖν περὶ τῆς θεότητος αὐτοῦ μαθεῖν σαφὲς ἴσχυον· διὰ τοῦτο τοῖς περὶ τὴν οἰκονομίαν ἐνδιατρίβει λόγοις· ἵνα τούτοις ἡ ἀκοὴ γυμνασθεῖσα, τῇ λοιπῇ προοδοποιήσῃ διδασκαλίᾳ· καὶ εἰ ἕλοιτό τις τὴν δημηγορίαν πᾶσαν ἄνωθεν διελθεῖν, εὑρήσει τοῦτο ὃ λέγω· καὶ γὰρ ἄνδρα αὐτὸν καλεῖ καὶ αὐτὸς, καὶ τοῖς τῆς οἰκονομίας ἐνδιατρίβει λόγοις.

[g]Περὶ πίστεως τῶν παρόντων διὰ τοῦ βαπτίσματος αὐτῶν σωτηρίας.

37 Ἀκούοντες δὲ κατενύγησαν τὴν καρδίαν· εἶπον τὲ
πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους· τί
ποιήσωμεν ἄνδρες ἀδελφοί;

Τοῦ Χρυσοστόμου. Οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς καλοῦσιν· οὐχὶ τοσοῦτον ἑαυτοὺς παρεξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν· πάντων δὲ ἐρωτηθέντων ὁ Πέτρος ἀποκρίνεται.

38 Πέτρος δὲ ἔφη πρὸς αὐτούς· μετανοήσατε, καὶ βα-
πτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
εἰς ἄφεσιν τῶν ἁμαρτιῶν.

Τοῦ αὐτοῦ. Καὶ μὴν ἕτερος τῶν ἐνταῦθα δικαστηρίων ὁ νόμος·

[g] Asteriscus deest.

ἐπὶ δὲ τοῦ κηρύγματος, ὅταν ὁ ἡμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται.

Ἐξ ἀνεπιγράφου. *Βαλανεῖον γάρ ἐστι πνευματικὸν ἡ ἐκκλησία, οὐ ῥύπον σώματος, ἀλλὰ ψυχῆς ἀποσμῆχον κηλῖδα τοῖς πολλοῖς τῆς μετανοίας τρόποις.*

Ἐξ ἀνεπιγράφου. *Εἴτις νομίζει τοῦτο ἐκείνῳ μάχεσθαι, τῷ "βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ* Πατρὸς *καὶ τοῦ* Υἱοῦ *καὶ "τοῦ* Ἁγίου Πνεύματος," *γινωσκέτω ὡς ἡ* Ἐκκλησία *διαίρετον νοοῦσα τὴν* Ἁγίαν Τριάδα, *τίθεται τὸν* Πατέρα Υἱοῦ *εἶναι καὶ τὸν* Υἱὸν Πατρὸς, *καὶ τὸ* Ἅγιον Πνεῦμα Πατρὸς *καὶ* Υἱοῦ *τυγχάνειν· ὡς διὰ τὴν ἕνωσιν τὴν ὁμοούσιον ἐν τρισὶν ὑποστάσεσι, τὸν βαπτιζόμενον εἰς ὄνομα* Χριστοῦ, *εἰς τὴν* Τριάδα *βαπτίζεσθαι, οὐκ ἀπομεριζομένου τοῦ* Πατρὸς *καὶ τοῦ* Ἁγίου Πνεύματος.

Τοῦ αὐτοῦ. *Καίτοι εἰ μὴ ἦν τὸ ὄνομα τοῦ* Πατρὸς, Θεός· *καὶ τοῦ* Υἱοῦ, Θεός· *καὶ τοῦ* Ἁγίου Πνεύματος, Θεός· *ἐχρῆν νομοθετῆσαι εἰς τὸ ὄνομα* Θεοῦ Ἰησοῦ, *ἢ εἰς τὸν* Ἰησοῦν *μόνον· ἀλλ' "εἰς "τὸ ὄνομα* Ἰησοῦ Χριστοῦ *εἰς ἄφεσιν ἁμαρτιῶν·" εἰδὼς ὅτι τὸ ὄνομα* Ἰησοῦ *ὁ* Θεός *ἐστιν, ὥσπερ καὶ τοῦ* Πατρὸς *καὶ τοῦ* Πνεύματος· *καὶ φησὶ, "λήψεσθε τὴν δωρεὰν τοῦ* Ἁγίου Πνεύματος·" *ὁρᾷς πῶς μίαν δωρεὰν ἀνέδειξε τοῦ* Χριστοῦ *καὶ τοῦ* Πνεύματος· *ὡς μιᾶς οὔσης τῆς ἀξίας.*

Διδύμου. *Τοῦ* Σωτῆρος *προστάξαντος τοὺς τετελειωμένους βαπτίζεσθαι εἰς ὄνομα* Πατρὸς *καὶ* Υἱοῦ *καὶ* Ἁγίου Πνεύματος, *οὐ φρονίμως τινὲς ἐντυγχάνοντες τοῖς γεγραμμένοις, ἀκούοντες τῆς προτροπῆς* Πέτρου *παραινοῦντος βαπτισθῆναι ἕκαστον ἐν τῷ ὀνόματι* Ἰησοῦ Χριστοῦ, *οἷον τὴν ἰσοδύναμον τὴν μίαν ταῖς τρισὶ προσηγορίαις τοῦ* Σαβελλίου *τρωθέντες γνώμῃ· ἡ μέντοιγε* Ἐκκλησία *ἀδιαίρετον καὶ ἄσχιστον νοοῦσα τὴν* Τριάδα, *τίθεται τὸν* Πατέρα Υἱοῦ, *καὶ τὸν* Υἱὸν Πατρὸς *εἶναι· καὶ τὸ* Ἅγιον Πνεῦμα Πατρὸς *καὶ* Υἱοῦ *τυγχάνειν· ὡς διὰ τὴν ἕνωσιν ταύτην, τὸν βαπτιζόμενον εἰς ὄνομα* Χριστοῦ, *κατὰ τὴν* Τριάδα *βαπτίζεσθαι· οὐκ ἀπομεριζομένου τοῦ* Θεοῦ *περιγραφαῖς καὶ διαστάσεσι* Πατρὸς *καὶ τοῦ* Ἁγίου Πνεύματος.

Καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος·
39 *ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν.*

Τοῦ Χρυσοστόμου. Ἀξιόπιστος ὁ λόγος, ἐξ ὧν αὐτοὶ ἔλαβον· τέως τὸ εὔκολον λέγει καὶ πολλὴν ἔχον δωρεὰν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει· ὑπόθεσις γὰρ αὐτοῖς ἔσται σπουδῆς τὸ ἤδη γεύσασθαι τῶν τοσούτων ἀγαθῶν· ἐπειδὴ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροάτης τί ἦν τὸ τῶν πλειόνων λόγων κεφάλαιον· τοῦτό ἐστι, φησὶν, ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος· ἐπήνεσαν τὰ λεχθέντα καίτοι φόβου γέμοντα, καὶ μετὰ τὴν συγκατάθεσιν τότε ἐπὶ τὸ βάπτισμα ἐξέρχονται.

Καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

Τοῦ αὐτοῦ. Πολλῷ μᾶλλον ὑμῖν τοῖς ἐγγύς.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο καὶ παρεκάλει αὐτοὺς λέγων, σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

Ὅρα αὐτὸν πανταχοῦ ἐπιτέμνοντα καὶ οὐ φιλοτιμούμενον, οὐδὲ δεικτιῶντα· "διεμαρτύρατό," φησι, "καὶ παρεκάλει λέγων·" ἀπηρτισμένη αὕτη ἡ διδασκαλία, τὸ μὲν φόβον, τὸ δὲ ἀγάπην ἔχουσα.

41 Οἱ μὲν οὖν ἀσμένως δεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν.

Πῶς οἴη[h] τοῦτο τοὺς Ἀποστόλους ἀνεκτήσατο; μᾶλλον τοῦ σημείου.

Καὶ προσετέθησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

Ἐνταῦθα πληροῦται ἡ προφητεία τοῦ θεσπεσίου Ἡσαιοῦ λέγουσα. "τίς ἤκουσε τοιοῦτον, καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ "ἐν μιᾷ ἡμέρᾳ, εἰ καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ· ὅτι ὤδινε καὶ "ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς· ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν "ταύτην· εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε πάντες οἱ "ἀγαπῶντες αὐτήν." Καὶ ἃ διὰ λόγων ὁ προφήτης ἐδίδαξεν, ἐνταῦθα ἡ πεῖρα δείκνυσιν ἐναργῶς.

Κατὰ τὴν θείαν πίστιν καὶ ὁ ἀριθμὸς τῶν ἀρξαμένων πιστεύειν τῷ θείῳ βαπτίσματι· τρεῖς χιλιάδες ὁμοουσίων εἰς Τριάδα ὁμοούσιον ἐβαπτίσθησαν.

h Sic Cod.

Περὶ ὁμονοίας κοινωφελοῦς καὶ προσθήκης τῶν πιστῶν.

42 Ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν Ἀποστόλων καὶ τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς.

Τοῦ Χρυσοστόμου. Δύο ἀρεταὶ καὶ τὸ προσκαρτερεῖν καὶ τὸ "ὁμοθυμαδὸν τῇ διδαχῇ" φησὶν "τῶν Ἀποστόλων" πάλιν γὰρ αὐτοὺς ἐδίδασκον, "καὶ τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ "τῇ προσευχῇ·" πάντα κοινά· πάντα μετὰ καρτερίας· οὐ γὰρ μίαν ἡμέραν, οὐ δύο καὶ τρεῖς, ἀλλ' ἐπὶ πολλὰς ἐδιδάσκοντο, ἅτε ἐφ' ἕτερον μεταστάντες βίον.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν Ἀποστόλων ἐγίνετο εἰς Ἱερουσαλήμ· φόβος τὲ ἦν μέγας ἐπὶ πάντας αὐτούς.

Τοῦ αὐτοῦ. Οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν· οὐδὲ τοῖς ὁρωμένοις προσεῖχον· ἄρα πεπύρωτο αὐτῶν ἡ διάνοια· ἐπειδὴ γὰρ ἄνωθεν ἦν πόλυς ῥέων ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐξέστησαν τῷ φόβῳ· καὶ διεμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα· καθάπερ ἐπὶ τοῦ Χριστοῦ πρότερον σημεῖα· εἶτα διδασκαλία· εἶτα θαύματα· οὕτω καὶ νῦν.

Τοῦ αὐτοῦ. Καὶ τῶν οὐ πιστευσάντων δηλονότι, τοσαύτην μεταβολὴν ἀθρόον ἰδόντων, καὶ ἀπὸ τῶν σημείων.

44 Καὶ πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά.

Τοῦ αὐτοῦ. Ὁρᾷς εὐθέως ὅση ἦν ἐπίδοσις, οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ, ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ.

45 Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἂν τις χρείαν εἶχε.

Ἀμμωνίου πρεσβυτέρου. Σημειωτέον ὅτι ὡς ἐπὶ μιᾶς ψυχῆς καὶ ἐπὶ ἑνὸς σώματος οὕτω δεῖ φρονεῖν περὶ παντὸς πιστοῦ· καὶ ὁ τῆς Ἐκκλησίας θεσμὸς κοινὸν βίον θέλει ἔχειν ἅπαντας μεθ' ἑαυτῶν.

Τοῦ Χρυσοστόμου. Οὐχ ἁπλῶς καθάπερ οἱ παρ' Ἕλλησι

σοφοὶ, οἱ μὲν ἀνῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλασσαν ἔρριψαν πολὺ χρυσίον· τοῦτο δὲ οὐχ ὑπεροψίᾳ χρημάτων, ἀλλὰ μωρίᾳ καὶ ἀνοίᾳ. ἐσπούδασε γὰρ ὁ Διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ ἐνὸν καλῶς χρήσασθαι χρήμασιν· ἐνταῦθα δὲ οὐδεὶς ἕτερος ἑτέρου πλεῖον εἶχε, καὶ ταχέως ἦλθεν ἐπὶ τὸ αὐτὸ ἐπὶ τὸ πᾶσι μεταδοῦναι· τοῦτο πολιτεία ἀγγελικὴ, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι· εὐθέως ἡ ῥίζα τῶν κακῶν ἐξεκόπη· δι' ὧν ἔπραττον ἔδειξαν ἃ ἤκουσαν· τοῦτο ἦν ὃ ἔλεγε, "σώθητε ἀπὸ τῆς γενεᾶς " τῆς σκολιᾶς ταύτης."

Πλούσιοι ὄντες ἡδέως ἐπτώχευον, μεμνημένοι τοῦ δι' αὐτοὺς πτωχεύσαντος πλουσίου Θεοῦ.

46 Καθ' ἡμέραν τὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ.

Τοῦ Χρυσοστόμου. *Τῆς διδασκαλίας ἀπήλαυον· σκόπει πῶς μὲν οὐδὲν ἕτερον ἐποίουν Ἰουδαῖοι, οὐ μικρὸν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσήδρευον· ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι καὶ περὶ τὸν τόπον πλείονα εὐλάβειαν εἶχον· οὐ γὰρ ἀπέσπων αὐτοὺς οἱ Ἀπόστολοι τέως ὥστε μὴ βλάψαι.*

Τοῦ αὐτοῦ. *Τουτέστι μία ψυχή· καὶ οὐδὲ ἐνταῦθα λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων τὸν λόγον· ἅτε γὰρ νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ· ἄγγελοι γεγόνασιν ἐξαίφνης ἅπαντες, εὐχῇ καὶ ἀκροάσει προσκαρτεροῦντες· εἶδον ὅτι τὰ πνευματικὰ κοινὰ, καὶ οὐδεὶς ἕτερος ἑτέρου πλεῖον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τοῦτο ἐπὶ τὸ πᾶσι μεταδοῦναι.* Καὶ μετ' ὀλίγα—*Ἐπειδὴ τρισχίλιοι γεγόνασιν, ἐξάγαγον αὐτοὺς λοιπὸν ἔξω· ἅμα δὲ τῆς τοῦ Πνεύματος παρρησίας πολλῆς οὔσης, καθημέραν τε ὥσπερ εἰς ἱερὸν ἀνήεσαν τόπον· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τοῦτο ποιοῦσιν· οὐδὲν γὰρ τέως παρεκίνουν τῶν Ἰουδαϊκῶν. Καὶ αὐτὴ δὲ ἡ τιμὴ εἰς τὸν τόπον διέβαινε τὸ ἐν τῷ οἴκῳ ἐσθίειν· ποίῳ οἴκῳ; ἐν τῷ ἱερῷ· καὶ ὅρα εὐλαβείας ἐπίδοσιν· χρήματα ἔρριψαν καὶ ἔχαιρον· καὶ πολλὴ ἦν ἡ εὐφροσύνη· μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἄπονα· οὐδεὶς ὠνείδιζεν, οὐδεὶς ἐφθόνει, οὐδεὶς ἐβάσκαινεν· οὐκ ἦν τῦφος, οὐκ ἦν ἐξουδένωσις· καθάπερ παιδία ἐνόμιζον ὄντως παιδεύεσθαι· ὡς ἀρτίτοκοι οὕτω διέκειντο· καὶ τί λέγω ὡς ἐν ἀμυδρᾷ εἰκόνι; εἰ μέμνησθε ὅτε τὴν πόλιν ἡμῖν ἔσεισεν ὁ Θεὸς, καὶ πάντες*

ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο· οὐδεὶς πονηρὸς, οὐδεὶς ὕπουλος ἦν· καὶ γὰρ τοιοῦτον ὁ φόβος, τοιοῦτον αἱ θλίψεις· οὐκ ἦν τὸ ἐμὸν καὶ τὸ σόν· διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης· οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο, οὐδεὶς ὡς ἐξ ἀλλοτρίων· καίτοι δοκεῖ αἴνιγμα εἶναι· οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν, δεσποτικὰ γὰρ ἦν· οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν· οὔτε ὁ πένης ᾐσχύνετο, οὔτε ὁ πλούσιος ἐτυφοῦτο· τοῦτό ἐστιν ἀγαλλίασις· κἀκεῖνος ὡς εὐεργετούμενος διέκειτο, καὶ εὖ πάσχων μᾶλλον· καὶ οὗτοι ὡς δοξαζόμενοι· ταύτῃ καὶ πάνυ πρὸς αὐτοὺς ἦσαν συνδεδεμένοι. Καὶ μετ' ὀλίγα—Ὅρα πόσα αὐτοῖς προμαρτυρεῖ· πίστιν γνησίαν· βίον ὀρθόν· τὴν ἐν ἀκροάσει καρτερίαν· τὴν ἐν εὐχαῖς· τὴν ἐν ἀσφαλείᾳ· τὴν ἐν εὐφροσύνῃ· δύο ἦν ἱκανὰ καλεῖν αὐτοὺς εἰς ἀθυμίαν· ἥτε νηστεία καὶ τὰ χρήματα ἀπόλλυσθαι· ἀλλὰ διά τε ἀμφότερα ἔχαιρον· τίς γὰρ τοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν ὡς πατέρας κοινούς· οὐδὲν ἔτικτον πονηρὸν κατ' ἀλλήλων· τὸ πᾶν ἐπέτρεπον τῇ χάριτι τοῦ Θεοῦ.

Κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς
47 ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας· αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει τοῖς σωζομένοις καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

Τοῦ Χρυσοστόμου. Τὸν ἄρτον δοκεῖ μοι λέγων, καὶ νηστείαν ἐνταῦθα σημαίνειν καὶ σκληρὸν βίον· τροφῆς γὰρ οὐ τρυφῆς μετελάμβανον.

Τοῦ αὐτοῦ. Ὁρᾷς ὅτι οὐχ ἡ τρυφὴ ἀλλ' ἡ τροφὴ τὴν ἀπόλαυσιν ἐποίει· οἱ μὲν γὰρ τρυφῶντες ἐν κολάσει καὶ λύπῃ, οὗτοι δὲ οὐχί. Ὁρᾷς ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτον εἶχον τὸν τοῦ βίου σωφρονισμόν· οὐ γὰρ ἔνι γενέσθαι ἀγαλλίασιν, μὴ ἀφελείας οὔσης.

Τοῦ αὐτοῦ. Πῶς εἶχον χάριν πρὸς ὅλον τὸν λαόν; δι' ὧν ἐποίουν, διὰ τῆς ἐλεημοσύνης· μὴ γάρ μοι ὅτι[1] οἱ ἀρχιερεῖς ἐπέστησαν αὐτοῖς ὑπὸ φθόνου καὶ βασκανίας τοῦτο ἴδῃς, ἀλλ' ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον.

[1] Lacunam indic. rec. m.

Τοῦ αὐτοῦ. Πάλιν ὁμόνοια· ἡ ἀγάπη τὸ πάντων αἴτιον τῶν ἀγαθῶν· οὐκ ἤρκει τὰ λεχθέντα· ἐκεῖνα μὲν γὰρ ὥστε ἐπάγεσθαι πρὸς τὴν πίστιν ἦν ἱκανά· ταῦτα δὲ, τίνα χρὴ τὸν πιστὸν ποιεῖν.

Ἐξ ἀνεπιγράφου. Ὁ συνεργῶν Κύριος τοῖς προαιρουμένοις τὸ ἀγαθὸν τοὺς σπουδάζοντας συγκαταριθμηθῆναι, μᾶλλον δὲ ἑνωθῆναι τοῖς προλαβοῦσι, τὴν πίστιν προσετίθει καθ' ἑκάστην τῇ Ἐκκλησίᾳ ἐπὶ τὸ αὐτό· νοήσεις δὲ τὸ λεγόμενον ἐκ τοῦ εἰρημένου ἐν Εὐαγγελίῳ· "Πᾶν ὃ δίδωσί μοι ὁ Πατήρ μου, πρὸς ἐμὲ ἥξει·" τὸν γὰρ ἐρχόμενον πρὸς τὸν Υἱὸν, δίδωσιν αὐτῷ ὁ Πατήρ· δηλοῖ δὲ τὸ ἔρχεσθαι προαιρετικὴν ὁρμὴν, τὸ δὲ δεδόσθαι ὑπὸ τοῦ Πατρὸς συνεργίαν τελειοῦσαν τὴν ὁρμὴν τοῦ παρ' ἰδίαν βούλησιν ἐρχομένου· ὅθεν οἰχέσθω ὁ μύθος τῶν τὰς φύσεις εἰσαγόντων· τοὺς γὰρ οὕτως ἔχοντας ἡ φύσις αὐτῶν προστίθησιν αὐτοὺς τοῖς πιστοῖς, ἀλλ' οὐχ ὁ Κύριος.

ΚΕΦ. Δ.

Περὶ τῆς ἐν Χριστῷ θεραπείας τοῦ ἐκ γενετῆς[k] χωλοῦ· Πέτρου τε κατηχήσεως ἐκλεκτῆς[l] συμπαθητικῆς, συμβουλευτικῆς πρὸς σωτηρίαν αὐτῶν.

1 Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς
2 τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην· καί
τις ἀνὴρ χωλὸς ἐκ κοιλίας τῆς μητρὸς αὐτοῦ ὑπάρχων
ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ
ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην
παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν.

Τοῦ Χρυσοστόμου. Πανταχοῦ φαίνονται οὗτοι βεβαίαν ἔχοντες τὴν ὁμόνοιαν· τούτῳ νεύει ὁ Πέτρος· ὁμοῦ εἰς τὸν τάφον ἀπῆλθον· περὶ αὐτοῦ φησὶ τῷ Χριστῷ, "οὗτος δὲ τί;" τὰ μὲν οὖν ἄλλα σημεῖα παρεῖδεν ὁ τὸ βιβλίον συγγράφων· λέγει δὲ σημεῖον ἀφ' οὗ πάντας ἐκίνησε. Καὶ ὅρα πάλιν αὐτοὺς, οὐ προηγουμένως ἐπ' αὐτὰ ἐρχομένους· οὕτω φιλοτίμως ἦσαν καθαροί. Καὶ μετ' ὀλίγα—Φυσικὸν τὸ πάθος ἦν· κρεῖττον τεχνῆς ἰατρικῆς· τεσσαράκοντα ἦν ἔτη πεποιηκὼς ἐν τῇ Γαλιλαίᾳ καθὼς προϊὼν φησίν· οὐδεὶς αὐτὸν ἐν πάντι τῷ χρόνῳ ἐθεράπευσε· ταῦτα γὰρ μάλιστα δύσκολά ἐστιν ἅπερ ἂν ἐκ γενετῆς[m] ᾖ· καὶ ἐπίσημος δὲ ὁ ἀνὴρ ἦν, ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ πάθους.

[k] γεννητ̃ Cod. [l] ἐκλεκτῆς om. Cod. N.C. [m] γεννητῆς Cod.

Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας. *Δοκεῖ γὰρ ὁ χωλὸς οὗτος τύπον ἐπέχειν πάσης τῆς ἀνθρωπότητος, ἤγουν τῆς ἐκ τῶν ἀθέων καὶ ἐλπίδα μὴ ἐχόντων ἐθνῶν συλλεγείσης Ἐκκλησίας καὶ περιποιηθείσης, ὡς γέγραπται· ἥντινα νενεκρωμένην μὲν ἐζωοποίησεν ὁ Χριστὸς τῷ οἰκείῳ θανάτῳ, παρειμένην δὲ πρὸς τὰ τῆς δικαιοσύνης ἔργα καὶ βαίνειν τὸ παράπαν οὐ δυναμένην, ἀλλ' ἔξω κειμένην τοῦ ἱεροῦ, τὴν χεῖρα τῆς διδασκαλίας ὀρέξαντες, ἀνέστησαν οἱ Ἀπόστολοι· ἀργύριον μὲν καὶ χρυσίον οὐ δόντες, εἰ καὶ περὶ ταῦτα ἐκεχήνει, καὶ περὶ τὴν ὑλικὴν φαντασίαν ἐπτόητο· τὴν δὲ ὡραίαν αὐτῇ θύραν ὅλην ἀνοίξαντες· ἥτις ἐστὶν Ἰησοῦς, "ὁ ὡραῖος μὲν κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων," ὡς ὁ Προφήτης φησὶν, εἰσάγων δὲ τοὺς πιστεύοντας πρὸς τὴν ἑαυτοῦ γνῶσιν καὶ τοῦ Πατρὸς οἷα δὴ θύρα· καὶ ἐν Εὐαγγελίοις βοᾷ· "ἐγώ "εἰμι ἡ θύρα."*

3 Ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς
4 τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν· ἀτενίσας δὲ Πέ-
τρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς·
5 ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.

Σευήρου ἀπὸ λόγου ΟΔ. *Διὰ τοῦτο ὡς ἔοικεν ὁ χωλὸς καὶ Πέτρον ᾔτει καὶ Ἰωάννην τὴν τοιαύτην εἰσφορὰν εἰσφέρειν αὐτῷ, δεικνὺς ὡς καὶ τοῖς κατ' ἐκείνου τὴν ἀρετὴν εἰς προσευχὴν πορευομένοις ἀναγκαῖος ὁ περὶ τοὺς ἐνδεεῖς οἶκτος καὶ ἔλεος.*

Τοῦ Χρυσοστόμου. *Καὶ οὐδὲ οὕτως ἀνέστη αὐτοῦ ἡ διάνοια, ἀλλ' ἐπέμενεν ἐνοχλῶν· τοιοῦτον γὰρ ἡ πενία· καὶ εὐρώστους ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει· αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες. Ὅρα δέ μοι τὴν ἐπιείκειαν τοῦ Πέτρου· "εἰπέ," φησι, "βλέψον εἰς ἡμᾶς·" οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον.*

6 Εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει
μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ
7 Χριστοῦ τοῦ Ναζωραίου, ἔγειρε καὶ περιπάτει. καὶ πιά-
σας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν αὐτόν.

Σευήρου Ἀντιοχείας. *Ἀρέσκει σοι, φησὶν, εἰς διδασκαλίαν, καὶ τὴν ἐκ ταύτης ὑγείαν καὶ ἐπανόρθωσιν, τὸ μόνον ἰδεῖν ἡμᾶς·*

ἔασον οὖν τὸ ἀργύριον καὶ τὸ χρυσίον, τὰ ξόανα καὶ σεβάσματα τῶν ἐθνῶν· τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἃ καθάπερ σὺ πόδας ἔχεις καὶ οὐ περιπατεῖς.

Τοῦ Χρυσοστόμου. Οὕτως οὐδὲν εἶχον, καὶ ὅμως πάντα κατεῖχον· τί ταύτης σεμνότερον τῆς φωνῆς; τί μακαριώτερον; ἕτεροι μὲν γὰρ ἐπὶ τοῖς ἐναντίοις ἀβρύνονται, λέγοντες, ἔχω τόσα καὶ τόσα χρυσίου τάλαντα, καὶ πλέθρα γῆς ἄπειρα, καὶ οἰκίας καὶ ἀνδράποδα· οὗτος δὲ ἐπὶ τὸ πάντων εἶναι γυμνόν· καὶ οὐ καταδύεται τῇ πενίᾳ, ὅπερ πάσχουσιν οἱ ἀνόητοι· ἀλλ' οὐδὲ ἐγκαλύπτονται καὶ καλλωπίζονται. Καὶ μετ' ὀλίγα—Ἤκουσα τῆς Πέτρου φωνῆς τῆς ἐπιδεικνυμένης πενίαν πλούτου μητέρα τῆς οὐδὲν ἐχούσης καὶ τῶν τὰ διαδήματα περικειμένων εὐπορωτέρας· αὕτη γὰρ μηδὲν ἔχουσα, καὶ νεκροὺς ἀνίστη, καὶ χωλοὺς διώρθου, καὶ δαίμονας ἤλαυνε· καὶ τοιαῦτα ἐχαρίζετο, ἅπερ οἱ τὴν ἁλουργίδα περιβεβλημένοι, καὶ τὰ μεγάλα καὶ φοβερὰ στρατόπεδα ἄγοντες, οὐδέποτε ἴσχυσαν χαρίσασθαι.

Σευήρου ἀπὸ λόγου οδ. Διδάσκων ὡς χρὴ μᾶλλον οὗ ἔχει τις, τούτου μεταδιδόναι τοῖς ἐνδεέσιν, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ τυγχάνει, καὶ μὴ ἴδιον ἀλλὰ κοινὸν τὸ κτῆμα λογίζεσθαι· καὶ τὸν δεδωκότα ἐννοεῖν καὶ ἑαυτοῦ κατεπάδειν καὶ λέγειν· τί ἔχεις ὃ οὐκ ἔλαβες; Καὶ μετ' ὀλίγα—Ἀλλ' ἴδωμεν πῶς ἐν τύπῳ τοῦ χωλοῦ τὴν Ἐκκλησίαν διανέστησε Πέτρος καὶ Ἰωάννης καὶ οἱ λοιποὶ τῶν Ἀποστόλων, ὁμοίως πρὸς τὴν θεογνωσίαν πάλαι χωλεύουσαν, καὶ ἐκ κοιλίας μητρὸς αὐτῆς ἁμαρτίᾳ παρειμένην διὰ τὴν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας παράβασιν. Καὶ μετ' ὀλίγα—"Ἐν τῷ "ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ἔγειρε καὶ περιπάτει·" καὶ ταῦτα εἴποντες καὶ λαμβανόμενοι τῆς δεξιᾶς χειρὸς αὐτοῦ[l] ἤγειραν· οὐ γὰρ ἂν δεξιάν τινα καὶ εἰς ἀρετὴν φέρουσαν πρᾶξιν ἐνεργῆσαι ἴσχυσεν, εἰ μὴ τὴν δεξιὰν καὶ τὴν φυσικὴν αὐτῆς δύναμιν τοῖς διδάγμασιν ἐπέρρωσαν οἱ Ἀπόστολοι, χειρὶ χεῖρα ἀνάψαντες· καὶ "παραχρῆμα ἐστερεώθησαν αἱ βάσεις αὐτοῦ[m] καὶ τὰ σφυρά·" ἔστησε γὰρ τοὺς πόδας εἰς τὴν πέτραν τῆς πίστεως.

Παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά.

[l] αὐτῆς Cod. [m] αὐτῆς Cod.

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προήγαγεν, ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν· ἵνα μὴ δόξῃ ἀπὸ ταυτομάτου γενέσθαι· "καὶ πιάσας αὐτοῦ τῆς δεξιᾶς χειρὸς "ἤγειρε" φησί· τοῦτο ἐποίησε δήλην τὴν ἀνάστασιν· ἀναστάσεως γὰρ ἡ εἰκών.

8 Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Ἀλλὰ καὶ ἐπῆδα, καὶ ἅλμασιν ἐχρῆτο, σκιρτῶν τοῖς θείοις διανοήμασιν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Πειράζων ἴσως ἑαυτόν· καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο· μὴ γὰρ ἂν ἁπλῶς ἐστὶ τὸ γεγονός· ἀσθενεῖς ἦσαν αὐτοῦ οἱ πόδες οὐ κεκομμένοι· τινὲς δὲ φασὶν ὅτι καὶ ἠγνόει περιπατεῖν.

Καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ
9 ἀλλόμενος καὶ αἰνῶν τὸν Θεόν· καὶ εἶδε πᾶς ὁ λαὸς
αὐτὸν περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Ὄντως θαύματος ἄξιον· οὐκ αὐτοὶ αὐτὸν ἐπάγονται, ἀλλ' αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς· "καὶ ἀλλόμενός," φησι, "καὶ αἰνῶν τὸν Θεόν·" οὐκ ἐκείνους θαυμάζων, ἀλλὰ τὸν Θεὸν δι' αὐτῶν ἐνεργήσαντα. εὐχάριστος ἦν ὁ ἀνήρ.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Τῶν ἱερῶν καὶ τοῖς λοιποῖς ἀψαύστων θεωρημάτων ἐμφιλοχωροῦσα τοῖς βάθεσι, καὶ αὐτὴ λοιπὸν τοὐναντίον κρατοῦσα τοὺς Ἀποστόλους, καὶ δυσαποσπάστως ἔχουσα, καὶ οὐχ ὑπ' αὐτῶν κρατουμένη.

10 Ἐπεγίνωσκον δὲ αὐτὸν, ὅτι αὐτὸς ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ.

Καλῶς εἶπεν "ἐπεγίνωσκον," ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος· ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. ἔδει πιστευθῆναι ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπουγε καὶ τοιαῦτα ἐργάζεται.

Καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ
11 συμβεβηκότι αὐτῷ· κρατοῦντος δὲ αὐτοῦ τὸν Πέτρον

καὶ τὸν Ἰωάννην, συνέδραμε πᾶς ὁ λαὸς πρὸς αὐτοὺς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι.

Ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας, οὐκ ἐχωρίζετο αὐτῶν, ἴσως εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν.

Αὕτη μὲν ἡ στοὰ ἵστατο ἀπὸ τῆς κατασκευῆς Σολομῶντος· ἐνέπρησε γὰρ τὸ ἱερὸν ὁ Ναβουχοδονόσορ, καὶ ᾠκοδόμησε Κῦρος ὁ Πέρσης.

12 **Ἰδὼν δὲ ὁ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;**

Τοῦ Ἁγίου Εἰρηναίου Ἐπισκόπου Λουγδούνων. Φανερὸν τὸ κήρυγμα ὁ Πέτρος σὺν Ἰωάννῃ ἐκήρυσσεν αὐτοῖς, τὴν ὑπόσχεσιν ἣν ἐποιήσατο ὁ Θεὸς τοῖς πατράσιν Ἰησοῦ πεπληρῶσθαι εὐαγγελιζόμενος· ἀλλ' οὐκ ἄλλον Θεὸν καταγγέλλων, ἀλλὰ τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν καὶ ἄνθρωπον γεγονότα καὶ παθόντα· εἰς ἐπίγνωσιν ἄγων τὸν Ἰσραὴλ, καὶ ἐν Ἰησοῦ τὴν ἀνάστασιν τῶν νεκρῶν κηρύσσων, καὶ σημαίνων ὅτι ὅσα οἱ προφῆται κατήγγειλαν περὶ τοῦ πάθους τοῦ Χριστοῦ, ταῦτα ἐπλήρωσεν ὁ Θεός.

Τοῦ Χρυσοστόμου. Οὐδὲ τοῦτο· οὐ γὰρ ἐπειδὴ ἄξιοι ἐσμὲν ἐπεσπασόμεθα τοῦ Θεοῦ τὴν ῥοπήν· "ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς "Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν." Ὅρα πῶς αὐτὸν εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους· ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα· καὶ ἐκεῖ τοῦ Πατριάρχου Δαβὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῶν περὶ τῶν Ἀβραάμ.

Τοῦ αὐτοῦ. Οὐ τοῦτο ὑμᾶς ταράττει καὶ θορύβει· μάθετε τίς ὁ ποίησας, καὶ μὴ ἐκπλήττεσθε. καὶ ὅρα πανταχοῦ ὅταν ἐπὶ τὸν Θεὸν καταφεύγῃ, καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει, ὡς καὶ ἀνωτέρω ἔλεγεν, "ἄνδρα ἀποδε"δειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ἡμᾶς·" καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ ἡ ἀνάστασις κυρωθῇ.

Ἀμμωνίου. Σημειωτέον ὅτι κἂν σημεῖα τις ποιῇ, οὐκ ὀφείλει ἐπαίρεσθαι.

13 **Ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς**

Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν· ὃν ὑμεῖς μὲν παρεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν.

Τοῦ Χρυσοστόμου. Πάλιν ταπεινῶς καθὼς ἐν προοιμίῳ· εἶτα λοιπὸν ἐνδιατρίβει τῷ τολμήματι καὶ ἐπαίρει τὸ γεγενημένον. Καὶ μετ' ὀλίγα—Δύο τὰ ἐγκλήματα· ὅτι ὁ Πιλάτος ἤθελεν ἀπολύειν· καὶ ὅτι ὑμεῖς ἐκείνου θελήσαντος οὐκ ἠθελήσατε.

Ἐκ ἀνεπιγράφου. Τί φῂς Πέτρε; ὃν οὖν καταγγέλλεις Ἰησοῦν, οὐκ ἔστι Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ; καὶ ἀλλαχοῦ· "ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ "οὐκ ἔστι·" καὶ ἐν τοῖς Εὐαγγελίοις πάλιν τοῖς θεομάχοις Ἰουδαίοις· "ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πρὸ Ἀβραὰμ εἰμὶ ἐγώ." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὃν ὑμεῖς ὡς ἀντίθεον καὶ παραβάτην ἐσταυρώσατε, καὶ ὡς ἀντιπολιτευόμενον τῷ νόμῳ, Θεός ἐστι καὶ Θεοῦ Υἱὸς, ὃς τὸν νόμον δέδωκε καὶ τοὺς προφήτας ἀπέστειλε. Καὶ μετ' ὀλίγα—Μὴ τοίνυν θαυμάζετε ἐπὶ τούτῳ, καὶ ἡμῖν τι ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν· ὁ Θεὸς γὰρ ἐξαποστείλας τὸν ἑαυτοῦ Υἱὸν, τὴν ἰδίαν δύναμιν δι' οὗ τὰς ἀρχὰς καὶ μεθ' οὗ τοὺς θρόνους ὑπεστήσατο· δι' οὗ καὶ μεθ' οὗ τὰς κυριότητας διετάξατο, καὶ τὴν ἄνω διετυπώσατο Ἱερουσαλήμ· δι' οὗ καὶ μεθ' οὗ τοὺς οὐρανοὺς ἐκαμάρωσε, καὶ τὴν γῆν ἥδρασε, καὶ τὴν θάλασσαν ἐθεμελίωσε, καὶ τὸν ἄνθρωπον κατ' εἰκόνα ἐποίησε καὶ ὁμοίωσιν τὴν αὐτοῦ· δι' αὐτοῦ νῦν καὶ τοῦτον ἐποίησε περιπατεῖν ἐνωπίον ὑμῶν· μὴ τοίνυν ἡμῖν ἀτενίζετε, ἀλλ' ἐκεῖνον ἐπίγνωτε, ὃν ὁ Πατὴρ ἐδόξασεν, ὃν ὁ Πατὴρ ἐγνώρισεν ἡμῖν, ὃν ὁ Πατὴρ ἐφανέρωσε, καὶ τὸ Πνεῦμα ἐμαρτύρησε, ὃν ὁ Πατὴρ ὑμῖν ἐχαρίσατο· ἐκεῖνον προσκυνήσατε, ἐκεῖνον δέξασθε καὶ δοξάσατε· ἐκείνῳ προσέλθετε, καὶ παρ' αὐτῷ φωτίσθητε· ὃν ὁ Πατὴρ φῶς ἀπέστειλεν εἰς τὸν κόσμον, ὃν ὑμεῖς ἐσταυρώσατε.

14 Ὑμεῖς δὲ τὸν Ἅγιον καὶ Δίκαιον ἠρνήσασθε, καὶ ἠτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν.

Τοῦ Χρυσοστόμου. Ὅτι ἀντ' αὐτοῦ, φησὶ, λῃστὴν ᾐτήσασθε· σφόδρα ἐδείνωσε τὸ πρᾶγμα· ἐπειδὴ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς.

Τοῦ αὐτοῦ. Κρίναντος Πιλάτου ἀπολύειν ἐκωλύσατε· τὸν μὲν ἑτέρους ἀνέλοντα ᾐτήσατε ἀπολυθῆναι· τὸν δὲ τοὺς ἀνῃρημένους ζωοποιοῦντα, οὐκ ἠθελήσατε. Καὶ ἵνα μὴ λέγωσι πάλιν, πῶς νῦν αὐτὸν δοξάζει ὁ Θεὸς, ὁ τότε μὴ βοηθήσας; παράγουσι τοὺς προφήτας μαρτυροῦντας, ὅτι οὕτω ἔδει γενέσθαι. Καὶ μετ' ὀλίγα— Καθάπερ γὰρ τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι καὶ ἀνενέγκωσιν ἐκ τῆς μέθης, τότε ἐπιπλήττομεν· οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε τὴν γλῶτταν ἠκόνησε· πολλά τε ἐγκλήματα ἐπάγων· ὅτι ὃν ὁ Θεὸς ἐδόξασεν οὗτοι παρέδωκαν· ὅτι ὃν ὁ Πιλάτος ἀπέλυσε· καὶ ὅτι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου· ὅτι προετίμησαν τὸν λῃστήν.

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε· ὃν ὁ Θεὸς
16 ἤγειρεν ἐκ νεκρῶν· οὗ ἡμεῖς μάρτυρες ἐσμέν· καὶ ἐπὶ
τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ
οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει· "ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν·" πόθεν τοῦτο; οὐκ ἔτι εἰς προφήτας καταφεύγει, ἀλλ' εἰς ἑαυτὸν, ἐπειδὴ λοιπὸν ἀξιόπιστος ἦν· τότε μὲν γὰρ εἰπὼν ὅτι ἀνέστη, ἐπηγάγετο μάρτυρα· νῦν δὲ εἰπὼν, ἐπεισήγαγε τὸν χορὸν τὸν Ἀποστολικόν· "οὗ "ἡμεῖς," φησὶν, "ἐσμὲν μάρτυρες," καὶ τὰ ἑξῆς· ζητῶν τὸ πράγμα εἰπεῖν, καὶ πρὶν ἤ τι εἰπεῖν εὐθέως τὸ σημεῖον παράγει· ἐνώπιον, φησὶ, πάντων ὑμῶν· ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, διδοὺς αὐτοῖς ἐξουσίαν μετανοίας· καὶ νῦν φησὶν, "ἀδελφοὶ, οἶδα ὅτι κατ' ἄγνοιαν "ἐπράξατε," καὶ τὰ ἑξῆς.

Τοῦ αὐτοῦ. Οὐκ ἄρα παρ' ἑτέρου ἔσχε τὸ ζῆν· ὁ ἀρχηγὸς τῆς κακίας τίς ἂν εἴη; ὁ τὴν κακίαν τεκών· ὁ ἀρχηγὸς τοῦ φόνου· ὁ τὸν φόνον τεκών· οὕτω καὶ ὁ ἀρχηγὸς τῆς ζωῆς, ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων· ὅτι μὲν οὖν ἀθῶον ἀνῃρεῖτε, ᾔδητε, ὅτι δὲ ἀρχηγὸν τῆς ζωῆς, ἴσως ἠγνοεῖτε.

Ἐξ ἀνεπιγράφου. Ἵνα εἴπῃ, δι' οὗ ἐγενόμεθα καὶ ζῶμεν καὶ ἐσμὲν, τὸν αἴτιον τοῦ ἡμετέρου φυράματος, τὸν σύμβουλον καὶ βούλησιν τοῦ Πατρὸς τοῦτον μετὰ τοῦ Πατρὸς δοξάζετε· τοῦτον

ἀπὸ τοῦ Πατρὸς ἐληλυθότα λάβετε· ταύταις ταῖς θεοσημείαις μὴ ἡμῖν ἀτενίζετε.

ΘΕΟΔΟΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ἈΓΚΥΡΑΣ. *Καὶ μὴν ὁ τῆς ζωῆς ἡμῶν ἀρχηγὸς ἐστὶν ἀθάνατος, ἀλλ' ἑνωθεὶς τῷ θνητῷ ἀπεκτάνθη, φησίν· ἡ γὰρ πρὸς Θεὸν ἕνωσις οὐκ ἀφίησιν εἰς ἄνθρωπον μόνον περιγράφεσθαι τὰ παθήματα· διὰ τοῦτο δὴ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ καλεῖ Ἰησοῦν· τὴν προσηγορίαν τὴν ἐκ τῆς Μαρίας τεθεῖσαν τῷ βρέφει, ἐκείνου γεγονέναι δηλῶν· καὶ τὸν αὐτὸν πάλιν ἄνθρωπον καλεῖ καὶ ἀρχηγὸν προσαγορεύει ζωῆς· τὸν αὐτὸν ποιητήν τε ὁμοῦ τῶν ἁπάντων δεικνὺς καὶ ἄνθρωπον θανάτου γευσάμενον.*

Καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

ἈΜΜΩΝΙΟΥ. *"Καὶ ἡ πίστις ἡ δι' αὐτοῦ·" ὅτι διὰ πίστεως τῆς εἰς Χριστὸν ὑγιάζεταί τις· δεῖ οὖν ἀμφοτέρων τὴν πίστιν συνδραμεῖν, καὶ τοῦ ὑγιαζομένου καὶ τοῦ ὑπερευχομένου· ὅμοιον ἐπὶ τοῦ παραλύτου καὶ τῆς αἱμορροούσης.*

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Μία αὕτη ἀπολογία· δευτέρα ἑτέρα· ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς λέγει, "ὅτι ὁ Θεός με ἀπέστειλεν "ἔμπροσθεν ὑμῶν·" ὅπερ ἐκεῖ συνεσταλμένως ἔλεγε, "τῇ ὡρισμένῃ "βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες," τοῦτο πλατύνει ἐνταῦθα.*

17 Καὶ τὰ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν.

ΤΟΥ ΑΥΤΟΥ. *Ἅμα δεικνὺς ὅτι οὐκ ἐκείνων ἐστὶν, ἐὰν τοῦτο δειχθῇ, ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε· τὰ ῥήματα δὲ ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον αἰνίττεται, "εἰ θέλει αὐτὸν σωσάτω αὐτὸν" φησίν· "εἶπεν ὅτι Θεοῦ υἱός εἰμι· εἰ πέποιθεν ἐπ' αὐτὸν, καταβήτω ἀπὸ "τοῦ σταυροῦ·" λῆρος ἦν, ὦ ἀνόητοι, ταῦτα, οὕτω γὰρ ἔδει γενέσθαι· καὶ μαρτυροῦσιν οἱ προφῆται, ὥστε οὐ παρὰ οἰκείαν ἀσθένειαν οὐ κατέβη· ἀλλ' οὐδὲ παρὰ δύναμιν· καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται· ἐπλήρωσε φησὶν οὕτως· ὁρᾷς πῶς νῦν αὐτὸν δοξάζει ὁ τότε μὴ βοηθήσας. παράγουσι τοὺς προφήτας μαρτυροῦντας ὅτι οὕτως ἔδει γενέσθαι.*

18 Ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων

τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστὸν αὐτοῦ, ἐπλή-
19 *ρωσεν οὕτως· μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ*
ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας.

Τοῦ αὐτοῦ. Ἐνταῦθα τὸν περὶ τῆς οἰκονομίας κινεῖ λόγον· ἐν βραχεῖ ῥήματι πέλαγος ἄφατον ἀνοίξας· ὁ γὰρ ἀνέκφραστος καὶ ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ὁ δόξαν ἔχων ἄφατον, ὁ φῶς οἰκῶν ἀπρόσιτον, μεγαλωσύνην ἀπέραντον· τοῦτο γάρ ἐστι, πλούσιος ὢν ἐπτώχευσεν· ἄνθρωπος ἐγένετο, κατεδικάσθη, ἐσταυρώθη, τὰ μύρια ἔπαθεν.

Ἐξ ἀνεπιγράφου. Τινὲς τῶν προφητῶν προεκήρυξαν τὴν ἐπιδημίαν τοῦ Κυρίου, καὶ τὰ πάθη ἃ ὑπὲρ ἀνθρώπων ἔμελλεν ἀναδέξασθαι· τὰς περὶ τούτων οὖν προφητείας ἐκβεβηκυίας ἐν τῷ σταυρωθῆναι Χριστὸν, ἐπλήρωσεν ὁ Θεός· ὅθεν ὅταν λέγῃ πάντων τῶν προφητῶν πεπληρῶσθαι τοὺς λόγους, τοῦ Σωτῆρος παθόντος, οὐ καθάπαξ πάντας τοὺς προφήτας ἐκλαμβάνομεν, ἀλλὰ πάντας τοὺς προαναφωνήσαντας τὰ τοῦ Χριστοῦ παθήματα, ἄχρι καιρῶν ἀποκαταστάσεως.

Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου
20 Κυρίου, καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Ἰη-
21 σοῦν Χριστὸν, ὃν δεῖ οὐρανὸν δέξασθαι.

Διδύμου. Ὁ προσέχων τῇ ἀναγνώσει πολλὰ εἴδη προφητείας εὕροι δηλούμενα ἐν ταῖς γραφαῖς· ὧν ἐστιν ἡ τῶν μελλόντων προαναφώνησις. τούτῳ τῷ εἴδει τῆς προφητείας κοσμηθέντες θεόθεν ἄνδρες τινὲς προεθέσπισαν τὴν ἐπιδημίαν τοῦ Χριστοῦ καὶ τὰ πάθη, ἃ ὑπὲρ ἀνθρώπων ἔμελλεν ἀναδέξασθαι· τὰς περὶ τούτων προφητείας ἐκβεβηκυίας ἐν τῷ σταυρωθῆναι τὸν Ἰησοῦν, ἐπλήρωσεν ὁ Θεός· ὅθεν ἐὰν γράφηται ἐντεῦθεν πάντων τῶν προφητῶν πεπληρῶσθαι τοὺς λόγους, τοῦ Σωτῆρος παθόντος, οὐ καθάπαξ πάντας τοὺς προφήτας ἐκλαμβάνομεν, ἀλλὰ πάντας τοὺς προαναφωνήσαντας τὰ Χριστοῦ παθήματα.

Τοῦ Χρυσοστόμου. Δείκνυσιν ἐνταῦθα ταλαιπωρηθέντας αὐτοὺς καὶ πολλοὺς κατεργαθέντας πολέμοις· πρὸς γὰρ τὸν καυσούμενον καὶ παραμυθίαν ἐπιζητοῦντα, οὗτος ἂν ἁρμόσειεν ὁ λόγος. ὅρα πῶς ὁδῷ προβαίνει· ἐν μὲν τῇ πρώτῃ δημηγορίᾳ ἠρέμα τὴν

ἀνάστασιν καὶ τὴν ἐν οὐρανῷ κάθισιν ἠνίξατο· ἐνταῦθα δὲ καὶ τὴν ἐμφανῆ παρουσίαν.

Τοῦ αὐτοῦ. *Ἐνταῦθα περὶ τῆς ἀναστάσεως διαλέγεται ἀμυδρῶς· ὄντως γὰρ ἐκεῖνοι "ἀναψύξεως καιροὶ," οὓς ἐπεζήτει Παῦλος λέγων, "καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι."*

Ἀχρὶ χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος αὐτοῦ προφητῶν.

Σχόλιον. *Τὸ ἀχρὶ καὶ τὸ ἕως παρὰ τῇ θειᾳ γραφῇ οὐ χρόνων ἐστὶ σημαντικόν· ἐπεὶ πῶς νοητέον τὸ εἰρημένον πρὸς Θεόν; "ἕως τοῦ αἰῶνος σὺ εἶ·" ἔστιν οὖν ὁ νοῦς οὗτος τοῦ προκειμένου· πολλὰ, φησὶν, εἶπον οἱ προφῆται γίνεσθαι, ἃ οὔπω πάντα πεπλήρωται· ἀλλ' ἔτι γίνονται καὶ γενήσονται ἕως τῆς συντελείας τοῦ κόσμου· ἀναστὰς οὖν, φησὶν, ὁ Σωτὴρ ἐκ νεκρῶν, ἀνελήφθη εἰς οὐρανόν· ἀλλὰ καὶ μένει ἐκεῖ, ἕως τῆς τοῦ κοσμοῦ συντελείας, ἐλευσόμενος τότε μετὰ δυνάμεως καὶ δόξης θεοπρεποῦς κρῖναι ζῶντας καὶ νεκρούς.*

Διδύμου. *Ἑπόμενος τίς τῇ συνηθείᾳ τῆς γραφῆς, τὸ ἄχρι καὶ τὸ ἕως ἐκλήψεται οὐ πάντως χρονικὰς περιγραφὰς σημαίνοντα· ὡς ἑτέρου τινὸς σημαίνοντος παρὰ τὸ πρότερον μετὰ τὴν χρονικὴν περιγραφήν· τὸ γὰρ ὑπὸ Θεοῦ λεγόμενον πρός τινας· "ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν·" καὶ "ἕως ἂν καταγηράσητε ἐγώ εἰμι" οὐ δηλοῖ, ὅτι μετὰ τὸ γηράσαι τοὺς πρὸς οὓς ὁ λόγος, οὐκ ἔτι Θεός ἐστιν, ἀθάνατος γὰρ καὶ ἀΐδιος ὑπάρχει· τούτῳ μυρία συνᾴδει τῷ αὐτῷ τρόπῳ φερόμενα ἐν τῇ θειᾳ παιδεύσει, ἃς αὐτῷ τις ἐκλέξασθαι δύναται· εἰ τοίνυν οὕτως ἡ προκειμένη φωνὴ λέγει, δεῖν δέξασθαι τὸν οὐρανὸν τὸν Κύριον "ἄχρι χρόνων ἀποκαταστάσεως," καὶ τὰ ἑξῆς· ἡγητέον ὡς Χριστὸς ἀναληφθεὶς εἰς οὐρανοὺς μένει ἐκεῖ, ἕως τῆς τοῦ κόσμου συντελείας· ἐλευσόμενος τότε μετὰ δυνάμεως, ἀποκαταστάντων πάντων λοιπὸν ὧν προεθέσπισαν οἱ προφῆται· ἤτοι ὅταν τὸ τέλος ἐνστῇ καὶ παύσεται τὰ αἰσθητὰ, τότε ὁ Χριστὸς ἔσται τῶν οὐρανῶν ὑψηλότερος· οὐ μὴν ἐν οὐρανῷ ἀποκατασταθεὶς, ἀλλ' ὑπὲρ οὐρανὸν, "εἰς ἣν δόξαν εἶχε παρὰ τῷ Πατρὶ*

"πρὸ τοῦ τὸν κόσμον εἶναι·" ὑπεράνω οὖν γεγονὼς πάσης ὁρωμένης κτίσεως, τέλος ἐπιτίθησι τὸ εἶναι ἐν οὐρανῷ.

22 Μωυσῆς μὲν πρὸς τοὺς πατέρας εἶπεν, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ πρὸς Ῥωμαίους τόμου β. Προφήτης ὠνόμασται διὰ τὸ ἀνθρώπινον ὁ Ἐμμανουὴλ, ὁ ὡς ἐν τάξει Μωσέως μεσίτης Θεοῦ καὶ ἀνθρώπων, καὶ διαπορθμεύων εἰς ἡμᾶς τοῦ ἰδίου Πατρὸς τὴν ἀπόρρητον βούλησιν.

Οὐ τῇ οὐσίᾳ ἀλλὰ τοῖς πράγμασιν· εἰ γὰρ τῇ οὐσίᾳ ἔφη, "ὡς ἐμὲ" οὐχ εἷς ἀνέστη ἀλλὰ πολλοὶ μεχρὶ τῆς δεῦρο.

Τοῦ Χρυσοστόμου. Τὸ "ὡς ἐμὲ" οὐκ ἐπὶ τῆς φύσεως ἀλλ' ἐπὶ τῆς πράξεως ἐκληπτέον· ἐδήλου γὰρ ὡς οὐ μόνον προφήτης ἀλλὰ καὶ νομοθέτης ὁ παραγενόμενος ἔσται· οὐ μόνον δὲ Μωϋσῆς ἀλλὰ καὶ οἱ προφῆται τὴν εἰς ἀνθρώπους αὐτοῦ κατήγγελλον παρουσίαν· κατεσήμαναν γὰρ καὶ τὸν τρόπον τῆς γεννήσεως, ὅτι ἐκ παρθένου· καὶ τὸν τόπον, ὅτι ἐκ Βηθλεέμ· καὶ τὸν χρόνον, τὴν ἑβδομήκοντα ἑβδομάδων προθεσμίαν μηνύοντες· καὶ ὅσα διαπράξεται· ὀφθαλμοὺς λέγοντες αὐτὸν ἀνοίγειν τυφλῶν, καὶ τὰς ἄλλας ἁπάσας εὐεργεσίας· καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ ὅσα πείσεται ὑπὸ τῶν δυσσεβῶν· καὶ τὸν θάνατον αὐτοῦ, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν· ὀψὲ δέ ποτε μετὰ τὴν εἰς οὐρανοὺς τοῦ Κυρίου ἄνοδον ὁ Παράκλητος ἐλθὼν, ἐδίδαξε τοὺς Ἀποστόλους καὶ Εὐαγγελιστὰς τὴν ἀκριβῆ τοῦ μυστηρίου οἰκονομίαν.

Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.

Ἐξ ἀνεπιγράφου. Τί δέ ἐστιν "ὡς ἐμέ;" Μωϋσῆς οὗτος γεννᾶται ἐν Αἰγύπτῳ, φονευομένων τῶν νηπίων ὑπὸ Φαραὼ τῶν ἀρρένων τῶν Ἑβραίων· ὃν λαβοῦσα ἡ μήτηρ καὶ προσποιησαμένη μὴ εἶναι αὐτοῦ μητέρα ἀλλὰ ξενὴν, "κιβώτιον θήβην λεγομένην "κατασκευάσασα καὶ χρίσασα πίσσῃ, ῥίπτει παρὰ τὴν ὀχθὴν τοῦ "ποταμοῦ," καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα—Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁ δεύτερος οὐράνιος Μωϋσῆς, φαίην γὰρ αὐτὸν ἂν καὶ Μωϋσέα· Μωϋσῇ ἐν παραβολῇ συγκρινόμενον, τῇ σκιᾷ, τῷ δούλῳ·

ὁ δεσπότης τῷ κτίσματι, ὁ κτίστης τῷ γηγενεῖ, ὁ ἄναρχος· τούτῳ ὁ Μωϋσῆς, οὐχ ἑαυτὸν τῷ δεσπότῃ ὁ δοῦλος, οὐ τῷ ποιητῇ τὸ ποίημα, οὐ τῷ πλάστῃ τὸ πλάσμα, οὐ τῷ τεχνίτῃ ὁ πηλὸς, ἀλλὰ καιρὸν συγκρίνων καιρῷ, καὶ ἀλήθειαν ἐν σκιᾷ διαγράφων, καὶ ἐπιτηδεύματα ἀνθρώπων προκατασκευαζομένῃ ἀνθρώποις οἰκονομίᾳ, καὶ σχήματα δράμασι Θεοῦ, εὐπορίας, καὶ τρόπον τρόπῳ. Γεννᾶται ἐν Βηθλεὲμ ὁ Χριστὸς, ὡς καὶ Μωϋσῆς ἐν Αἰγύπτῳ· Ἰσραηλίτης ἐκεῖνος, οὗτος τὸ κατὰ σάρκα ὡς ἐκ γένους ἱερατικοῦ, ὡς οὗτος ἐκ Δαβὶδ διὰ τὴν παρθένου· Φαραὼ ἐπ' ἐκείνου, Ἡρώδης ἐπὶ τούτῳ· βρέφη ἐκεῖνος ἀναιρεῖ, βρέφη φονεύει οὗτος· ἀρρενικὰ ἐκεῖνος, ἀρρενικὰ οὗτος· ἐν λάρνακι ἐκεῖνος, καὶ παρὰ ποταμὸν ἐν λύκῳ οὗτος, τῇ παρὰ τὸν αὐτὸν ποταμὸν Αἰγυπτίᾳ πόλει· ὑπὸ ἀλλοφύλου ἐκεῖνος τῆς Φαραωνίτιδος ἐτρέφετο, ὑπὸ πόλεως καὶ οὗτος Φαραωνίτιδος ἐτρέφετο.

Σευήρου Ἀντιοχείας ἐκ τοῦ κατὰ τῆς τοῦ Ἀλικαρνασσέως ἀπολογίας συντάγματος. Καὶ τὸ δὲ "ὡς ἐμὲ" τὸ σχῆμα τῆς νομοθεσίας δηλοῖ, τὸ μόνον ἐκβεβηκὸς εἰς Χριστὸν, καὶ οὐκ εἰς ἑτερὸν προφήτην τινά· πρόδηλον γὰρ ὡς διὰ Μωσέως ὁ νόμος ἐδόθη, ὃν καὶ κατὰ τὸ Δευτερονόμιον ἐκ θείας ἐπιπνοίας ἐπλάτυνε, καὶ νομοθέτου δόξαν ἐκαρποῦτο καὶ ὄνομα· πρωτοτυπῶν τὸν ἀληθῆ νομοθέτην Χριστὸν, τὸν καὶ τὸν νόμον λαλήσαντα· δι' αὐτοῦ γὰρ καὶ ἐν νόμῳ καὶ προφήταις πολυμερῶς καὶ πολυτρόπως, ὡς διὰ ἰδίου Λόγου μονογενοῦς καὶ ἐνυποστάτου καὶ ὁμοουσίου, λελάληκεν ὁ Θεὸς καὶ Πατήρ· τοσοῦτον γὰρ ἀξίωμα νομοθέτου καὶ δόξαν εἶχεν ὁ Μωσῆς, τῇ δόσει τῶν νομικῶν ὑπουργήσας πλακῶν, ὅτι δὴ καὶ αὐτὸν τὸν νόμον Μωϋσέα καλεῖν ἔθος τῇ θείᾳ γραφῇ. Καὶ μετ' ὀλίγα—Ἐπεὶ οὖν ἐν σχήματι νομοθέτου μόνος ἐν προφήταις ὁ Μωϋσῆς, διὰ τοῦτο καὶ μοναδικῶς πρὸς τὸν Χριστὸν ἀποβλέπων ἔλεγε, "προφήτην ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τῶν ἀδελ-" φῶν ὑμῶν, ὡς ἐμέ." καὶ γὰρ ὥσπερ αὐτὸς τὴν νομικὴν εἰσήγαγε πολιτείαν, οὕτως ὁ Χριστὸς τὴν εὐαγγελικὴν, κατὰ τὸ τῆς ἑκουσίου κενώσεως μέτρον· μεσίτης ἀνθρωπίνως τῆς καινῆς διαθήκης καὶ τῆς ἐν Πνεύματι λατρείας γενόμενος· καθὸ γὰρ ὑπῆρχε Θεὸς, αὐτὸς ἦν ἑκατέρας πολιτείας καὶ πρυτάνις καὶ δότης· τοῦτον ᾔτει τὸν νομοθέτην δοθῆναι πᾶσι τοῖς ἔθνεσι, καὶ οὐ καθὰ πάλαι μόνῳ τῷ Ἰσραὴλ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, μελῳδῶν ὧδέ πως ὁ προ-

φήτης Δαβίδ· "Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτούς· γνώ- "τωσαν ἔθνη, ὅτι ἄνθρωποι εἰσί·" τοιγαροῦν καὶ δεξάμενα τὰ ἔθνη τὸν νομοθέτην, τὸν ἐν σαρκὶ φανερωθέντα Θεὸν, ἔγνωσαν ἀληθῶς ὅτι ἄνθρωποί εἰσι, διὰ τῆς εὐαγγελικῆς νομοθεσίας παιδευθέντες τι τὸ οἰκεῖον ἀξίωμα· καὶ ὅτι χρὴ τὴν μὲν ψυχὴν ἀνακαθαίρειν τῶν τῆς ἀλογίας παθῶν, ὡς κατ' εἰκόνα καὶ ὁμοίωσιν γινομένην· τῶν δὲ τῆς σαρκὸς ἡδονῶν ἀμελεῖν, ἵνα καὶ αὐτῇ τῆς ἐν τῇ καταστάσει δόξης κληρονομήσειεν.

23 Ἔσται δὲ, πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προ-
24 φήτου ἐκείνου, ἐξολοθρευσήτεται ἐκ τοῦ λαοῦ· καὶ πάν-
τες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι
ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα καλῶς τὸν ὄλεθρον· ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς πρώτους καταφεύγει, καὶ μαρτυρίαν εὗρεν ἀμφότερα ἔχουσαν ὥσπερ εἶπεν· "ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς "πόδας αὐτοῦ·" τὸ γὰρ θαυμαστὸν, ὅτι ὁμοῦ τὰ δύο καὶ ὑπετάγη, καὶ παρακοὴ καὶ ἡ τιμωρία.

Σχόλιον. Ἀθάνατος οὖσα τοῦ ἀνθρώπου ἡ ψυχὴ, οὐ καθάπαξ ἐξολοθρεύεται, ἀλλ' ἐκ τινὸς τάγματος ἀγαθοῦ, ὅπου ἦν τεταγμένος πρότερον· οὕτω καὶ Ἰούδας ἐξολοθρεύθη ἐκ τοῦ χοροῦ τῶν Ἀποστόλων.

Διδύμου. Ἐπειδὴ ἀθάνατός ἐστιν ἡ ψυχὴ, ἐξολόθρευσιν αὐτῆς νοοῦμεν, τὸ ἔξω γενέσθαι τῶν ἀγαθῶν ὧν ἤμελλεν ἀπολαύειν, εἴγε θεοσεβῶς ἐπολιτεύσατο.

25 Ὑμεῖς δὲ ἐστὲ οἱ υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης,
ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς
Ἀβραὰμ, καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται
πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

Τοῦ Χρυσοστόμου. "Ὑμεῖς ἐστὲ υἱοὶ τῶν προφητῶν," ὥστε ὑμῖν ἔλεγον, καὶ δι' ὑμᾶς πάντα γέγονεν· ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι, καὶ οὐκ ἔχει λόγον, τὸν αὐτὸν νῦν μὲν σταυροῦσθαι, νῦν δὲ ὡς οἰκείους θεραπεύειν, δεικνὺς ὅτι καὶ ἐκεῖνο διὰ προφητείαν καὶ τοῦτο· "καὶ τῆς διαθήκης ἧς διέθετο ὁ "Θεός·" τῆς διαθήκης, φησὶν, υἱοὶ, τουτέστι κληρονόμοι· ἵνα γὰρ μὴ

δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ· καὶ ἐπάγει Μωσέα λέγοντα ὅτι πάντα ἔσται, ἃ εἶπεν ὁ Χριστός· εἶτα καὶ ἑτέρωθεν μετ' ἐγκωμίου· ὥστε καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλετε φησίν· "υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης·" τί ἐστιν υἱοί; τουτέστι κληρονόμοι· τί οὖν ὡς περὶ ἀλλότρια διάκεισθε τὰ ὑμέτερα; ἄρα κατηγορίας μὲν ἄξια ἐπράξατε, δυνήσεσθε συγγνώμης τυχεῖν.

26 Ὑμῖν πρῶτον ἀναστήσας ὁ Θεὸς τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

"Ὑμῖν πρῶτον," φησὶν, "ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ "ἀπέστειλεν·" ἄρα καὶ ἑτέροις· ἀλλὰ καὶ ὑμῖν πρῶτον τοῖς σταυρώσασιν· "εὐλογοῦντα ὑμᾶς," φησὶν, "ἐν τῷ ἀποστρέφειν ἕκα-"στον ἀπὸ τῶν πονηριῶν." Καὶ μετ' ὀλίγα—Οὐκ εἶπεν, ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν παῖδα αὐτοῦ, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν· καὶ ὅτι ἐσταυρώθη· ἵνα γὰρ μὴ νομίσωσιν ὅτι αὐτὸς ὢν ταῦτα ἐχαρίζετο, ὁ δὲ πατὴρ οὐχὶ, διὰ τοῦτο φησὶ "εὐλογοῦντα ὑμᾶς·" εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς, καὶ εὐλογεῖ ἡμᾶς, ὑπόσχεσις τὸ πρᾶγμα ἐστί· τουτέστι, τοσοῦτον ἀπέχετε μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους καὶ ἀρχηγοὺς οὐ βούλεται γενέσθαι· καὶ γὰρ ὡς ἀπεριμμένοι διάκεισθε.

1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ.

Τοῦ Χρυσοστόμου. Σὺ δέ μοι θέα πῶς ἐπὶ τοῦ Χριστοῦ τὸν παραδώσοντα ζητοῦντες, ἐνταῦθα λοιπὸν αὐτοὶ ἐπιβάλλουσι τὰς χεῖρας, θρασύτεροι γεγονότες καὶ ἀναισχυντότεροι μετὰ τὸν σταυρόν· ἡ γὰρ ἁμαρτία, ἕως μὲν ἂν ὠδίνηται, ἔχει τινὰ αἰσχύνην· ἐπὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν· "καὶ ὁ στρατηγὸς," φησὶ, "τοῦ ἱεροῦ," ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γινομένοις, καὶ μὴ ὡς ἰδιωτικὸν ἐκδικῶσιν, ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν.

2 Καὶ οἱ Σαδδουκαῖοι, διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν.

Τοτ̃ αττοτ̃. Οὐ μόνον ὅτι ἐδίδασκον, ἀλλ' ὅτι οὐκ αὐτὸν μόνον ἔλεγον ἐγηγέρθαι, ἀλλὰ καὶ ἡμᾶς δι' ἐκεῖνον ἀνίστασθαι.

Καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν
3 ἐκ νεκρῶν· καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας.

Τοτ̃ αττοτ̃. Οὕτως ἰσχυρὰ ἐγένετο ἡ ἀνάστασις, ὡς καὶ ἑτέροις[m] αὐτὸν αἴτιον γενέσθαι ἀναστάσεως.

Καὶ ἔθεντο αὐτοὺς εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.

Τοτ̃ αττοτ̃. Ὦ τῆς ἀναισχυντίας· οὐκ ἔδεισαν τὸ πλῆθος· διὰ τοῦτο καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ σὺν αὐτοῖς ἦν· ἔτι τῶν προτέρων αἱμάτων γεμούσας τὰς χεῖρας εἶχον.

Τοτ̃ αττοτ̃. Οὐκέτι ἄγουσιν αὐτοὺς πρὸς Πιλάτον, αἰσχυνόμενοι καὶ ἐρυθριῶντες τὰ προτέρα, μὴ καὶ ὑπὲρ ἐκείνων ἐγκληθῶσιν.

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.

Τοτ̃ αττοτ̃. Τί τοῦτο; μὴ γὰρ εὐδοκιμήσαντας εἶδον, οὐχὶ δεθέντας ἐθεάσαντο. πῶς οὖν ἐπίστευσαν; ὁρᾷς ἐνέργειαν φανεράν· καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας ἔδει ἀσθενεστέρους γενέσθαι· ἀλλ' οὐκ ἔστι τοῦτο· ἡ γὰρ Πέτρου δημηγορία εἰς τὸ βάθος τὸ σπέρμα κατέβαλε, καὶ τῆς διανοίας καθήψατο· καὶ διὰ τοῦτο ὠργίζοντο, ὅτι οὐδὲν αὐτοὺς ἐδεδίεσαν, ὅτι οὐδὲν τὰ παρόντα δεινὰ ἡγοῦντο· εἰ γὰρ ὁ σταυρωθεὶς, φησὶ, τοιαῦτα ἐργάζεται, οὐ φοβούμεθα οὐδὲ τούτους· τὸν χωλὸν ἔστησαν· καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας γέγονε· πλείους γὰρ ἦσαν οἱ νῦν πιστεύσαντες τῶν πρώτων· διὰ τοῦτο ἐκείνων ὁρώντων ἔδησαν τοὺς Ἀποστόλους, ἵνα καὶ αὐτοὺς δειλοτέρους[n] ἐργάσωνται· τὸ δὲ ἐναντίον ἐγένετο· καὶ οὐκ ἐπ' αὐτῶν αὐτοὺς ἐξετάζουσιν, ἀλλὰ κατ' ἰδίαν· ἵνα μὴ ἀπὸ τῆς παρρησίας οἱ ἀκούσαντες κερδάνωσιν.

Τοτ̃ αττοτ̃. Τοῦτο γὰρ ἦν τὸ πολλοῖς ἐκπλήξεως γέμον· ὅτι κατέχοντες αὐτοὺς οἱ ἐχθροὶ, καὶ εἰς δεσμωτήριον ἐμβάλλοντες καὶ δεσμοὺς, οὐ μόνον αὐτῶν οὐ περιεγένοντο, ἀλλὰ καὶ αὐτοὶ

[m] ἑτέρο ς Cod. [n] δ + λοτέρους Cod.

μετὰ ταῦτα αὐτοῖς ὑπέκυπτον· οἱ μαστίζοντες τοῖς μαστιζομένοις· οἱ δεσμοῦντες τοῖς δεδεμένοις· οἱ διώκοντες, τοῖς ἐλαυνωμένοις.

Διὰ *τοῦτο προέλεγεν ἐπὶ τῶν πεντακισχιλίων " δότε αὐτοῖς " ὑμεῖς φαγεῖν·" τουτέστι, πεντακισχιλίους κορέσετε πίστεως καὶ ὑμεῖς μετὰ ταῦτα.*

5 Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς
ἄρχοντας καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς
6 ἐν Ἱερουσαλήμ· καὶ Ἄνναν τὸν ἀρχιερέα καὶ Καϊάφαν
καὶ Ἰωάννην καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους
ἀρχιερατικοῦ.

Τοῦ Χρυσοστόμου. *Οὐκέτι γὰρ μετὰ τῶν ἄλλων κακῶν τὰ τοῦ νόμου ἐφυλάττετο· καὶ πάλιν δικαστηρίου σχῆμα τῷ πράγματι περιτιθέασιν, ἵνα ὑπεύθυνοι τῇ ἀδίκῳ γένωνται κρίσει.*

7 Καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ, ἐπυνθάνοντο, ἐν
ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

Τοῦ αὐτοῦ. *Καὶ μὴν ᾔδεσαν· διαπονούμενοι γὰρ ἐν τῷ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν, κατέσχον αὐτούς· τίνος οὖν ἕνεκεν ἐρωτῶσι; προσδοκῶντες αὐτοὺς διὰ τὸ πλῆθος ἐξάρνους γενέσθαι, καὶ τὸ πᾶν διὰ τούτου νομίζοντες κατορθωκέναι· ὅρα γοῦν τί φασί· καὶ " ἐν ποίῳ ὀνόματι ποιήσατε τοῦτο ὑμεῖς;"*

Τοῦ αὐτοῦ. *Τοῦτο ποῖον; διατί μὴ λέγεις, ἀλλὰ συσκιάζεις; " ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;"*

8 Τότε Πέτρος πλησθεὶς Πνεύματος Ἁγίου, εἶπε πρὸς
αὐτούς.

Τοῦ αὐτοῦ. *Ἀναμνήσθητι τοίνυν τοῦ Χριστοῦ λέγοντος, " ὅταν " δὲ ἄγωσιν ὑμᾶς εἰς τὰς συναγωγὰς, μὴ μεριμνήσητε πῶς ἢ τί " λαλήσητε· τὸ γὰρ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν " ἐν ὑμῖν·" ὥστε ἐνεργείας πολλῆς ἀπήλαυον.*

Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραὴλ,
9 ἀκούσατε· εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ
ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται.

Τοῦ αὐτοῦ. *Ὅρα φιλοσοφίαν ἀνδρὸς πόσης γέμουσαν παρρη-*

σίας· οὐδὲν ὑβριστικὸν φθέγγεται· ἀλλὰ μετὰ τιμῆς σφόδρα αὐτῶν γενναίως καθήψατο· ἀπὸ τοῦ προοιμίου διεκωμῴδησεν αὐτούς, καὶ ἀνέμνησε τῶν προτέρων, ὅτι ἐπ' εὐεργεσίας αὐτοὺς κρίνουσιν· ὡσανεὶ ἔλεγε, μάλιστα μὲν ἐχρῆν στεφανοῦσθαι ἡμᾶς ἐπὶ τούτοις, καὶ ὡς εὐεργέτας ἀνακηρύττεσθαι, ἐπεὶ δὲ καὶ κρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, οὐχὶ πλουσίου, οὐχὶ δυνατοῦ, οὐχὶ ἐνδόξου· καίτοι ἐν τούτῳ τίς ἂν ἐβάσκηνε; πολλῆς βαρύτητος ἡ ἐπαγγελία γέμει· καὶ δείκνυσιν ὅτι αὐτοὶ ἑαυτοὺς περιπείρουσιν.

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραήλ.

ΤΟΥ ΑΥΤΟΥ. *Ὃ μάλιστα αὐτοὺς ἐλύπει· τοῦτο γάρ ἐστιν ὃ ἔλεγεν αὐτοῖς ὁ Χριστὸς, "ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ "τῶν δωμάτων."*

Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου.

ΤΟΥ ΑΥΤΟΥ. *Μὴ νομίσητε, φησὶν, ὅτι κρύπτομεν ἢ τὴν πατρίδα ἢ τὸ πάθος· "ὃν ὑμεῖς ἐσταυρώσατε· ὃν ὁ Θεὸς ἤγειρεν ἐκ "νεκρῶν· ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής·" πάλιν τὸ πάθος· πάλιν ἡ ἀνάστασις.*

Ὃν ὑμεῖς ἐσταυρώσατε· ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.

ΤΟΥ ΑΥΤΟΥ. *Ὢ τῆς πολλῆς παρρησίας· "ὃν ὑμεῖς ἐσταυρώσατε" φησὶν, αὐτὸν ὁ Θεὸς ἤγειρε· τοῦτο μείζονος παρρησίας· μὴ νομίσητε ὅτι τὰ αἰσχρὰ κρύπτομεν· μονονουχὶ ὀνειδίζων αὐτοῖς ταῦτα φησί· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐνδιατρίβει τῷ λόγῳ.*

ΚΥΡΙΛΛΟΥ. *Ὅτι δὲ ὁ Πατὴρ ἐκ νεκρῶν ἀναστῆσαι λέγεται τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐνεργουμένου δηλονότι περὶ τὴν σάρκα αὐτοῦ τοῦ πράγματος, οὐκ ἂν ἐνδοιάσειέ τις· αὐτός τε ὑπάρχων ἡ ζωοποιός τε καὶ ἐνεργὴς δύναμις τοῦ Πατρὸς, τὸν ἴδιον ἐζωοποίει ναὸν, κατὰ τὸ, "λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν "ἡμέραις ἐγερῶ αὐτόν." ἦν ἄρα τὸ ζωοποιούμενον οὐκ ἀλλότριον, οὔτε μὴν ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπων, ἀλλ' ἴδιον αὐτοῦ τοῦ Λόγου σῶμα.*

11 Οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ἀφ' ὑμῶν τῶν οἰκοδόμων.

Τοῦ Ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδούνων. Οὕτως οἱ Ἀπόστολοι οὐ τὸν Θεὸν ἤλασσον, ἀλλὰ τὸν Χριστὸν κατήγγελλον τῷ λαῷ εἶναι τὸν Ἰησοῦν τὸν ἐσταυρωμένον· ὃν ὁ Θεὸς, ὁ τοὺς προφήτας πέμψας, αὐτὸς Θεὸς ὢν, ἤγειρε, καὶ τὴν σωτηρίαν ἐν αὐτῷ ἔδωκε τοῖς ἀνθρώποις.

Τοῦ Χρυσοστόμου. Ἀνέμνησεν αὐτοὺς καὶ ῥήματος ἱκανοῦ φοβῆσαι· "καὶ ὁ πεσὼν γάρ," φησιν, "ἐπὶ τὸν λίθον τοῦτον συν-" "θλασθήσεται, ἐφ' ὃν δ' ἂν πέσῃ λικμήσει αὐτόν."

Ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.

Τοῦ αὐτοῦ. Τουτέστιν, ὅτι σφόδρα δόκιμός ἐστι· πολλὴν εἶχον ἀπὸ τοῦ σημείου τὴν παρρησίαν τὸ λοιπόν· καὶ ὅτε μὲν διδάξαι ἐχρῆν, ὅρα πῶς λέγουσι καὶ προφητείας παράγουσι πολλάς· ὅτε δὲ παρρησιάσασθαι, μόνον ἀποφαίνονται· "οὐδὲ γὰρ ὄνομα ἕτε-" "ρόν ἐστι" φησὶ, καὶ τὰ ἑξῆς.

12 Καὶ οὐκ ἔστιν οὐδενὶ ἄλλῳ ἡ σωτηρία.

Τοῦ αὐτοῦ. Ποίας οἴει πληγὰς αὐτοὺς λαμβάνειν ἐκ τούτων τῶν ῥημάτων.

Διδύμου. Τῆς σωτηρίας βεβαιουμένης μετουσίᾳ Τριάδος, ὁ Χριστὸν τὸν ἐπιδημήσαντα προσηκάμενος, πιστεύσας δὲ ἐν τῷ ὀνόματι, σώζεται· δοθέντος ἐν τῇ ὑπ' οὐρανὸν τῆς Υἱοῦ προσηγορίας, ἀπὸ τοῦ τῆς ἐπιδημίας χρόνου, ἐν ᾗ ὁ πιστεύων μεθέξει διὰ Υἱοῦ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος ἀποσταλέντος Παρακλήτου· ὅθεν ὁ σωζόμενος ἐν τῷ ὀνόματι τοῦ Σωτῆρος ἐκ τῆς Τριάδος ἔχει τὴν σωτηρίαν.

Οὐδὲ γὰρ ἕτερον ὄνομά ἐστιν ὑπὸ τὸν οὐρανὸν, τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα καὶ ὑψηλὰ φθέγγεται· ὅταν γὰρ μὴ ᾖ τι κατορθῶσαι, ἀλλὰ παρρησίαν ἐπιδείξασθαι μόνον, οὐ φείδεται· οὐδὲ γὰρ ἐδεδοίκει μὴ πλήξῃ· καὶ οὐκ εἶπεν ἁπλῶς δι' ἄλλου· ἀλλ' οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· τουτέστιν, οὗτος ἡμᾶς σῶσαι δύναται. ταύτῃ τὸν φόβον αὐτῶν κατέστειλεν.

Ἐξ ἀνεπιγράφου. Ὥσπερ ἐπὶ τοῦ ἁγίου βαπτίσματος εἴπομεν, ὅτι ὁ βαπτιζόμενος ἐπὶ τῷ ὀνόματι Ἰησοῦ, καὶ εἰς Πατέρα καὶ εἰς τὸ Ἅγιον Πνεῦμα βαπτίζεται, ἀδιαιρέτου οὔσης τῆς Ἁγίας

Τριάδος, οὕτω καὶ ἐνταῦθα λέγομεν, ὅτι ὁ σωζόμενος ἐν τῷ ὀνόματι Ἰησοῦ, ἐκ τῆς Ἁγίας Τριάδος ἔχει τὴν σωτηρίαν.

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου.

Τοῦ Χρυσοστόμου. *Οἱ δύο ἀγράμματοι κατερητόρευσαν αὐτῶν καὶ τῶν ἀρχιερέων· οὐ γὰρ αὐτοὶ ἐφθέγγοντο, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις.*

Καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον· ἐπεγίνωσκον δὲ αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν.

Οὐκ ἔστι μόνον θαυμαστὸν, ὅτι ἁλιεῖς, ὅτι ἰδιῶται ἦσαν οἱ κήρυκες, ἀλλ' ὅτι καὶ ἕτερα κωλύματα φύσει ἦν· καὶ πλεῖον γέγονεν ἡ ἐπίδοσις· οὐ μόνον οὐδὲν ἐκώλυσεν ἡ ἰδιωτία, ἀλλὰ καὶ αὐτὸ τοῦτο φανερωθῆναι ἐποίησε τὸ κήρυγμα.

Τοῦ Χρυσοστόμου. *Οὐχ ἁπλῶς τοῦτο ἔθηκε τὸ χωρίον ὁ Εὐαγγελιστὴς, ἀλλ' ὅτι ἐπεγίνωσκον αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν ἐν τῷ πάθει· οὗτοι γὰρ μόνοι ἦσαν τότε· ἑώρων αὐτοὺς ταπεινοὺς, συνεσταλμένους· καὶ τοῦτο μάλιστα αὐτοὺς ἐξένιζεν, ἡ πολλὴ μεταβολή· καὶ γὰρ ἐκεῖ ἦσαν οἱ περὶ Ἄνναν, καὶ παρεστήκεσαν αὐτῷ καὶ οὗτοι· καὶ ἐξέπληττεν αὐτοὺς ἡ παρρησία. Καὶ μετ' ὀλίγα—"ἐπεγίνωσκόν τε αὐτοὺς," φησὶν, "ὅτι σὺν "τῷ Ἰησοῦ ἦσαν·" ὅπερ αὐτοὺς ἐποίει πιστεύειν, ὅτι παρ' ἐκείνου ταῦτα ᾔδεσαν, καὶ ὡς ἐκείνου μαθηταὶ πάντα ἔπραττον.*

14 Τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.

Τοῦ αὐτοῦ. *Πολλὴ ἡ τοῦ ἀνθρώπου παρρησία, καὶ ἐν αὐτῷ τῷ δικαστηρίῳ μὴ ἐγκαταλελοιπότος αὐτούς· εἰ γὰρ εἶπον ὅτι οὐχ οὕτως ἔχει, ἐκεῖνος ἂν κατηγόρησεν.*

ΚΕΦ. Ε.

Περὶ ἀπίστων Ἀρχιερέων προσταττόντων[n] ὡς οὐ δεῖ παρρησιάζεσθαι ἐπὶ τῷ[o] ὀνόματι τοῦ Χριστοῦ· καὶ ἀνανεώσεως τῶν Ἀποστόλων.

15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν,
16 συνέβαλον πρὸς ἀλλήλους λέγοντες· τί ποιήσωμεν τοῖς

[n] *προστ.* om. C.N.C. [o] *τὸ* Cod.

ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι.

Τοῦ αὐτοῦ. Ὅρα ἐν ἀπορίᾳ ὄντας, καὶ πάλιν τὸν φόβον τὸν ἀνθρώπινον πάντα ἐργαζόμενον· ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἀνάτρεψαι, φησὶν, τὸ γινόμενον οὐκ ἔνι, οὐδὲ συσκιάσαι, ἀλλὰ κωλυόντων αὐτὸν μᾶλλον ἐπεδίδου τὰ τῆς πίστεως, οὕτω καὶ νῦν γίνεται.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς. "Τί ποιή-" "σωμεν τοῖς ἀνθρώποις τούτοις;" τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι κατέχοντες αὐτοὺς καὶ ὑπευθύνους ἔχοντες, καὶ δεσμοῦντες καὶ κόπτοντες, ἠπόρουν καὶ ἐν ἀμηχανίᾳ ἦσαν, δι' αὐτῶν τούτων ἡττώμενοι δι' ὧν προσεδόκων νικᾶν· καὶ οὔτε τύραννοι οὔτε δῆμοι, οὔτε δαιμόνων φάλαγγες, οὔτε αὐτὸς ὁ διάβολος περιγενέσθαι αὐτῶν ἴσχυσεν, ἀλλ' ἐκ πολλῆς ἡττῶντο τῆς περιουσίας· ἅπερ κατ' αὐτῶν ἐμηχανῶντο παντὰ ὑπὲρ αὐτῶν ὁρῶντες γινόμενα· διὸ καὶ ἔλεγεν ὁ Ἀπόστολος Παῦλος· "ὑπερνικῶμεν·" καινὸς γὰρ οὗτος τῆς νίκης ὁ νόμος ἦν· τὸ διὰ τῶν ἐναντίων κρατεῖν, καὶ μηδέποτε ἡττᾶσθαι· ἀλλ' ὡς αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ἐξιέναι τούτους.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου. "Τί ποιή-" "σωμεν τοῖς ἀνθρώποις τούτοις;" ὁρᾷς ἐν ἀπορίᾳ ὄντας, οὐ τοὺς ὑποχειρίους καὶ δεδεμένους, ἀλλὰ τοὺς κατέχοντας καὶ δεσμοῦντας· οὗ τι γένοιτ' ἂν καινότερον; σὺ κατέχεις καὶ δυσφορεῖς; καὶ μάλα εἰκότως· ἐπειδὴ γὰρ ἐπὶ τῆς ψάμμου πάντα ᾠκοδόμησαν· διὰ τοῦτο καὶ ἀσθενέστεροι πάντων ἦσαν.

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν,
ἀπειλῇ ἀπειλησόμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνό-
18 ματι τούτῳ μηδενὶ ἀνθρώπων. καὶ καλέσαντες αὐτοὺς
παρηγγείλαντο τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδά-
19 σκειν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ. Ὁ δὲ Πέτρος καὶ Ἰωάννης
ἀποκριθέντες εἶπον πρὸς αὐτούς· εἰ δίκαιόν ἐστιν ἐνώπιον
τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε.

Τοῦ Χρυσοστόμου. Ὅρα καὶ τούτων τὴν ἀναισχυντίαν καὶ τῶν Ἀποστόλων τὴν φιλοσοφίαν.

20 Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ
21 λαλεῖν. οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς.

Εἰ μὲν ψευδῆ ἃ λέγομεν, ἐπιλαβοῦ· εἰδ' ἀληθῆ, τί κωλύεις; τοιοῦτον ἡ φιλοσοφία· ἐκεῖνοι ἐν ἀπορίᾳ, οὗτοι ἐν εὐφροσύνῃ· ἐκεῖνοι πολλῆς γέμοντες αἰσχύνης, οὗτοι μετὰ παρρησίας πάντα πράττοντες· ἐκεῖνοι ἐν τῷ δεδοικέναι, οὗτοι ἐν τῷ θαρρεῖν.

Μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσονται αὐτοὺς διὰ
τὸν λαόν· ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγο-
22 νότι· ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος
ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ματθαῖον ὑπομνήματος. Εἶδες φρόνημα ὑψηλόν; εἶδες πέτραν κυμάτων καταγελῶσαν; εἶδες οἰκίαν ἄσειστον; καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐ μόνον οὐκ ἐγίνοντο δειλοὶ δι' ὧν ἐπεβουλεύοντο, ἀλλ' ὅτι καὶ πλέον ἐλάμβανον θάρσος, κἀκείνους εἰς μείζονα ἐνέβαλον ἀθυμίαν· καὶ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτός ἐστι ὁ πληττόμενος· καὶ ὁ τὰ κέντρα λακτίζων, οὗτός ἐστιν ὁ κεντούμενος καὶ χαλεπὰ δεχόμενος τραύματα.

Τοῦ Χρυσοστόμου. Ἐπεστόμισε γὰρ αὐτοὺς τὰ σημεῖα· οὐδὲ ἠνείχοντο τελέσαι αὐτοὺς τὸν λόγον, ἀλλὰ μεταξὺ λέγοντας διέκοψαν σφόδρα ὑβριστικῶς. Καὶ μετ' ὀλίγα—Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα· τὸ μὲν πρῶτον διὰ δόξαν ἀνθρωπίνην ἅπαντα ἐποίουν· νυνὶ δὲ καὶ ἕτερον προσέκειτο, τὸ μὴ δόξαι μιαιφόνους εἶναι, ὃ μετὰ ταῦτα ἔλεγον· "βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ "αἷμα ἀνθρώπου τούτου" ὢ τῆς ἀνοίας· πεισθέντες ὅτι ἀνέστη, καὶ τὸ τεκμήριον λαβόντες ὅτι ἔστι Θεός, τὸν ὑπὸ τοῦ θανάτου μὴ κατασχεθέντα, ὑπὸ οἰκείων προσεδόκησαν μηχανημάτων συσκιάζεσθαι· τί ταύτης τῆς ἀνοίας ἴσον; τοιοῦτο γὰρ ἡ πονηρία· οὐδὲν ὁρᾷ, ἀλλὰ πανταχοῦ θορυβεῖται.

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπ-
ήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύ-
τεροι εἶπον.

Τοῦ αὐτοῦ. Οὐχὶ φιλοτιμίας ἕνεκεν διηγοῦντο· πῶς γάρ; ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος τὰ τεκμήρια ἐπεδείκνυντο· ὅσα γὰρ ἐκεῖνοι εἶπον, ταῦτα διηγήσαντο· τὰ δὲ αὐτῶν εἰκὸς καὶ παρελθεῖν.

Τοῦ αὐτοῦ. "Ἦλθον," φησὶν, "πρὸς τοὺς ἰδίους·" ὅρα αὐτοὺς οὐκ ἐπιρρίπτοντας ἑαυτοὺς τοῖς πειρασμοῖς, ἀλλὰ τοὺς ἐπαγομένους γενναίως φέροντας· ἄλλος εἴτις ἦν τῶν μαθητῶν, ἴσως ἂν τῇ τοῦ πλήθους παρρησίᾳ θαρρῶν καὶ ὕβρισε, κἂν μυρία ἐδέξατο δυσχερῆ· ἀλλ' οὐχ οἱ φιλόσοφοι οὗτοι, ἀλλὰ πάντα ἡμέρως καὶ ἐπιεικῶς.

24 Οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν καὶ εἶπον.

Τοῦ αὐτοῦ. Καὶ μετὰ σπουδῆς πολλῆς· οὐδὲ γάρ ἐστιν εὐχὴ ἁπλῶς γινομένη· ὅρα δὲ πῶς εἰσὶν ἠκριβωμέναι αὐτῶν αἱ εὐχαί· ὅτε τὸν ἄξιον εἰς ἀποστολὴν αὐτοῖς ἠξίουν ἀναδειχθῆναι, οὕτως ἔλεγον· "σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον·" προγνώσεως γὰρ ἦν ἐκεῖ χρεία· ἐνταῦθα δὲ ἐπειδὴ ἐπιστομισθῆναι τοὺς ἐναντίους ἐχρῆν, περὶ δεσποτείας διαλέγονται· διὸ καὶ οὕτως ηὔξαντο· "Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν "θάλασσαν," καὶ τὰ ἑξῆς.

Τοῦ αὐτοῦ. Ἡ κραυγὴ γέγονεν ἀπὸ ἡδονῆς καὶ διαθέσεως πολλῆς· αἱ τοιαῦται γὰρ ἀνύουσιν εὐχαὶ, αἱ φιλοσοφίας γέμουσαι, αἱ περὶ τοιούτων γενόμεναι, αἱ παρὰ τῶν τοιούτων, αἱ ἐν τοιούτοις καιροῖς, αἱ κατὰ τὸν τρόπον τοῦτον· ὡς αἵγε ἄλλαι βδελυκταὶ καὶ ἀκάθαρτοι· ὅρα πῶς οὐδὲν περιττὸν φησὶν, οὐδὲν γραῶδες καὶ μυθῶδες, ἀλλὰ περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγονται· καθάπερ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις "εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ "ἐκβάλλω τὰ δαιμόνια·" ἰδοὺ καὶ ὁ Πατὴρ ἐν Πνεύματι φθέγγεται· τί γάρ φασι; "Δέσποτα, ὁ Θεὸς ὁ τοῦ Πατρὸς ἡμῶν διὰ "Πνεύματος Ἁγίου στόματος Δαβὶδ παιδός σου εἰπὼν, ἵνα τί "ἐφρύαξαν ἔθνη;"

Δέσποτα, σὺ ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
25 γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ τοῦ
πατρὸς ἡμῶν διὰ Πνεύματος Ἁγίου στόματος Δαβὶδ
παιδός σου εἰπὼν, ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέ-
τησαν κενά;

Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδούνων. Αὗται φωναὶ τῆς Ἐκκλησίας· ἐξ ἧς πᾶσα ἔσχηκεν ἐκκλησία τὴν ἀρχήν· αὗται φωναὶ τῆς μητροπόλεως τῶν τῆς καινῆς διαθήκης πολιτῶν· αὗται

φωναὶ τῶν Ἀποστόλων· αὗται φωναὶ τῶν μαθητῶν τοῦ Κυρίου τῶν ἀληθῶς τελείων μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου, διὰ τοῦ Πνεύματος τελειωθέντων, καὶ ἐπικαλουμένων τὸν Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, τὸν διὰ τῶν προφητῶν κεκηρυγμένον· καὶ τὸν τούτου παῖδα, ὃν ἔχρισεν ὁ Θεός· καὶ ἄλλον οὐκ εἰδότων· οὐ γὰρ ἦν τότε Οὐαλεντῖνος ἐκεῖ οὐδὲ Μαρκίων, οὐδ' οἱ λοιποὶ ἑαυτῶν τε καὶ τῶν πειθομένων αὐτοῖς καταστροφεῖς· διὸ καὶ ἐπήκουσεν αὐτῶν ὁ ποιητὴς τῶν ἁπάντων Θεός· " ἐσαλεύθη γάρ," φησιν, " ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες " τοῦ Ἁγίου Πνεύματος· καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ " παρρησίας" παντὶ τῷ θέλοντι πιστεύειν.

Τοῦ Χρυσοστόμου. Καθάπερ συνθήκας ἀπαιτοῦντες τὸν Θεὸν, τὴν προφητείαν εἰς μέσον ἄγουσιν, ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι ὅτι εἰκῇ ἅπαντα μελετῶσιν οἱ ἐχθροί· ἐκεῖνα, φησὶν, εἰς πέρας ἄγαγε, καὶ δεῖξον ὅτι κενὰ ἐμελέτησαν.

Ἐξ Ἀνεπιγράφου. Ἐπειδὴ τινὲς τῶν αἱρεσιωτῶν λέγουσιν ἄλλον εἶναι Θεὸν τὸν κοσμοποιὸν, καὶ ἄλλον τὸν Πατέρα τοῦ Χριστοῦ· καὶ ἐναντίους εἶναι ἀλλήλοις· τούτου χάριν οἱ ἅγιοι Ἀπόστολοι τὴν αἵρεσιν ταύτην ἐκκόπτοντες, διὰ τῆς εὐχῆς παριστῶσιν, ὡς αὐτός ἐστι Θεὸς καὶ κοσμοποιὸς καὶ Πατὴρ Σωτῆρος ὑπάρχων, καθότι παρ' αὐτοῦ δέδονται ἀμφότεραι αἱ διαθῆκαι.

Διδύμου. Πολλοὶ τῶν ἀπὸ αἱρέσεων διαιροῦσι τὴν θεότητα, λέγοντες ἄλλον εἶναι Θεὸν τὸν κοσμοποιὸν, καὶ ἄλλον τὸν Πατέρα τοῦ Χριστοῦ· ὅθεν καὶ τὴν γραφὴν διαιρήσαντες, τὴν μὲν παλαιὰν διαθήκην τοῦ κοσμοποιοῦ, τὴν δὲ καινὴν τοῦ Πατέρος Χριστοῦ λέγουσιν εἶναι· ἑπομένως δὲ τῇ δυσσεβεῖ γνώμῃ αὐτῶν, ἀπεναντίως ἔχειν λέγουσι πρὸς ἑαυτοὺς τοὺς θεοὺς τούτους καὶ τὰς γραφὰς αὐτῶν· ὡς τοὺς προσφεύγοντας τῷ Κυρίῳ ἐχθροὺς εἶναι τοῦ κοσμοποιοῦ, καὶ βελτίονας αὐτοῦ τυγχάνειν· ὡς αὖ τοῦ κοσμοποιοῦ ἄνθρωποι διαβεβλήμενοι εἰσὶ πρὸς τὸν Χριστὸν καὶ τὴν διδασκαλίαν αὐτοῦ· ἐλέγχει δὲ τὴν ἀσέβειαν αὐτῶν ἡ ἐγκειμένη γραφὴ, εἰσάγουσα τοὺς Ἀποστόλους, μετὰ τὸ ἀπολυθῆναι τῆς ἐπιβουλῆς τῆς πρὸς τῶν ἀρχιέρεων καὶ πρεσβυτέρων, ἐλθόντας πρὸς τοὺς ἰδίους, τουτέστι τοὺς τὴν αὐτὴν πίστιν ἔχοντας ἅμα ἐκείνοις, καὶ πᾶσιν ὕμνον χαριστήριον ἀναπέμψαι τῷ ποιητῇ οὐρανοῦ καὶ

γῆς, μετὰ τοῦ μνημονεῦσαι, ὡς διὰ τοῦ στόματος Δαβὶδ ἐν Ἁγίῳ Πνεύματι εἰκότως τὸν δεύτερον ψαλμὸν, οὗ ἡ ἀρχή· "ἵνα τι "ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά·" διὰ γὰρ πάντων τούτων παρίσταται, ὡς αὐτὸς εἴη Θεὸς κοσμοποιὸς καὶ Πατὴρ τοῦ Σωτῆρος ὑπάρχων· καὶ ὅτι δίδονται παρ' αὐτοῦ ἀμφότεραι αἱ διαθῆκαι.

26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες
συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ
Χριστοῦ αὐτοῦ.

Τοῦ ἉΓΊΟΥ ἈΘΑΝΑΣΊΟΥ ἘΠΙΣΚΌΠΟΥ ἈΛΕΞΑΝΔΡΕΊΑΣ. *Πῶς οὐ κενὴ γέγονεν αὐτοῖς ἡ μελέτη, μὴ δεξαμένοις τὸν Σωτῆρα τοῦ κόσμου; φρύαγμα δέ ἐστι τὸ ἀλόγιστον κίνημα.*

Τοῦ ΧΡΥΣΟΣΤΌΜΟΥ. *Ὥσπερ τότε, φησὶν, "ἐμελέτησαν κενὰ," οὕτω καὶ νῦν, φησὶ, κενὰ μελετῆσαι αὐτοὺς δός· τουτέστιν, μὴ εἰς ἔργον ἔλθοιεν αἱ ἀπειλαὶ αὐτῶν· ταῦτα δὲ ἔλεγον οὐκ αὐτοὶ παραιτούμενοι δυσχερές τι παθεῖν, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος· οὐ γὰρ εἶπον, ἐξελοῦ κινδύνου ἡμᾶς, ἀλλὰ τί; "καὶ δὸς τοῖς δούλοις σου "μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου."* Καὶ μετ' ὀλίγα— *Ὁρᾷς πῶς πάντα διὰ τὸν Θεὸν αἰτοῦσιν, οὐδὲν εἰς οἰκείαν δόξαν, οὐδὲ εἰς φιλοτιμίαν· τὸν μὲν οὖν αὐτῶν ἐπαγγέλλονται, ὅτι οὐ καταπλαγήσονται· ἀξιοῦσι δὲ, φησὶ, σημεῖα γίνεσθαι.*

27 Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά
σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τὲ καὶ Πόντιος Πιλά-
28 τος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ, ποιῆσαι ὅσα ἡ χείρ
σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.

Εἰς σύμβασιν καὶ φιλίαν ἥκασιν Ἡρώδης τὲ καὶ Πόντιος Πίλατος.

Οὐχ ἵνα τι τῶν ἀναγκαίων εἰς ὄνησιν εἰς πέρας ἀγάγωσιν, ἀλλ' ἵνα ἐμπαροινήσαντες[p] *τῷ Χριστῷ τοῦ Κυρίου, τουτέστι τοῦ Θεοῦ καὶ Πατρὸς, κακοὶ κακῶς ἀπόλοιντο, καὶ τὰς τῆς κυριοκτονίας ἐξαπαιτηθεῖεν δίκας.*

Τοῦ ἉΓΊΟΥ ἈΘΑΝΑΣΊΟΥ. *Ἡ γὰρ εἰς τὸν Χριστὸν ἐπιβουλὴ καὶ εἰς αὐτὸν ἀνατρέχει τὸν Πατέρα· εἰ γὰρ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, πῶς οὐ μία τις ἡ εἰς αὐτοὺς ὕβρις ἐγένετο ἄν;*

[p] *ἐνπαροινήσαντες* Cod.

Ἡσυχίου πρεσβυτέρου. Κύριον καλεῖ τὸν Πατέρα, Χριστὸν εἰκότως τὸν Υἱόν· τῇ γὰρ κατὰ τοῦ μονογένους ἐπιβουλῇ, ὡς ὑβριζόμενον ἐν αὐτῷ, τὸν Πατέρα συνέπλεξεν· ἐπειδήπερ εὐδοκίᾳ τοῦ Πατρὸς, ὅλον τὸ ὑπὲρ ἡμῶν μυστήριον ὁ μονογένης ἔπραξεν.

29 Καὶ τανῦν Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν· καὶ
δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν
30 λόγον σου, ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν,
καὶ σημεῖα καὶ τέρατα γίνεσθαι.

Οὕτως μανθάνωμεν εὔχεσθαι καὶ ἡμεῖς· καίτοιγε πόσου οὐκ ἐμπλησθείη θύμου, εἰς ἄνδρας ἐμπεσὼν ἀνελεῖν αὐτὸν ἐπιχειροῦντας καὶ ἀπειλοῦντας τοιαῦτα; πόσης οὐκ ἂν ἀπεχθείας πληρωθείη; ἀλλ' οὐχ οἱ ἅγιοι τοιοῦτοι.

Διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ.

Τοῦ αὐτοῦ. Ἂν ἐν τῷ ὀνόματι ἐκείνῳ γίνονται αἱ ἐνέργειαι, μεγάλη ἔσται ἡ παρρησία.

31 Καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν
συνηγμένοι.

Τοῦ ἀκουσθῆναι αὐτοὺς καὶ τῆς ἐπισκέψεως τοῦτο τεκμήριον γέγονεν. Διατί δὲ οὕτως ἐγένετο, ἄκουε καὶ τοῦ προφήτου λέγοντος· "ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν" ὅτι γὰρ πάρεστι ταῖς εὐχαῖς αὐτῶν ἐδήλωσε· καὶ πάλιν ἕτερος προφήτης φησὶν, "ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ ἀπὸ προσώπου "Κυρίου." ἐποίει δὲ τοῦτο ὁ Θεὸς καὶ διὰ φόβον πλείονα· καὶ εἰς θάρσος αὐτοὺς ἐνάγων μετὰ τὰς ἀπειλὰς ἐκείνας εἰς παρρησίαν πλείονα ἐπεδίδοσαν· ἐπειδὴ γὰρ ἀρχὴ ἦν, καὶ αἰσθητοῦ ἐδέοντο σημείου πρὸς τὸ πεισθῆναι αὐτούς· μετὰ δὲ ταῦτα οὐδαμοῦ τοῦτο γίνεται. πολλῆς τῆς παρακλήσεως ἔτυχον· οὐδάμοθεν γὰρ εἶχον ἐπιδεῖξαι ὅτι ἀνέστη, ἀλλ' ἀπὸ τῶν σημείων.

Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας.

Τοῦ αὐτοῦ. Τί ἐστιν ἐπλήσθησαν; τουτέστιν ἀνεπυρώθησαν, καὶ ἀνεκαίετο ἐν αὐτοῖς τὸ χάρισμα.

Περὶ ὁμοψύχου καὶ καθολικῆς ἐκκλησίας τῶν πιστευόντων.

32 Τοῦ δὲ πλήθους τῶν πιστευόντων ἦν ἡ καρδία καὶ ἡ
ψυχὴ μία· καὶ οὐδείς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον
33 εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά· καὶ δυνάμει μεγάλῃ
ἀπεδίδουν οἱ Ἀπόστολοι τὸ μαρτύριον τῆς ἀναστάσεως
Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. *Ὁρᾷς ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτὸν εἰσέφερον· πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν, ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν ἐπιδεικνύουσι.* Καὶ *μετ' ὀλίγα*—"Τοῦ *δὲ πλήθους τῶν πιστευόντων* "*ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία·*" *ἄρα εἰπέ μοι ἡ ἀγάπη τὴν ἀκτημοσύνην ἔτεκεν, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπην; ἐμοὶ δοκεῖ ἡ ἀγάπη τὴν ἀκτημοσύνην, ἣ καὶ ἐπέσφιγγεν αὐτὴν λοιπόν· καὶ πάλιν ἴδου καρδία καὶ ψυχὴ τὸ αὐτό.*

ὨΡΙΓΈΝΟΥΣ. *Γνώρισμα κακίας τὸ συγχυθῆναι τὰς γλώσσας· γνώρισμα ἀρετῆς, ὅτι ἦν πάντων* "*τῶν πιστευόντων καρδία καὶ ψυχὴ* "*μία.*" *καὶ οὕτω τηρῶν τὴν γραφὴν εὑρήσεις, ὅτι ὅπου πλῆθος ἀριθμοῦ, ὅπου σχίσμα, ὅπου διαίρεσις καὶ ἀσυμφωνία, καὶ ὅσα τοιαῦτα, κακίας εἰσὶ γνωρίσματα· ὅπου δὲ ἑνότης, καὶ ὁμόνοια, καὶ πολλὴ δύναμις ἐν λόγοις, ἀρετῆς γνωρίσματα.*

ΤΟΥ͂ ἉΓΊΟΥ ΣΕΥΉΡΟΥ ἈΡΧΙΕΠΙΣΚΌΠΟΥ ἈΝΤΙΟΧΕΊΑΣ ἘΚ ΤΗ͂Σ ΠΡῸΣ ΠΈΤΡΟΝ ΜΟΝΆΖΟΝΤΑ ἘΠΙΣΤΟΛΗ͂Σ. *Τῆς γὰρ ἀγαπῆς ἴδιον, τὸ πάντα λογίζεσθαι κοινὰ, καὶ τὴν διαφορὰν ἐκβάλλειν, τὴν τὸ ἐμὸν καὶ τὸ σὸν διακρίνουσαν.*

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ἘΚ ΤΗ͂Σ ΠΡῸΣ ΦΩΚΑ͂Ν ἘΠΙΣΤΟΛΗ͂Σ. Τὰ *γὰρ ἔθνη τὸν λόγον τοῦ* Εὐαγγελίου *παραδεξάμενα τὰ ἐν τῇ γῇ διέπτυσαν πράγματα,* "*καὶ οὐδεὶς τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι,* "*ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά·*" *καὶ ἀνδρείαν ἤσκησαν, καὶ τοῖς τοῦ μαρτυρίου στεφάνοις κατεκοσμήθησαν· σωφροσύνην δὲ καὶ ὑπερήλαντο, παρθενίαν καὶ ἀγγελικὸν ζηλώσαντες βίον· οὐ μόνον ἀνδρῶν ἀλλὰ καὶ γυναικῶν οὐκ ὀλίγη πληθύς.*

34 Χάρις τε ἦν μεγάλη ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἦν
ἐνδεής τις ἐν αὐτοῖς.

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. Καθάπερ *ἐγχειρισθέντας αὐτούς τι δείκ-*

νυσι, καὶ ὡς περὶ ὀφλήματος λέγει· τουτέστι τὸ μαρτύριον μετὰ παρρησίας πᾶσιν ἀπεδίδουν.

ΤΟΥ ΑΥΤΟΥ. *Καθάπερ ἐν οἰκίᾳ πατρικῇ τέως ὁμότιμοι πάντες οὕτω διέκειντο. οὐκ ἔνι εἰπεῖν ὅτι ἔτρεφον μὲν τοὺς ἄλλους· ὡς ἐξ ἰδίων δὲ τρέφοντες οὕτω διέκειντο. ἀλλὰ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι ἑαυτῶν ἀποστήσαντες τὰ πράγματα οὕτως ἔτρεφον· ἵνα μηκέτι ὡς ἐξ ἰδίων ἀλλ' ὡς ἐκ κοινῶν τρέφωσι.*

ΤΟΥ ΑΥΤΟΥ. *Διὰ τοῦτο ἦν χάρις, ὅτι οὐδεὶς ἦν ἐνδεής· τουτέστιν, ἀπὸ τῆς πολλῆς προθυμίας τῶν ἐπιδιδόντων οὐδεὶς ἦν ἐνδεής.*

ΤΟΥ ΑΥΤΟΥ. *Νῦν πληροῦται τὸ ἐν τῷ Δευτερονομίῳ εἰρημένον· "ὅτι οὐκ ἔσται ἔν σοι ἐνδεής· ὅτι εὐλογῶν εὐλογήσει σε Κύριος "ὁ Θεός σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι."*

Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων.

ΤΟΥ ΑΥΤΟΥ. *Ἐνταῦθα εἰς ἔργον ἐξέβη τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον, "ὅστις ἀφῆκεν ἄγρους ἢ οἰκίας ἕνεκεν τοῦ ὀνόματός μου, "ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον "κληρονομήσει·" κάλαμον γὰρ καὶ δίκτυον ἀφέντες, τὰς πάντων οὐσίας, μετ' ἐξουσίας εἶχον τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν χωρίων καὶ αὐτὰ τὰ σώματα τῶν πιστευόντων· καὶ σφαγῆναι γὰρ ὑπὲρ αὐτῶν πολλάκις εἵλοντο· ὡς καὶ Παῦλος πολλοῖς μαρτυρεῖ.*

35 Καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν.

ΤΟΥ ΑΥΤΟΥ. *Πολλὴ ἡ τιμή· "παρὰ τοὺς πόδας," φησὶ "τῶν "Ἀποστόλων ἐτίθουν·" οὔτε εἰς χεῖρας ἐτόλμων δοῦναι· οὔτε δὲ τετυφωμένως παρεῖχον, ἀλλὰ παρὰ τοὺς πόδας ἔφερον· αὐτοὺς οἰκονόμους ἠφίεσαν γενέσθαι, καὶ κυρίους ἐποίουν, ἵνα ὡς ἐκ κοινῶν λοιπὸν ἀναλέγηται, μηκέτι ἐξ ἰδίων· τοῦτο καὶ πρὸς τὸ κενόδοξον αὐτοῖς συνεβάλλετο.*

36 Ἰωσὴφ δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν Ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει.

Τοῦ Χρυσοστόμου. *Οὐ δοκεῖ μοι οὗτος ἐκεῖνος εἶναι ὁ μετὰ Ματθίου· ἐκεῖνος γὰρ καὶ Ἰοῦστος ἐλέγετο· καὶ "Βαρνάβας," φησὶν, "ὅς ἐστιν υἱὸς παρακλήσεως·" δοκεῖ μοι καὶ ἀπὸ τῆς ἀρετῆς εἰληφέναι τὸ ὄνομα· ὡς πρὸ τούτου ἱκανὸς ὢν καὶ ἐπιτήδειος.*

Τοῦ αὐτοῦ. *Μέλλει διηγεῖσθαι τὸ κατὰ Ἀνανίαν λοιπὸν καὶ Σάπφειραν· καὶ θέλων δεῖξαι τὸν ἄνδρα χείριστα ἡμαρτηκότα, πρώτου μέμνηται τοῦ κατορθώματος, ὅτι τοσούτου πλήθους ὄντος τοῦ ταῦτα ποιοῦντος, τοσαύτης χάριτος, τοσούτων σημείων, ὑπ' οὐδενὸς τούτων παιδευθεὶς, ἀλλὰ τῇ φιλοχρηματίᾳ τυφλωθεὶς, τὸν ὄλεθρον ἐπήγαγε τῇ ἑαυτοῦ κεφαλῇ.*

37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε πρὸς τοὺς πόδας τῶν Ἀποστόλων.

Τοῦ Χρυσοστόμου. *Δηλοῖ ὅτι τοῦτο μόνον ἐκέκτητο.*

Τοῦ αὐτοῦ. *Πανταχοῦ παρατηρεῖ πῶς δείκνυσι τὸν νόμον λυόμενον· πῶς δὲ καὶ Κύπριος ἦν· ὅτι λοιπὸν καὶ μετῴκουν καὶ ἐχρημάτιζον Λευῖται.*

* *Περὶ Ἀνανία καὶ Σαπφείρης καὶ πικρᾶς αὐτῶν τελευτῆς.*

1 Ἀνὴρ δέ τις ὀνόματι Ἀνανίας, σὺν Σαπφείρᾳ τῇ γυν-
2 αικὶ αὐτοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς
τιμῆς.

Τοῦ αὐτοῦ. *Τί δεινόν; ὅτι μετὰ συγκαταθέσεως ἡ ἁμαρτία· καὶ οὐδεὶς ἕτερος εἶδε τὸ γενόμενον, πόθεν ἐπῆλθε τῷ ταλαιπώρῳ τούτῳ καὶ ἀθλίῳ τοῦτο ἐργάσασθαι.*

Ἀμμωνίου πρεσβυτέρου. *Εἰ μέρος ἀργυρίου σφετερισάμενος ἐκ τῶν ἰδίων, καὶ μὴ τὸ πᾶν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων τιθεὶς ἀπέθανε, τί δὴ καὶ φήσομεν περὶ τῶν μὴ ὁλοσχερῶς ἑαυτοὺς προσαγόντων τῷ Θεῷ, ἀλλὰ μερικῶς μὲν τὰ τοῦ Θεοῦ ποιούντων εἰ τύχοι, μερικῶς δὲ ταῖς ἰδίαις ἐπιθυμίαις δουλευόντων; οἷς ἀπαντήσει πολὺ μείζων τιμωρία· ὡς δυνατοῦ ὄντος τοῦ Θεοῦ καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι· ταῦτα δὲ λέγω, διὰ τοὺς μὴ θερμῶς ἀπαιτοῦντας τοὺς πιστοὺς ζῆν.*

Συνειδυίας καὶ τῆς γυναικὸς, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν Ἀποστόλων ἔθηκεν.

Τοῦ αὐτοῦ. *Σημειωτέον ὅτι καὶ τὸ συνειδέναι τι γινόμενον παρ' ἄλλου κακὸν, καὶ σιωπᾶν, ἁμαρτία ἐστίν.*

3 Εἶπε δὲ ὁ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατα-
νᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον,
καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;

Τοῦ αὐτοῦ. *Εἰ ὁ Σατανᾶς τοῦτο ἐποίησε, τί αὐτὸς αἴτιος γέγονεν; ὁ δεξάμενος αὐτοῦ τὴν ἐνέργειαν καὶ πληρωθείς· ἀλλ' ἔδει διορθῶσαι φησίν· ἀλλ' οὐκ ἂν διορθώθη· ὁ γὰρ τοιαῦτα ὁρῶν καὶ μὴ κερδάνας, πολλῷ μᾶλλον οὐκ ἂν ἑτέρως ἐκέρδανεν. οὐκ ἔδει τοίνυν ἁπλῶς παρελθεῖν τὸ γεγονὸς, ἀλλ' ὡς σηπεδόνα ἐκτμηθῆναι, ἵνα μὴ τῷ λοιπῷ λυμήνηται σώματι· νῦν μὲν γὰρ καὶ οὗτος ὠφέληται μὴ προελθὼν περαιτέρω κακίας· καὶ οἱ λοιποὶ σπουδαιότεροι γεγόνασι· τότε δὲ ἂν τοὐναντίον συνέβη· δεύτερον ἠλέγχθη, καὶ δείκνυσιν ὅτι οὐκ ἔλαθεν αὐτὸν τὸ γεγονός· καὶ τότε καταδικάζει· διατί δέ; ἐκ ποίας προαιρέσεως τοῦτο πεποίηκας; ἤθελες ἔχειν· ἔδει ἔχειν ἐξ ἀρχῆς καὶ μὴ ὑποσχέσθαι· χαλεπή τις ἐστὶν ἡ ἱεροσυλία, ἀγαπητέ· ὁ μὲν γὰρ ἐπεθύμησεν ἴσως ἀλλοτρίων, σοὶ δὲ ἐξῆν ἔχειν τὰ σά· τί τοίνυν ἐποίησας αὐτὰ ἱερὰ, καὶ τότε ἔλαβες αὐτά; ἀπὸ πολλῆς καταφρονήσεως τοῦτο πεποίηκας· οὐκ ἔχει τὸ γενόμενον συγγνώμην· ἐκτός ἐστιν ἀπολογίας· μὴ σκανδαλίζεσθε τοίνυν, εἴ τινες καὶ νῦν εἰσιν ἱερόσυλοι· εἰ γὰρ τότε ἦσαν, πολλῷ μᾶλλον νῦν, ὅτε πολλὰ τὰ κακά· ἀλλ' ἐλέγχωμεν αὐτοὺς ἐπὶ πάντων, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.*

4 Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ
ὑπῆρχε; τί ὅτι ἔθου ἐν καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο;
οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

Θεὸς οὖν τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ ἐψεύσατο Ἀνανίας.

Τοῦ ἁγίου Ἀθανασίου. *Εἰ ἔμενε, φησὶν, ὑμῖν ἔμενε, καὶ πραθὲν ἐν τῇ ὑμετέρᾳ ἐξουσίᾳ ἦν. ἐπειδὴ δέ, φησιν, ἐπεχειρήσατε πειράσαι τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ εἰς τοῦτο συνεφωνήσατε, λήψεσθε πεῖραν οὗ ἠθελήσατε· σωφρονισθήσονται δὴ καὶ φοβηθήσονται καὶ ἄλλοι πειράσαι, δι' ὑμῶν τὴν πεῖραν λαβόντες.*

Διονυσίου. *Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι· οὐδὲν γὰρ ὁ Θεὸς ἐξ ἀνάγκης οὐδὲ ἐκ λυπῆς βούλεται·*

ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι, ἐπειδήπερ οὐκ ἔστι σὰ, ἅπερ ἅπαξ διὰ τῆς ἐν ταῖς εὐχαῖς ἐπαγγελίας ἀνέθηκας.

Τοῦ Χρυσοστόμου. Μὴ γὰρ ἀνάγκη τις ἦν καὶ βία; μὴ γὰρ ἄκοντας ὑμᾶς ἕλκομεν, ὅτι ἔθου ἐν ταῖς καρδίαις σου.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ πρὸς Ναυατιανοὺς τάγματος. Κατανοῆσαι δεῖ καὶ ἐνταῦθα, ὅτι ἀρχὴ ἦν τοῦ κηρύγματος· καὶ μέγα μὲν ἐτόλμησαν οὗτοι, πειράσαι τὸ Πνεῦμα τὸ Ἅγιον ἐπιχειρήσαντες· μεγάλη δὲ καὶ τοῖς ἄλλοις ἀδελφοῖς ὠφέλεια γέγονεν ἡ τούτων τιμωρία· ἐπαιδεύθησαν γὰρ καὶ ἐδιδάχθησαν ὅτι οὐ δεῖ κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου τολμᾶν, οὐδὲ πειράσαι τοῦτ' ἐπιχειρεῖν.

5 Ἀκούων δὲ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξεν.

Τοῦ Χρυσοστόμου. Τοῦτο μεῖζον τοῦ χωλοῦ τὸ σημεῖον, τὸ καὶ ἀνελεῖν, καὶ ἐν διανοίᾳ εἰδέναι καὶ τὰ λάθρα γεγονότα.

Ἐξ ἀνεπιγράφου. Πολλοὶ τῶν ἐν ἀμαθίᾳ τυγχανόντων, μᾶλλον δὲ ἐν ἀσεβείᾳ, ἐν τῷ χωρίῳ τούτῳ φόνου γράφονται τὸν κορυφαῖον τῶν Ἀποστόλων, διὰ τὸν περὶ Ἀνανίαν καὶ Σάπφειραν γεγενημένον θάνατον. Ἡ δὲ κατηγορία οὐ τοῦ Πέτρου· μᾶλλον δὲ τοῦ Πνεύματος ἅπτεται Ἁγίου, τοῦ τὴν ψῆφον κατ' αὐτῶν ἐξοίσαντος δικαίαν. Ὁ γὰρ Πέτρος οὐδὲν ἕτερον ἐποίησεν ἢ μόνον ἤλεγξε τὸ ψεῦδος· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον τὸ πάντα γινῶσκον, οὐ μόνον τὰ κρυπτὰ τῶν ἀνθρώπων ἀλλὰ καὶ τὰ βάθη τοῦ Θεοῦ, ὡς ἐξουσίαν ἔχον καὶ τῆς ζωῆς καὶ τοῦ θανάτου, τοὺς εἰς αὐτὸ ἁμαρτήσαντας ἀνεῖλεν· ἀλλ' ἐρεῖ τις πάλιν ἀσεβῶς ἀνθιστάμενος· ναί, φησι, δοκεῖς ταύτην πιθανὴν πεποιηκέναι ἀπολογίαν· τί δ' ἂν ἔχοις καὶ περὶ Σαπφείρας λέγειν; οὐχ ὁ Πέτρος αὐτὴν ἀνεῖλεν; ἄπαγε τῆς ἀτοπίας, ἄπαγε· τῶν γὰρ δύο γέγονε τὸ παράπτωμα, καὶ συνομολογήσεις καὶ αὐτός· οὐκοῦν ὁ κριτὴς ἀμφοτέρους ἐπίσης κατεδίκασεν· οὐκ ἠγνόησε δὲ τοῦτο ὁ κορυφαῖος τῶν Ἀποστόλων, ὁ διὰ τοῦ Ἁγίου Πνεύματος πανταχοῦ φθεγγόμενος· διὸ καὶ ταύτην παρ' αὐτοῦ δεξάμενος ἐφθέγξατο τὴν φωνήν· οὕτω καὶ παραχρῆμα εἰς ἔργον ἐξέβη τὸ λεχθέν· οὐκοῦν δι' ὀλίγων ἐλήλεγκται ἡ τῶν παρανόμων συκοφαντία. Εἰ δέ τις ἀκριβῶς κατανοήσειε τὸ γεγενημένον, ὄψεται πολλοὺς τῶν προσεχόντων ἑαυτοῖς μέχρι σήμερον

ὠφελουμένους· οἶδε γὰρ ὁ Θεὸς πολλάκις κολάζειν ἁμαρτήσαντα· κουφοτέραν ἐκεῖ ποιῶν αὐτῷ τὴν κόλασιν, ἢ καὶ τέλεον αὐτὸν ἀπαλλάττων· πολλοὺς δὲ ἐνταῦθα σωφρονεστέρους ποιῶν τῷ φόβῳ.

Καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας·
6 ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξ-
ενέγκαντες ἔθαψαν.

Τοῦ Χρυσοστόμου. Ἐκεῖνος ἐτιμωρήθη, καὶ ἄλλοι ἐκέρδαινον· οὐχ ἁπλῶς· καίτοι σημεῖα ἐγένετο πρότερον, ἀλλ' οὐκ ἦν φόβος τοιοῦτος· οὕτως ἀληθές ἐστιν ἐκεῖνο, "ὅτι γινώσκεται Κύριος κρί-"ματα ποιῶν·" οὕτως καὶ ἐπὶ τῆς κιβωτοῦ γέγονεν· ὄζα[p] ἐτιμωρήθη, καὶ ἐγένετο τοῖς ἄλλοις φόβος· ἀλλ' ἐκεῖ μὲν φοβηθεὶς ὁ βασιλεὺς ἀπώσατο τὴν κιβωτὸν, ἐνταῦθα δὲ μᾶλλον προσεκτικώτεροι γίνονται.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα· καὶ ἡ γυνὴ
αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν.

Τοῦ αὐτοῦ. Ὅρα δέ· οὐκ ἐκάλεσεν αὐτὴν ὁ Πέτρος, ἀλλ' ἔμεινεν· ὥστε φόβος τοῦτο διδασκάλου· τοῦτο τιμὴ μαθητῶν· τοῦτο ὑπακοή· "τριῶν ὡρῶν διάστημα·" καὶ οὐκ ἔμαθεν ἡ γυνὴ, οὐδὲ ἐξεῖπέ τις τῶν παροντων· καίτοι ἱκανόν γε ἐξηνεχθῆναι ἦν, ἀλλ' ἐφοβοῦντο· τοῦτο γοῦν καὶ θαυμάζων ὁ Εὐαγγελιστὴς ἔλεγεν, ὅτι "μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν."

8 Ἀπεκρίθη δὲ Πέτρος πρὸς αὐτήν. εἰπέ μοι, εἰ τοσού-
του τὸ χωρίον ἀπέδοσθε· ἡ δὲ εἶπε· ναὶ τοσούτου.

Ταύτην ἐβούλετο σῶσαι· ἐκεῖνος γὰρ ἦν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας· διὰ τοῦτο αὐτῇ δίδωσι προθεσμίαν ἀπολογίας, ἐξουσίαν μετανοίας, λέγων, "εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε."

Ἀμμωνίου. Τὸ ἐρωτηθῆναι καὶ μὴ ὁμολογῆσαι τὸ ἴδιον πταῖσμα, ἀλλὰ καὶ τὸ ἐναντίον ζητεῖν λαθεῖν δι' ἀρνήσεως, ἀσύγγνωστον κακόν· διὸ καὶ ἐπιφθάνει εὐθὺς ἡ τιμωρία. οὕτως εὑρίσκομεν καὶ ἐπὶ τοῦ Κάϊν, ὃς ἀκούσας, "ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;" εἶπεν, "οὐκ οἶδα·" καὶ λοιπὸν ἡ κατάρα μετὰ ταῦτα ἐπιφθάνει.

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη

p ὀζᾶν Cod.

ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.

Τοῦ Χρυσοστόμου. *Πρότερον αὐτὴν παιδεύει τὸ ἁμάρτημα· καὶ τότε δείκνυσιν ὅτι δικαίως τὰ αὐτὰ πείσεται τῷ ἀνδρὶ, ἐπειδὴ καὶ τὰ αὐτὰ ἥμαρτεν.*

Ἰσιδώρου Ἐπιστολῆς ρπα. *Οὐκ ἀπονοίας ἐστὶν, ὦ φιλολογώτατε, ὁ κατὰ τῶν πταισάντων φόνος*[q] *τοῦ σοφωτάτου Πέτρου, ἀλλὰ διδασκαλίας προγνωστικῆς, τὰ πολλὰ τῶν ἀνθρώπων προιεμένης ἁμαρτήματα. τότε γὰρ ἀρξάμενοι τὰ τοῦ εὐαγγελίου καταβάλλεσθαι σπέρματα, καὶ εὐθὺς παρανατείλαντα ἑωρακότες ζιζάνια, σοφῶς αὐτὰ παραχρῆμα ἐξέτιλον· ἵνα μὴ τῷ σίτῳ συναχθέντα, τῷ μέλλοντι πρὸς καῦσιν πυρὶ φυλαχθῇ. Οὕτω καὶ Μωϋσῆς ὁ θεσπέσιος τὰ τοῦ νόμου ἐκ προοιμίων παραβαθέντα θεώμενος, εἰ καὶ ἐπιβραχὺ ἁμαρτήματι, καταλευσθῆναι τὸν ἐν σαββάτῳ ξυλολογοῦντα ἐκέλευσε, τοῦτο Θεὸν γεγραφὼς ἀποφήνασθαι· ἐπὶ μικρῷ γὰρ καὶ μείζονι ἡ παράβασις γίνεται· ὡς καὶ οἱ πρῶτοι τοῦ γένους προπάτορες, ξύλου γεύσει, τὸν πολυώδυνον καταδικάσθησαν βίον καὶ θάνατον.*

10 Ἔπεσε δὲ παραχρῆμα ἐνώπιον αὐτοῦ καὶ ἐξέψυξεν· εἰσέλθοντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

Τοῦ Χρυσοστόμου. *Τίς λοιπὸν οὐκ ἂν ἐξεπλάγη; τίς οὐκ ἂν ἔδεισε τὸν Ἀπόστολον; τίς οὐκ ἂν ἐθαύμασε; τίς οὐκ ἂν ἐφοβήθη;*

11 Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Τοῦ Χρυσοστόμου. *Μετὰ τὸ γενέσθαι τὸν φόβον αὐτῶν, πλειόνα σημεῖα ποιεῖ καὶ αὐτὸς καὶ οἱ λοιποί.*

12 Διὰ δὲ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά.

Τοῦ αὐτοῦ. *Οὐκέτι ἐν οἰκίᾳ· ἀλλὰ τὸ ἱερὸν καταλαβόντες, ἐκεῖ διέτριβον· οὐκέτι λοιπὸν ἀκαθάρτων ἅπτεσθαι ἐφυλάττοντο,*

[q] φόβος Cod., sed corr. ant. m. φόνος.

ἀλλ' ἁπλῶς ἥπτοντο τῶν νεκρῶν· καὶ ὅρα· πῶς ἐν μὲν τοῖς οἰκείοις εἰσὶ σφοδροὶ, ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τῇ δυνάμει.

Καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶν-
13 τος· τῶν δὲ λοιπῶν, οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς,
ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.

Τοῦ αὐτοῦ. Ὁ Πέτρος ἦν ὁ θαυμαστὸς, καὶ τούτῳ μᾶλλον προσεῖχον διά τε τὴν δημηγορίαν, καὶ τὴν πρώτην, καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην· διά τε τὸ σημεῖον· αὐτὸς γὰρ τὸ σημεῖον εἰργάσατο, τὸ πρῶτον, τὸ δεύτερον, τὸ τρίτον· τοῦτο γὰρ διπλοῦν ἦν· πρῶτον μὲν τὸ τὰ κατὰ διάνοιαν ἐλέγξαι· δεύτερον δὲ τὸ ἀνελεῖν προστάγματι.

Τοῦ αὐτοῦ. Οὐκέτι λοιπὸν εὐκαταφρόνητοι ἦσαν καθάπερ καὶ πρότερον· ἐν βραχεῖ γὰρ καιρῷ καὶ μιᾷ ῥοπῇ τοσαῦτα γέγονεν ὑπὸ τοῦ ἁλιέως καὶ ὑπὸ τοῦ τελώνου· οὐρανὸς ἦν ἡ γῆ καὶ πολιτεία[r]· καὶ παρρησίας καὶ θαυμάτων καὶ πάντων ἕνεκεν, καθάπερ ἄγγελοι οὕτως ἐθαυμάζοντο πρὸς οὐδὲν ἐπιστρεφόμενοι, οὐ πρὸς γέλωτα, οὐ πρὸς ἀπειλὰς, οὐ πρὸς κινδύνους· φιλάνθρωποι ἐτύγχανον καὶ κηδεμονικοί.

14 Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ,
πλήθη ἀνδρῶν τε καὶ γυναικῶν.

Τοῦ αὐτοῦ. Τοῦτο ἐπὶ τοῦ Χριστοῦ οὐ γέγονεν· ὅρα δὲ ἐκβαῖνον τὸ ὑπ' αὐτοῦ εἰρημένον, ὅτι "οἱ πιστεύοντες εἰς ἐμὲ, τὰ ἔργα ἃ "ἐγὼ ποιῶ κἀκεῖνοι ποιήσουσι, καὶ μείζονα ποιήσουσι." Καὶ μετ' ὀλίγα—Ἀλλ' ὅρα πῶς ὑφαίνεται αὐτοῖς ὁ βίος· ἀθυμία πρώτη γέγονε διὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, εἶτα εὐθυμία διὰ τὴν τοῦ Πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας, εἶτα καὶ εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ κατασχεθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας· πάλιν ἐνταῦθα καὶ εὐθυμία καὶ ῥαθυμία· ὅτι μὲν οὖν ἦσαν λαμπροὶ καὶ ὁ Θεὸς αὐτοῖς ἀπεκάλυψεν· ὅτι δὲ τοὺς αὐτῶν ἀνῄρουν, ἀθυμία· πάλιν εὐθυμία ἀπὸ τῆς λαμπρότητος· πάλιν ἀθυμία ἀπὸ τοῦ ἀρχιερέως· καὶ δι' ὅλου ἴδοι ἄν τις· καὶ ἐπὶ τῶν παλαιῶν δὲ τοῦτο εὕροι τίς ἄν.

Ἐξ ἀνεπιγράφου. Τὸ πιστεύειν ὅτε μὲν συγκατάθεσιν ἁπλοῦ-

[r] πολιτείας Cod.

στέραν δηλοῖ, ὅτε δὲ πίστιν ἐπιτεταμένην μετά τινος ἁγιότητος, καθὸ λέγεται καὶ θεῖα χαρίσματα δίδοσθαι τοῖς ἀνθρώποις κατ' ἀναλογίαν τῆς πίστεως· οὐ ταύτην οὖν τὴν πίστιν εἶχεν ὁ Σίμων τὴν ἐπιτεταμένην, καὶ τὴν αἰτίαν τοῦ θεῖόν τι χάρισμα λαβεῖν· ἀλλ' ἁπλῶς τὴν ψιλὴν καὶ ἀδιάλυτον· διὸ καὶ ἥμαρτε μετὰ τὸ πιστεῦσαι, καὶ ὡς οὐκ ἔχων ζωὴν αἰώνιον περιέτυχε τῷ τῆς ψυχῆς θανάτῳ.

Διδύμου. Τὸ πιστεύειν ὅτε μὲν συγκατάθεσιν ἁπλουστέραν δηλοῖ, ὅτε δὲ ἐπιτεταμένην μετά τινος θειότητος, καθὸ λέγεται, "ἄνδρα δὲ πιστὸν ἔργον ἐστιν εὑρεῖν·" ὁ ταύτην τὴν πίστιν κατορθῶν ἔχει ζωὴν αἰώνιον, καὶ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τῷ πεπιστευκέναι ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν, οὐ δύναται ἁμαρτάνειν διὰ τὴν ἐνυπάρχουσαν ἐν αὐτῷ πίστιν ἐνεργῇ· τούτων διαφορᾶ[r] δηλοῦται καὶ ἐν τῷ "πᾶς ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· καὶ πᾶς ὁ ζῶν "καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα·" κἂν τοίνυν πεπιστευκέναι καὶ Σίμων ὁ Μάγος λέγηται, κατὰ τὴν ἁπλουστέραν διετέθη πίστιν, οὐ τὴν εἰς δικαιοσύνην λελογισμένην· καὶ ἔτι ἐστι τίς πίστις ἐκ τοῦ ἐφ' ἡμῖν συνισταμένη, ἣν ἀπαιτεῖ Ἰησοῦς λέγων, "πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε·" καὶ ἑτέρα παρὰ ταύτην θεόπεμπτος, περὶ ἧς εἴρηται· ἄλλῳ δίδοται πίστις ἐν τῷ αὐτῷ πνεύματι, καὶ ἐπὶ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος κατ' ἀναλογίαν προλαβούσης πίστεως δίδοται· ἓν δὲ τῶν χαρισμάτων καὶ ἡ πίστις· καὶ αὐτὴ ἄρα κατ' ἀναλογίαν πίστεως δίδοται· ὁ ταύτην ἔχων τὴν πίστιν ἐκ Θεοῦ γεγένηται, καὶ ζωὴν αἰώνιον ἔχει· Σίμων δὲ οὐ ταύτην εἶχεν, ἀλλὰ μόνην τὴν ἐκ τοῦ ἐφ' ἡμῖν· καὶ ταύτην οὐκ ἐπιτεταμένην, διὸ καὶ ἥμαρτε μετὰ τὸ πιστεῦσαι, καὶ ὡς οὐκ ἔχων ζωὴν αἰώνιον περιέτυχε τῷ ψυχῆς θανάτῳ.

15 Ὥστε καὶ εἰς τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς
αὐτῶν καὶ τιθέναι ἐπὶ κλιναρίων καὶ κραββάτων, ἵνα
ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσει τινὶ αὐτῶν.
16 συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱε-
ρουσαλὴμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευ-
μάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

r Sic.

Τοῦ Χρυσοστόμου. Πολλὴ ἡ πίστις καὶ μείζων ἡ ἐπὶ τοῦ Χριστοῦ· πόθεν δὴ τοῦτο γέγονεν; ὅτι ὁ Χριστὸς ἀπεφήνατο· καὶ ταῦτα μενόντων αὐτῶν ἐκεῖ καὶ οὐ περιϊόντων· καὶ ἄλλοθεν ἐφέροντο πάντες ἐπὶ τῶν κλινῶν καὶ κραββάτων[s], καὶ πάντοθεν αὐτοῖς συνήγετο θαῦμα, ἀπὸ τῶν πιστευσάντων, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τοῦ κολασθέντος, ἀπὸ τῆς παρρησίας τῆς πρὸς ἐκείνους, ἀπὸ τῆς ἀρετῆς τῶν πιστευσάντων.

Τοῦ αὐτοῦ. Σκόπει πῶς οὐκέτι λοιπὸν ἀριθμὸν λέγει τῶν πιστευόντων· οὕτως εἰς πλῆθος λοιπὸν ἐπέτεινε τὰ τῆς πίστεως, καὶ ἡ ἀνάστασις ἐκηρύττετο.

ΚΕΦ. Ϛ.

Ὅτι τοὺς Ἀποστόλους ἐμβληθέντας ἐν τῷ δεσμωτηρίῳ Ἄγγελος τοῦ Θεοῦ ἐξέωσεν, ἐπιτρέψας ἀκωλύτως κηρύσσειν τὸν Χριστόν[t].

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ.

Τοῦ αὐτοῦ. Τουτέστι διηγέρθη κινηθεὶς ἐπὶ τοῖς γινομένοις.

Ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζή-
18 λου, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπὶ τοὺς Ἀποστόλους, καὶ
ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

Σημειωτέον ὅτι αἱρετικοὶ εἰσὶν οἱ Σαδδουκαῖοι.

19 Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἀνοίξας τὰς θύρας
20 τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε· πορεύεσθε καὶ
σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα
21 τῆς ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρ-
θρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον· παραγενόμενος δὲ ὁ
ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον
καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπ-
22 έστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς· οἱ δὲ ὑπη-
ρέται παραγενόμενοι οὐκ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ.

Ἀμμωνίου. Νῦν σφοδρότερον αὐτοῖς ἐπιτίθενται· οὐκ εὐθέως αὐτοὺς ἔκρινε, προσδοκῶν πάλιν πράους ἔσεσθαι, καὶ σφοδρότερον αὐτοῖς ἐπιτίθεται.

Τοῦ αὐτοῦ. Τοῦτο καὶ εἰς ἐκείνων παραμυθίαν γέγονεν· καὶ

[s] κραβάττων Cod. [t] τὸν Ἰησοῦν Œcum.

τούτων ὠφέλεια καὶ διδασκαλία. Καὶ μετ' ὀλίγα—Δέον τοίνυν ἐρωτῆσαι πρῶτον, πῶς ἐξήλθετε; οἱ δὲ ὡς οὐδενὸς γενομένου ἐρωτῶσι λέγοντες, "οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν," καὶ ὅρα δι' ἑτέρων μανθάνουσιν ἅπαντα· ὁρῶσι κεκλεισμένην τὴν φυλακὴν μετ' ἀσφαλείας καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν.

Τοῦ αὐτοῦ. Εἰ ἐξέβαλλον αὐτοὺς οἱ φύλακες, ὡς ἐκεῖνοι ἐνόμιζον, ἔφυγον ἄν, εἴγε πεισθέντες ἐξῆλθον· καὶ εἰ ἐξέβαλον αὐτοὺς ἐκεῖνοι, οὐκ ἂν εἰς τὸ ἱερὸν ἔστησαν, ἀλλ' ἀπέδρασαν ἄν· τοῦτο δὲ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ συνιδεῖν.

23 Ἀναστρέψαντες δὲ ἀπήγγειλαν λέγοντες, ὅτι τὸ μὲν
δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ,
καὶ τοὺς φύλακας ἑστῶτας ἐπὶ τῶν θυρῶν· ἀνοίξαντες
24 δὲ, ἔσω οὐδένα εὕρομεν· ὡς δὲ ἤκουσαν λόγους τούτους
ὅ τε στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ
25 αὐτῶν πρὸς ἑαυτοὺς, τί ἂν γένοιτο τοῦτο· παραγενόμε-
νος δέ τις ἀπήγγειλεν αὐτοῖς λέγων· ὅτι ἰδοὺ οἱ ἄνδρες
οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ
26 διδάσκοντες τὸν λαόν. τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν
τοῖς ὑπηρέταις ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας.

Τοῦ Χρυσοστόμου. Διπλῆ ἡ ἀσφάλεια, ὥσπερ ἐπὶ τοῦ τάφου καὶ ἡ σφραγὶς καὶ οἱ ἄνθρωποι. ὅρα πῶς ἦσαν θεομάχοι· ταῦτα ἀνθρώπινά ἐστιν, εἰπέ μοι, τὰ ὑπὲρ αὐτῶν γενόμενα; τίς αὐτοὺς ἐξήγαγεν, εἰπέ μοι, τῶν θυρῶν κεκλεισμένων; εἰπὲ, πῶς ἐξῆλθον; ὄντως μαινομένων καὶ μεθυόντων τὰ ῥήματα· οὓς οὐ κατέσχεν ἡ φυλακὴ καὶ τὰ δεσμὰ καὶ θύραι κεκλεισμέναι, τούτων προσεδόκησαν περιέσεσθαι, παίδων ἀνοήτων πράγματα παθόντες.

Ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν.

Τοῦ Χρυσοστόμου. Ὢ τῆς ἀνοίας· ἐφοβοῦντο γάρ, φησι, τὸν ὄχλον· τί γὰρ αὐτοὺς ὁ ὄχλος ὠφέλει, δέον τὸν Θεὸν φοβηθῆναι· τὸν καθάπερ πτηνοὺς ἀεὶ τῶν χειρῶν αὐτοὺς ἐξαρπάζοντα τῶν ἐκείνων.

* Ὅτι τῇ ἑξῆς αὐτοὺς οἱ Ἀρχιερεῖς πάλιν συλλαβόμενοι, ἐφ' ᾧ μηκέτι διδάσκειν, μαστίξαντες ἀπέλυσαν.

27 Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ, καὶ

28 ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς λέγων· οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ματθαῖον ὑπομνήματος. "Τί "ποιεῖτε βουλόμενοι ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα ἀνθρώπου τούτου;" τί φῄς; σὺ βατίζεις[t], καὶ σὺ φοβῇ; σὺ ἐπηρεάζεις, καὶ σὺ δεδοίκας; σὺ κρίνεις, καὶ σὺ τρέμεις; οὕτως ἀσθενὴς ἡ κακία.

29 Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ Ἀπόστολοι εἶπον· πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.

Τοῦ αὐτοῦ. Ἰδοὺ πρᾶγμα παράδοξον ἀληθῶς· τὸν Κύριον ὃν ὡς κατὰ δειλίαν λαλοῦντα νομίζουσιν οἱ Χριστομάχοι, οὗτος τῇ νομιζομένῃ δειλίᾳ θαρσαλέους καὶ ἀφόβους τοὺς ἀνθρώπους κατεσκεύαζεν. οἱ γοῦν μακάριοι Ἀπόστολοι μετ' αὐτὸν οὕτως ἐκ τῶν φωνῶν τούτων κατεφρόνουν τοῦ θανάτου, ὡς μηδὲ φροντίζειν τῶν ἀνακρινόντων αὐτοὺς, ἀλλὰ λέγειν, "πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ "ἀνθρώποις·" οἵτε ἄλλοι ἅγιοι μάρτυρες ἐθάρρουν οὕτως, ὡς μᾶλλον νομίζειν αὐτοὺς εἰς ζωὴν μεταβαίνειν, ἢ θάνατον ὑπομένειν.

Πάλιν μετὰ ἐπιεικείας διαλέγονται· καίτοιγε ἐνῆν εἰπεῖν, τίνες γὰρ ἐστὲ ὑμεῖς ἀντιδιατεττόμενοι τῷ Θεῷ; ἀλλὰ πάλιν ἐν τάξει παραινέσεως καὶ συμβουλῆς μετ' ἐπιεικείας πολλῆς ἀποκρίνονται. πολλὴ ἡ σοφία· καὶ δεικνύουσιν αὐτοὺς μαχομένους τῷ Θεῷ.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου.

Τοῦ αὐτοῦ. Ὃν γὰρ ὑμεῖς ἀνείλετε, φησὶν, ὁ Θεὸς ἤγειρε· καὶ τῷ Πατρὶ πάλιν τὸ πᾶν ἀνατιθέασιν· ἵνα μὴ δόξῃ ἀλλότριος εἶναι τοῦ Πατρός.

31 Τοῦτον ὁ Θεὸς Ἀρχηγὸν καὶ Σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ.

Τοῦ αὐτοῦ. Οὐχ ἁπλῶς τὴν ἀνάστασιν λέγει, ἀλλὰ καὶ τὴν ὕψωσιν.

[t] Sic.

Δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν.

Τοῦ αὐτοῦ. Ὅρα πάλιν τὸ κέρδος· ὅρα ἐν τάξει ἀπολογίας διδασκαλίαν ἀπηρτισμένην.

Τοῦ αὐτοῦ. Ἐνταῦθα οὐ μέμνηται τῶν ἐθνῶν, ἵνα μὴ δῷ λαβήν.

32 Καὶ ἡμεῖς ἐσμὲν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων.

Τοῦ αὐτοῦ. Ποίων ῥημάτων; ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἀπηγγείλατο· ἡ μὲν ἀνάστασις ἦν λοιπὸν ὡμολογημένη· ὅτι δὲ ἄφεσιν δίδωσιν, ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ οὐκ ἂν ἐπῆλθε, μὴ πρότερον τῶν ἁμαρτιῶν λυθεισῶν· ὅθεν ἀναμφισβήτητον τεκμήριον τοῦτό ἐστιν.

Πολλὴ ἡ παρρησία καὶ τὸ ἀξιόπιστον.

Καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

Τοῦ αὐτοῦ. Ὁρᾷς ὅτι οὐχὶ τῇ τοῦ Πνεύματος μαρτυρίᾳ μόνον κέχρηται· καὶ οὐκ εἶπεν, ὃ ἔδωκεν ἡμῖν, ἀλλὰ τοῖς πειθομένοις· ἅμα μὲν μετριάζοντες, ἅμα δὲ αὐτῷ δεικνύντες καὶ δηλοῦντες ὅτι καὶ αὐτοῖς δυνατὸν λαβεῖν. Καὶ μετ' ὀλίγα—Διὰ τοῦτο συγχωρεῖ ὁ Θεὸς ἄγεσθαι αὐτοὺς εἰς δικαστήριον, ἵνα κἀκεῖνοι παιδεύωνται, καὶ πάντες μανθάνωμεν, καὶ οἱ Ἀπόστολοι εἰς παρρησίαν ἀλείφωνται.

Διδύμου. Οὐκ ἐνταῦθα μόνον ἀλλὰ καὶ ἐν ἑτέροις χωρίοις τῆς γραφῆς δηλοῦται, ὡς τὸ Ἅγιον Πνεῦμα δίδοται, ἡμῶν τὴν αἰτίαν τοῦ λαβεῖν αὐτὸ παρεχόντων· τὸ γὰρ πειθαρχεῖν Θεῷ προαιρετικὸν ὥσπερ τὸ πιστεύειν· οἷς μετὰ ἀναλογίαν δίδοται τὸ Πνεῦμα τοῖς τῶν χαρισμάτων αὐτοῦ τυγχάνουσι· συνᾴδει δὲ τούτοις καὶ τὸ "δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν."

33 Οἱ δὲ ἀκούσαντες διεπρίοντο, καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς.

Τοῦ Χρυσοστόμου. Ὁρᾷς τούτους πάλιν ἐν ἀπορίᾳ· τούτους ἐν ὀδύνῃ, ἐκείνους δὲ ἐν ἀνέσει καὶ εὐθυμίᾳ καὶ ἐν τρυφῇ· οὐχ ἁπλῶς ὠδυνῶντο ἀλλὰ διεπρίοντο· τοῦτο ἄρα ἐστὶ τὸ κακῶς παθεῖν, τὸ κακῶς ποιεῖν· καθάπερ καὶ ἐνταῦθα ἐστὶν ἰδεῖν· ἐν δεσμοῖς ἦσαν οὗτοι· παρεστήκεσαν δικαστηρίῳ, καὶ οἱ δικάζοντες ἐν κιν-

δύνῳ ἦσαν, ἐν ἀπορίᾳ, ἐν ἀμηχανίᾳ πολλῇ· καθάπερ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτὸς λαμβάνει τὴν πληγὴν, οὕτω δὴ καὶ οὗτοι.

34 Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ.

Τοῦ αὐτοῦ. *Οὗτος ὁ Γαμαλιὴλ ὁ Παύλου διδάσκαλος ἦν· καὶ θαυμάσαι ἄξιον, πῶς καὶ κατὰ νοῦν κρίσεις ἔχων καὶ νομομαθὴς ὢν, οὐδέπω πιστεύει· ἐπεὶ οὐδέπω* Παῦλος *ἐπίστευσεν· οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύοντα δι' ὅλου, καὶ δῆλον ἐκ τῶν ῥημάτων αὐτοῦ.*

Φαρισαῖος ὀνόματι Γαμαλιὴλ, νομοδιδάσκαλος τίμιος
παντὶ τῷ λαῷ· ἔξω βραχύ τι[r] τοὺς Ἀποστόλους ἐκέ-
35 λευσε ποιῆσαι· εἶπέ τε πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν.

Τοῦ αὐτοῦ. *Ὁρᾷ τὴν σύνεσιν τῆς δημηγορίας, πῶς αὐτοὺς εὐθέως εἰς φόβον ἐνέβαλε· καὶ ὥστε μὴ ὑποπτευθῆναι αὐτὸν ὡς τὰ ἐκείνων φρονοῦντα, ὡς πρὸς ὁμογνώμονας διαλέγεται, καὶ οὐ πολλῇ σφοδρότητι κέχρηται, ἀλλ' ὡς ὑπὸ θυμοῦ μεθύουσιν οὕτω φησὶν, "ἄνδρες* Ἰσραηλῖται," *καὶ τὰ ἑξῆς, μὴ ἁπλῶς φησὶ, μηδὲ ὡς ἔτυχε φέρεσθαι*[s].

36 Πρὸ γὰρ τούτων ἡμερῶν.

Τοῦ αὐτοῦ. *Ἀπὸ παραδειγμάτων αὐτοὺς σωφρονίζει, καὶ τοὺς πλείονας ἀποστήσαντα ὕστερον τίθησι παραμυθούμενος αὐτούς· πρὸ μὲν οὖν τὰ παραδείγματα εἰπεῖν, "προσέχετε ἑαυτοῖς·" ἐπειδὴ δὲ ἔδειξεν, ἀποφαίνεται, καὶ φησὶν, "ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων."*

Ἀνέστη Θευδᾶς λέγων εἶναί τινα ἑαυτὸν μέγαν, ᾧ προσετέθησαν ἀνδρῶν ἀριθμὸς ὡσεὶ τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν καὶ ἐγένοντο ὡς οὐδέν.

Ἐξ ἀνεπιγράφου. Περὶ Θευδᾶ *μέμνηται* Ἰώσηπος *ἐν τῷ ιθ' βιβλίῳ τῆς* Ἀρχαιολογίας, *ὡς φησὶν* Εὐσέβιος *ἐν τῷ δευτέρῳ τῆς*

[r] *βραχύ τι* om. Cod. [s] Corr. r. m. *φέρεσθε.*

Ἐκκλησιαστικῆς Ἱστορίας, αὐταῖς λέξεσι παρατιθέμενος τὸν Ἰώσηπον λέγοντα· "Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος γόης τὶς "ἀνὴρ, Θευδᾶς ὀνόματι, πείθει τὸν ὄχλον ἀναλαβόντα τὰς κτήσεις "ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ· προφήτης γὰρ ἔλε"γεν εἶναι· καὶ προστάγματι τὸν ποταμὸν σχίσας, δίοδον ἔφη "παρέξειν αὐτοῖς ῥαδίαν· καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν· οὐ "μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης ὄνασθαι Φάδος, ἀλλ' ἐξέπεμψεν "ἴλην ἱππέων ἐπ' αὐτοὺς, ἥτις πολλοὺς ἀνεῖλε καὶ ἐζώγρησεν ἐξ "αὐτῶν· αὐτόν τε τὸν Θευδᾶν ζωγρήσαντες, ἀποτέμνουσι τὴν "κεφαλὴν καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα."

Θευδᾶς αἱρεσιάρχης καὶ Ἰούδας Γαλιλαῖος ἐπὶ τῶν χρόνων τῆς ἀπογραφῆς κατελύθησαν.

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς
ἡμέραις τῆς ἀπογραφῆς· καὶ ἀπέστησε λαὸν ἱκανὸν ὀ-
πίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπεί-
38 θοντο αὐτῷ διεσκορπίσθησαν· καὶ τὰ νῦν λέγω ὑμῖν,
ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐ-
τούς.

Ἐξ ἀνεπιγράφου. Ἐοίκασιν οἱ Γαλιλαῖοι κατὰ τοὺς χρόνους Πιλάτου ἐστασιακέναι, δόγμασιν ἑπόμενοι Ἰούδα τοῦ Γαλιλαίου· ἦν δὲ τὸ δόγμα τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας ἔδειξε, φαντασίαν ἐξαποστέλλον πολλὴν δι' εὐσέβειαν εὐτονίας· κύριον γὰρ μηδὲ μέχρι στόματος ἔφασκε δεῖ τινα λέγειν, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην· οὕτω δὲ μήτε τὸν βασιλεύοντα· καὶ πολλοί γε αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν Καίσαρα κύριον χαλεπωτάτας αἰκίας ὑπέμειναν· οἳ καὶ ἐδίδασκον μὴ δεῖν παρὰ τὰς διατεταγμένας ἐν τῷ Μωϋσέως νόμῳ θυσίας ἑτέρας ἀναφέρεσθαι τῷ Θεῷ· διόπερ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδεδομένας γίνεσθαι, περὶ τῆς σωτηρίας τοῦ Βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους· εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν Πιλάτον, κελεῦσαι παρ' αὐτοῖς αἷς ἐδόκουν προσφέρειν θυσίαις αὐτοὺς ἀναιρεθῆναι· ὡς τότε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσαγόντων, καθὰ καὶ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ φέρεται.

Ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον
39 *τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστὶν, οὐ δυνή-*
σεσθε καταλῦσαι αὐτούς.

Τοῦ Χρυσοστόμου. *Εἰ μὲν γὰρ ἀνθρώπινόν ἐστι, φησὶ, τί δεῖ πραγμάτων ὑμῖν; ἀλλ' εἰ*[t] *θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε· ἄληπτος ὁ λόγος.*

Τοῦ αὐτοῦ. *Πόθεν δῆλον, ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων καταλύεται; πεῖραν ἔλαβε, φησὶν, ἀπὸ Ἰούδα καὶ Θευδᾶ· ὥστε καὶ οὗτος ὁ κηρυττόμενος ὑπὸ τούτων, εἰ τοιοῦτός ἐστιν οἷοι κἀκεῖνοι, καὶ μὴ θείᾳ δυνάμει πάντα ἐργάζονται, μικρὸν ἀναμείνατε, καὶ ἡ τῶν πραγμάτων ὑμῶν πιστώσεται ἔκβασις· διὰ τοῦ τέλους εἴσεσθε, εἴτε ἄνθρωπός ἐστι πλάνος, ὥς φατε, καὶ παράνομος, εἴτε Θεὸς ὁ πάντα συγκρατῶν, καὶ ἀπορρήτῳ δυνάμει τὰ καθ' ἡμᾶς οἰκονομῶν πράγματα· ὅπερ οὖν καὶ ἐγένετο· ἀνέμειναν, καὶ διὰ τῶν ἔργων ἐδηλοῦτο ἡ θεία καὶ ἄμαχος δύναμις.*

Μήποτε καὶ θεομάχοι εὑρεθῆτε.

Τοῦ Χρυσοστόμου. *Τί οὖν κωλύει, φησὶ, καὶ ὑμᾶς καταλυθῆναι; μήποτε γάρ, φησι, καὶ θεομάχοι εὑρεθῆτε· καὶ διὰ τοῦ ἀδυνάτου καὶ διὰ τοῦ ἀσυμφόρου ἀποτρέπει αὐτούς· καὶ οὐκ εἶπεν ὅτι ἀπό τινος ἀνηρέθησαν, ἀλλ' ὅτι ἐνταῦθα διελύθησαν, καὶ ἐρρύη αὐτῶν τὸ σύστημα. εἰ μὲν γὰρ ἀνθρώπινόν ἐστι, φησὶ, τί δεῖ πραγμάτων ὑμῖν; ἀλλ' εἰ*[u] *θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε περιγενέσθαι· ἄληπτος ὁ λόγος. πῶς ἐπείσθησαν ὥστε μὴ ἀνελεῖν αὐτοὺς, ἀλλὰ μαστίξαι μόνον; ἐπείσθησαν γὰρ αὐτῷ, φησίν.*

40 *Ἐπείσθησαν δὲ αὐτῷ· καὶ προσκαλεσάμενοι τοὺς*
Ἀποστόλους, δείραντες, παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ
ὀνόματι τοῦ Ἰησοῦ· καὶ ἀπέλυσαν αὐτούς.

Τοῦ αὐτοῦ. *Πῶς ἐπείσθησαν ὥστε μὴ ἀνελεῖν αὐτοὺς, ἀλλὰ μαστίξαι μόνον; ὅρα μετὰ πόσα μαστίζονται, καὶ πάλιν ἡ διδασκαλία ἐπετείνετο· καὶ γὰρ ἐν οἰκίᾳ καὶ ἐν τῷ ἱερῷ ἐδίδασκον.* Καὶ μετ' ὀλίγα—*Τίνος οὖν ἕνεκεν, φησὶ, μαστίζονται; τῇ μὲν ἀναμφισβητήτῳ δικαιολογίᾳ ἀντιβλέψαι οὐκ εἶχον, ὅμως δὲ τὸν θυμὸν ἐπλήρουν τὸν οἰκεῖον, καὶ πάλιν ταύτῃ φοβῆσαι προσεδόκησαν.*

[t] ἀλλὰ Cod. [u] ἀλλὰ Cod.

41 Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ
συνεδρίου.

Τοῦ Χρυσοστόμου. Πόσων σημείων τοῦτο οὐ θαυμασιώτερον; οὐδαμοῦ γέγονεν ἐπὶ τῶν παλαιῶν τοῦτο· ἐπεὶ καὶ Ἱερεμίας ἐμαστίχθη διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τῷ Ἠλίᾳ ἠπείλησαν καὶ τοῖς ἄλλοις· ἀλλ' ἐνταῦθα καὶ ἀπὸ τούτου καὶ ἀπὸ τῶν σημείων μόνον τὴν δύναμιν ἐνεδείκνυντο τοῦ Θεοῦ· οὐκ εἶπεν ὅτι οὐκ ἤλγουν, ἀλλ' ὅτι καὶ ἀλγοῦντες ἔχαιρον· πόθεν δῆλον; ἐκ τῆς μετὰ ταῦτα παρρησίας· οὕτως ἐνεστήκεσαν ἀεὶ καὶ μετὰ τὰς πληγὰς κηρύττοντες.

Ἀμμωνίου πρεσβυτέρου. "Ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι·" τῷ καθολικῷ χρησάμενος ἐδήλωσεν, ὅτι Θεὸς ἦν ὁ Ἰησοῦς· ὥσπερ γάρ τις λέγων, αὐτὸς εἶπεν, ὁ ὢν εἶπε, τὸν Θεὸν σημαίνει· οὕτως καὶ ὁ ἀορίστως τὸ ὄνομα μόνον εἰπὼν, ὁμοίως τὴν θείαν τοῦ Ἰησοῦ οὐσίαν ἐσήμανεν.

Ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ
42 ἀτιμασθῆναι· πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ'
οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν
Χριστὸν Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. Καταξιωθῆναι γὰρ ὄντως ἐστὶ καὶ τὸ ἀτιμασθῆναι· εἰ γὰρ φίλον τις ἔχων, κέρδος ἡγεῖται τὸ δι' ἐκεῖνόν τι παθεῖν, πολλῷ μᾶλλον ὁ διὰ Χριστόν· μὴ τοίνυν ἀσχάλλωμεν πρὸς τὰς θλίψεις τὰς διὰ Χριστὸν, ἀλλὰ μνημονεύωμεν τῶν δεσμῶν Παύλου καὶ ἡμεῖς, καὶ τοῦτο ἡμῖν ἔστω προτροπή. Καὶ πάλιν—Οὕτω δὴ καὶ ἡ σωτηρία ἡμῶν τότε ἐνεργεῖται μειζόνως· τουτέστι δείκνυται, αὔξεται, ἐπιτείνεται, ὅταν ὑπομονὴν ἔχῃ, ὅταν πάσχῃ, καὶ γενναίως ἅπαντα φέρῃ· ἄρα ἐνέργεια σωτηρίας οὐ τὸ ποιεῖν κακῶς ἀλλὰ τὸ πάσχειν κακῶς· "οὐκ ἄξια γὰρ τὰ παθή-" μata τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν."

ΚΕΦ. Ζ.

Περὶ χειροτονίας τῶν ἑπτὰ Διακόνων.

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους.

Τοῦ Χρυσοστόμου. Ἑλληνιστὰς οἶμαι καλεῖν τοὺς Ἑλληνιστὶ φθεγγομένους· οὗτοι γὰρ Ἑλληνιστὶ διελέγοντο. ἰδοὺ ἄλλος πειρασμός· ὅσα καὶ ἔσωθεν καὶ ἔξωθεν τούτους εὐθέως ἐξ ἀρχῆς.

Τοῦ αὐτοῦ. Ὅτε ταῦτα ἐγένετο, ὅτε μάστιγες, ὅτε ἀπειλαὶ, τότε ἐπληθύνοντο οἱ μαθηταί.

Ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ
2 χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος
τῶν μαθητῶν εἶπον.

Τοῦ αὐτοῦ. Ἄρα καθημερινὴ διακονία ἦν ταῖς χήραις· καὶ ὅρα πῶς οὗτος διακονίαν καλεῖ, καὶ οὐ ταχέως ἐλεημοσύνην· ἅμα καὶ τοὺς ποιοῦντας καὶ τοὺς πάσχοντας διὰ τούτου ἐπαίροντες· τοῦτο οὐ κακία ἦν, ἀλλὰ τοῦ πλήθους ἴσως ῥαθυμία· διὰ τοῦτο προὔθηκεν αὐτὸ εἰς μέσον· οὐ μικρὸν γὰρ τὸ κακὸν ἦν· ὅρα πῶς καὶ ἐν ἀρχῇ τὰ κακὰ οὐχὶ ἔξωθεν μόνον ἦν· ὁρᾷς τὰ ἔξω διαδεχόμενα τὰ ἔσω;

Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις.

Τοῦ αὐτοῦ. Πρῶτον τὸ ἄτοπον τίθησιν, ὡς οὐ κενὸν μετὰ τῆς αὐτῆς σπουδῆς ἀμφότερα γίνεσθαι· ἐπεὶ καὶ ὅτε τὸν Ματθίαν χειροτονεῖν ἔμελλον, πρῶτον τὴν χρείαν δείκνυσι τοῦ πράγματος, ὅτι ἔλειπεν εἷς, καὶ ἔδει γενέσθαι δώδεκα· καὶ ἐνταῦθα τὴν χρείαν ἐδήλωσαν· οὐ πρότερον ἐποίησαν, ἀλλὰ περιέμενον γενέσθαι τὸν γογγυσμόν· καὶ οὔτε ἠνέσχοντο ἐπιτοπολὺ τοῦτο συμβῆναι· καὶ ὅρα τὴν κρίσιν αὐτοῖς ἐπιτρέπουσι· τοὺς πᾶσιν ἀρέσκοντας, τοὺς ὑπὸ πάντων μαρτυρουμένους, ἐκείνους προβάλλονται· καὶ σφόδρα αὕτη καλὴ κρίσις· ἑπτὰ προβάλλονται, οὐκέτι δώδεκα.

Τοῦ αὐτοῦ. Τῶν γὰρ ἀναγκαίων τὰ ἀναγκαιότερα προτιμότερα· ὅρα δὲ πῶς εὐθέως καὶ τούτου πρόνοιαν ἐποιοῦντο, καὶ τοῦ κηρύγματος οὐκ ἠμέλουν.

3 Ἐπισκέψασθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν μαρτυ-
ρουμένους ἑπτὰ, πλήρεις Πνεύματος Ἁγίου καὶ σοφίας·
οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης.

Τοῦ αὐτοῦ. Καίτοι ἠδύναντο αὐτοὶ ἐκλέξασθαι Πνεύματι κινούμενοι· ἀλλ' ὅμως καὶ τὴν μαρτυρίαν βούλονται τὴν παρ'

αὐτῶν· τὸ μὲν οὖν ὁρίσαι τὸν ἀριθμὸν, καὶ τὸ χειροτονῆσαι καὶ ἐν χρείᾳ τοιαύτῃ αὐτῶν ἦν· τὸ δὲ ἕλεσθαι τοὺς ἄνδρας ἐκείνοις ἐπιτρέπουσιν, ἵνα μὴ δόξωσιν αὐτοὶ χαρίζεσθαι.

4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

Τοῦ Αὐτοῦ. Πάλιν *καὶ ἀρχόμενοι καὶ τελευτῶντες ἀπολογοῦνται· "προσκαρτερήσομεν," φησίν· οὕτω γὰρ ἔδει οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, ἀλλὰ προσκαρτερεῖν.*

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους.

Καὶ *τοῦτο τῆς αὐτῶν σοφίας ἄξιον· πάντες ἐπῄνεσαν τὸ λεχθὲν, οὕτως ἦν συνετόν.*

Καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος Ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα.

Τοῦ Χρυσοστόμου. *Ὅρα καὶ ἐκεῖνοι πλήρεις πίστεως ἦσαν· ἵνα μὴ τὰ αὐτὰ γένηται οἷα ἐπὶ Ἰούδα, οἷα ἐπὶ Ἀνανίου καὶ Σαπφείρης.*

Ἐξ ἀνεπιγράφου. *Δηλοῦται καὶ διὰ τούτου, ὡς ἐκείνη ἡ πίστις ἡ μετ' ἐπιτάσεώς ἐστιν, ἡ αἰτία τοῦ χορηγηθῆναι τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ οὐχ ἡ ἁπλῶς πίστις.*

Διδύμου. *Τῶν μετεχόντων τὴν ἀρετὴν, οἱ μὲν τελείως, οἱ δὲ ἐλλιπῶς αὐτὴν ἔχουσι· Στέφανος γοῦν μαρτυρεῖται τῆς ἐκλογῆς τετυχηκέναι διὰ τὸ πλήρης εἶναι πίστεως καὶ πνεύματος· οὐ παντὸς τοῦ ὁπωσδήποτε πιστεύοντος· πλήρης[t] ὄντως πίστεως· εἴρηται γὰρ περί τινος ὀφθέντος τῷ Πέτρῳ, πίστιν ἔχοντος οὐ μὴν πλήρους[u] αὐτῆς ὄντος.*

6 Οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων.

Τοῦ Χρυσοστόμου. *Ἠφόρησαν αὐτοὺς τοῦ πλήθους, καὶ αὐτοὶ ἕλκουσιν· οὐχ οἱ Ἀπόστολοι ἄγουσιν· ὅρα πῶς οὐκ ἔστι περιττός· οὐ λέγει πῶς, ἀλλὰ τί; ἐχειροτονήθησαν διὰ προσευχῆς· τοῦτο γὰρ ἡ χειροτονία ἐστίν· ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρός· τὸ δὲ πᾶν*

[t] *πληρ ς* Cod. [u] *πληρ ς* Cod.

ὁ Θεὸς ἐργάζεται, καὶ νῦν ἡ αὐτοῦ χάρις ἐστὶν, ἡ ἁπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐὰν ὡς δεῖ χειροτονῆται.

Καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

Ἀμμωνίου. Σημειωτέον ὅτι δι' εὐχῆς καὶ ἐπιθέσεως τῶν χειρῶν τῶν ἡγουμένων τῷ λόγῳ ἡ χειροτονία· καὶ ἡ ἀξία τῆς διακονίας ἐδόθη ἐξ ἀρχῆς τοῖς διακόνοις, καὶ τοῦτο ἔθος μέχρι καὶ νῦν σώζεται.

7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα.

Τοῦ Χρυσοστόμου. Οὐχ ἁπλῶς εἶπε τοῦτο, ἀλλ' ἔδειξεν ὅση τῆς ἐλεημοσύνης ἰσχὺς, καὶ τῆς διατάξεως· καὶ μέλλει λοιπὸν αὔξειν τὸ κατὰ Στέφανον· καὶ τὰς αἰτίας αὐτῶν προτίθησιν.

Πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει.

Ἐπειδὴ γὰρ εἶδον τὸν ἄρχοντα καὶ διδάσκαλον τοιαῦτα ἀποφηνάμενον, ἀπὸ τῶν ἔργων λοιπὸν τὴν πεῖραν ἐλάμβανον· θαυμάσαι δὲ ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐν τῇ αἱρέσει τῶν ἀνδρῶν· ὁποῖον δὲ ἀξίωμα εἶχον οὗτοι, καὶ ὁποίαν ἐδέξαντο χειροτονίαν ἀναγκαῖον μαθεῖν· ἆρα τὴν τῶν διακόνων· καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία. καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ Ἀπόστολοι μόνον· ὅθεν οὔτε διακόνων οὔτε πρεσβυτέρων τὸ ὄνομα εἶναι δῆλον καὶ φανερὸν, ἀλλὰ τέως εἰς τοῦτο χειροτονήθησαν· καὶ οὐχ ἁπλῶς ἐχειροτονήθησαν, ἀλλ' ἐπηύξαντο αὐτοῖς δυνηθῆναι περιγένεσθαι· ὅρα δέ μοι εἰ ἑπτὰ ἀνδρῶν ἐδέησεν εἰς τοῦτο· τοσαῦτα ἴσως ἐπέρρει χρήματα· τοσούτων χηρῶν πλῆθος ἦν.

8 Στέφανος δὲ πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

Τοῦ αὐτοῦ. Ὅρα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις πρόκριτος, καὶ τὰ πρῶτα εἶχεν· εἰ γὰρ καὶ ἡ χειροτονία κοινὴ ἦν, ἀλλ' ὅμως ἐπεσπάσατο χάριν πλείονα· καὶ ὅρα πῶς πρὸ τούτου οὐκ ἐποίει, ἀλλ' ὅτε δῆλος γέγονεν· ἵνα δειχθῇ ὅτι οὐκ ἀρκεῖ[x] μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας, ὥστε προσθήκη Πνεύματος ἐγένετο· εἰ γὰρ πλήρεις[y] Πνεύματος ἦσαν, δηλονότι τοῦ ἀπὸ τοῦ λουτροῦ.

x ἀρκῆ Cod. y πλήρης Cod.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγο-
μένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων,
καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στε-
10 φάνῳ· καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ
πνεύματι ᾧ ἐλάλει.

Τοῦ αὐτοῦ. Πάλιν ἀνάστασιν τὸν παροξυσμὸν αὐτῶν λέγει καὶ τὴν ὀργήν. ἐνταῦθα πολὺ τὸ πλῆθος· καὶ ὅρα ἕτερον τῆς κατηγορίας τὸ σχῆμα· ἐπειδὴ γὰρ ἐκώλυσεν αὐτοὺς Γαμαλιῆλος μηδὲν ὑπὲρ ἐκείνου ἐγκαλεῖν, ἑτέραν κατηγορίαν εἰσάγουσιν.

Τοῦ αὐτοῦ. Λιβερτῖνοι ἦσαν οἱ Ῥωμαίων ἀπελεύθεροι· ὥσπερ ᾤκουν ἐκεῖ πολλοὶ ξένοι, οὕτω καὶ συναγωγὰς εἶχον, ἔνθα ἔδει τὸν νόμον ἀναγινώσκεσθαι καὶ εὐχὰς γίνεσθαι.

11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐ-
τοῦ λέγοντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν
12 Θεόν· συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους
καὶ τοὺς γραμματεῖς· καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν,
13 καὶ ἤγαγον εἰς τὸ συνέδριον· ἔστησάν τε μάρτυρας ψευ-
δεῖς λέγοντας.

Τοῦ αὐτοῦ. Διὰ γὰρ τοῦτο συνεζήτουν, ἵν' ἀναγκάσωσιν αὐτόν τι εἰπεῖν· ὁ δὲ γυμνότερον λοιπὸν διελέγετο· καὶ τὴν παῦλαν ἔλεγεν ἴσως τοῦ θείου νόμου, ἢ οὐκ ἔλεγε μὲν, ἠνίττετο δέ· ἐπεὶ εἰ ἔλεγε φανερῶς, οὐκ ἔδει τῶν ὑπολοίπων ἀνδρῶν οὐδὲ τῶν ψευδομαρτύρων.

Τοῦ αὐτοῦ. Ἐπὶ μὲν τῶν Ἀποστόλων ἔλεγον, ὅτι τὴν ἀνάστασιν κατήγγελλον, καὶ ὅτι πολὺς ὄχλος ἐπιρρεῖ· ἐνταῦθα δὲ, ὅτι ἐθεραπεύοντο· ὑπὲρ ὧν εὐχαριστεῖν ἔδει, ὑπὲρ τούτων ἐμέμφοντο· ὢ τῆς ἀνοίας· τοὺς διὰ τῶν ἔργων κρατοῦντας προσεδόκων κρατήσειν διὰ τῶν λόγων· ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν· καὶ ἀεὶ λόγους αὐτοὺς ἐνέβαλλον· ἁρπάσαι γὰρ ἁπλῶς ᾐσχύνοντο, οὐδὲν ἔχοντες ἐγκαλεῖν. Καὶ μετ' ὀλίγα—Ὅρα τοῦ κηρύγματος τὴν δύναμιν, ὅτι οὐ μαστιζομένων μόνον ἀλλὰ καὶ λιθαζομένων κρατεῖ.

Ὁ[y] ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσ-
φημα κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου·
14 ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος.

[y] ὅτι ὁ Cod.

Τοῦ Χρυσοστόμου. Ὡς ἔργον αὐτοῦ ποιουμένου, καὶ μετὰ προσθήκης, "ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς," φησὶν, οὐκέτι ὁ Θεός· ὡς ἐπ' ἀνατροπῇ πολιτείας καὶ ἀσεβείας αὐτοῦ κατηγόρουν.

Ἀμμωνίου. Σημειωτέον ὅτι αὐτοὶ οἱ ψευδομάρτυρες ἀληθῆ προεφήτευον, καὶ μὴ βουλόμενοι, περὶ τῆς τοῦ ναοῦ ἀπωλείας καὶ τῆς ἐναλλαγῆς τῆς κατὰ τὸν νόμον σαρκικῆς λατρείας.

Ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς.

Τοῦ Χρυσοστόμου. "Ἰησοῦς," φησὶν, "ὁ Ναζωραῖος," καὶ ὀνειδιστικῶς· "καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη·" τοῦτο περὶ τοῦ Χριστοῦ ἔλεγον, ὁ καταλύων τὸν ναὸν τοῦτον· πολλὴ γὰρ ἦν αὐτοῖς εὐλάβεια περὶ τὸν ναὸν, ἅτε καὶ μετοικεῖν βουλομένοις· καὶ περὶ τὸ ὄνομα Μωϋσέως διπλῆ ἡ κατηγορία· εἰ ἀλλάξῃ τὰ ἔθη, καὶ ἕτερα ἀντεισάξει· ὅρα πῶς μικρὰ ἡ κατηγορία, καὶ κινδύνων γέμουσα.

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον Ἀγγέλου.

Οὕτως ἔστι καὶ ἐν ἐλάττονι ὄντι βαθμῷ λάμπειν· τί γὰρ, εἰπέ μοι, τῶν Ἀποστόλων οὗτος ἔλαττον ἔσχε; οὐχὶ πολλῶν ἐδεήθη· καὶ πολλὴν ἐπεδείξατο παρρησίαν· "εἶδον τὸ πρόσωπον αὐτοῦ," φησὶν, "ὡς πρόσωπον Ἀγγέλου·" τοῦτο γὰρ ἡ χάρις ἦν· τοῦτο ἡ δόξα Μωϋσέως ἦν· ἐπίχαριν αὐτὸν ἐποίησεν ὁ Θεός.

Τοῦ αὐτοῦ. "Εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον Ἀγγέλου·" ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν· ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτος ἐπὶ τῆς ψυχῆς περιέφερε· μᾶλλον δὲ καὶ πολλῷ πλέον· τὸ μὲν γὰρ Μωϋσέως αἰσθητικώτερον ἦν· τοῦτο δὲ ἀσώματον.

1 2 Εἶπε δὲ ὁ ἀρχιερεὺς, εἰ ἄρα[z] ταῦτα οὕτως ἔχει, ὁ δὲ ἔφη.

Τοῦ αὐτοῦ. Μετ' ἐπιεικείας ἡ ἐρώτησις· ἵνα τι μέγα κακὸν ἐργάσηται· διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ προσηνείας ἄρχεται τῶν ῥημάτων, καὶ φησίν· "ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου," καὶ τὰ ἑξῆς.

Τοῦ αὐτοῦ. Εὐθέως ἐκ τοῦ προοιμίου τὴν δόξαν αὐτῶν ἀναιρεῖ

[z] ἄρα om. Cod.

καὶ κατασκευάζει, δι' ὧν φησὶν, ὅτι οὐδέν ἐστιν ὁ ναὸς καὶ οὐδὲν τὰ ἔθη ἀνυπόπτως· καὶ ὅτι οὐ περιέσονται τοῦ κηρύγματος· καὶ ὅτι ἐξ ἀμηχάνων ἀεὶ ὁ Θεὸς εὐμήχανα κατεσκεύασεν· ὅρα γοῦν διὰ τούτων ὑφαινομένην τὴν δημηγορίαν, καὶ ὅτι πολλῆς ἀπολαύσαντες ἀεὶ φιλανθρωπίας, τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψαντο, καὶ ὅτι ἀδυνάτοις ἐπιχειροῦσιν.

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου.

ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. *Ἑτοιμάζεσθαι κελεύει πρὸς τὸ εὐήνιον, καὶ μονονουχὶ κατακλίνοντας τὸ ὠτίον συνιέναι λεπτῶς τῶν θείων λόγων τὴν δύναμιν.*

Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ
ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν
3 Χαρράν· καὶ εἶπε πρὸς αὐτόν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Καὶ ναὸς οὐκ ἦν, καὶ θυσία οὐκ ἦν, καὶ θείας ὄψεως ἠξίωτο Ἀβραάμ· καὶ προγόνους Πέρσας εἶχε, καὶ ἐν ἀλλοτρίᾳ γῇ ἦν· καὶ καλῶς ἀρχόμενος "τὸν Θεὸν τῆς δόξης" ἐκάλεσεν, ἐπειδὴ τοὺς ἀτίμους ἐνδόξους πεποίηκε, φησὶ, καὶ ἡμᾶς ποιήσει· ὅρα πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν· ἀπὸ τοῦ τόπου τέως· ἐπειδὴ περὶ τόπου ὁ λόγος ἦν· "ὁ Θεὸς τῆς δόξης" φησὶ πάλιν, ὅτι οὐ δεῖται τῆς παρ' ἡμῶν δόξης τῆς διὰ τοῦ ναοῦ.*

ἘΞ ἈΝΕΠΙΓΡΑΦΟΥ. *Ὥσπερ οἱ ἄλλοι Ἀπόστολοι καταδραμόντες τῶν ἄλλον λεγόντων τὸν Θεὸν τὸν κοσμοποιὸν, καὶ ἄλλον τὸν Πατέρα τοῦ Χριστοῦ Ἰησοῦ, ἕνα καὶ τὸν αὐτὸν ἐν τῇ εὐχῇ ἐσπούδαζον δεικνύναι· οὕτω καὶ ἐνταῦθα ὁ Στέφανος τοῦ αὐτοῦ μετασχὼν Πνεύματος τὰ αὐτὰ φησί· πλεῖστα γὰρ εἰπὼν περὶ τοῦ τὸν νόμον δεδωκότος καὶ τὸν κόσμον πεποιηκότος, ἐπήγαγεν, ὡς τῶν οὐρανῶν ἀνεῳγμένων, εἶδε τὸν Χριστὸν ἐκ δεξιῶν ὄντα τοῦ Θεοῦ· ὑπὲρ οὗ πάντα τὰ εἰρημένα διηγήσατο.*

Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου,
4 καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω· τότε ἐξελθὼν ἐκ γῆς
Χαλδαίων, κατῴκησεν ἐν Χαρράν· κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε[x].

[x] οἰκεῖτε Cod.

Τοῦ Χρυσοστόμου. *Δείκνυσι*[y] *πῶς οὐκ εἰσὶν οὗτοι τέκνα τοῦ Ἀβραὰμ, πῶς ἐκεῖνος πειθήνιος ἦν, καὶ ἐκ τῆς συγγενείας σου φησίν· ἀμφότερα φορτικά· καὶ ὅτι ἐκεῖνος μὲν τοὺς πόνους ὑπέμεινεν, ὑμεῖς δὲ τοὺς καρποὺς δρέπεσθε· καὶ ὅτι πάντες οἱ πρόγονοι ἐν κακουχίᾳ.*

Ὠριγένους. *Λεκτέον ὅτι οἱ ἀπὸ τῶν ἐθνῶν πιστεύοντες, καὶ ἔσθ' ὅτε διὰ τὸν λόγον ἀλλοτριούμενοι τῆς ἑαυτῶν γῆς καὶ τῆς συγγενείας καὶ τοῦ οἴκου τοῦ πατρὸς, υἱοὶ εἰσὶν Ἀβραὰμ, τοῦ ταῦτα ἀκούσαντος καὶ ποιήσαντος.*

Κυρίλλου. *Ἄθρει δὴ οὖν ὅτι τοῖς ὁλοσχερῶς τὲ καὶ ὁλοτρόπως ἀκολουθοῦσι Θεῷ, καὶ τῆς εἰς αὐτὸν ἐλπίδος πεποιημένοις δεύτερα τὰ σαρκὸς καὶ φιληδονίαν κοσμικὴν, ἕψεται πάντως τοῖς τοιούτοις τὸ εὐλογίας τῆς ἄνωθεν πλουσίως μεταλαχεῖν.*

Παντὶ τῷ ἀναγινώσκοντι φανερόν ἐστιν, ὡς τῷ Σωτῆρι καὶ δι' αὐτοῦ τῷ Πατρὶ, ὥσπερ οἱ Ἀπόστολοι, καὶ ὁ Στέφανος ἐπανεῖχε· διὸ ἡγητέον λέγοντα αὐτὸν τὸν πατέρα Ἀβραὰμ προσεληλυθέναι τῷ Θεῷ τῆς δόξης, μὴ ἄλλον εἰδέναι Θεὸν, ἢ τὸν ὠφθέντα τῷ Ἀβραάμ· ὅθεν αἱρετικοὺς ὑποληπτέον εἶναι τοὺς διακόπτοντας τὸν κοσμοποιὸν ἀπὸ Πατρὸς Ἰησοῦ· πλεῖστα γὰρ ὁ προκείμενος ἀνὴρ εἰπὼν ἐν τῇ πρὸς Ἰουδαίους ἀπολογίᾳ περὶ τοῦ τὸν νόμον δεδωκότος καὶ τὸν κόσμον πεποιηκότος, ἐπήγαγεν ὡς τῶν οὐρανῶν ἀνεωγμένων εἶδε τὸν Χριστὸν ἐκ δεξιῶν ὄντα τοῦ Θεοῦ· ὑπὲρ οὗ πάντα τὰ εἰρημένα διηγήσατο.

5 Καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός· καὶ ἐπηγγείλατο δοῦναι αὐτῷ εἰς κατάσχεσιν αὐτὴν, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέκνου.

Τοῦ Χρυσοστόμου. *Ὅρα πῶς αὐτοὺς ἀπὸ τῆς γῆς ἀνάγει· οὐ γὰρ εἶπε δώσει δηλονότι καὶ οὐδὲν παρ' αὐτὸν, ἦλθε γὰρ καὶ συγγένειαν ἀφεὶς καὶ πατρίδα· διατί οὖν οὐκ ἔδωκεν; ἄρα τύπος ἦν ἑτέρας γῆς, καὶ ἐπηγγείλατο δοῦναι αὐτήν· ὅρα ὅτι οὐχ ἁπλῶς πάλιν τὸν λόγον ἀναλαμβάνει· οὐκ ἔδωκε, καὶ ἐπηγγείλατο καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέκνου· πάλιν τὸ*

[y] δίκνυσι Cod.

δυνατὸν τοῦ Θεοῦ τὸ ἐξ ἀμηχάνων πάντα ποιεῖν· τὸν ἐν Περσίδι καὶ τοσοῦτον ἀπέχοντα, τοῦτον ἔφησε κύριον τῆς Παλαιστίνης ποιήσειν. δείκνυσιν ἐνταῦθα τὴν ἐπαγγελίαν πρὸ τοῦ τόπου γεγενημένην· πρὸ τῆς περιτομῆς· πρὸ θυσίας· πρὸ τοῦ ναοῦ· καὶ οὐκ ἀξίαν οὗτοι ἔλαβον οὐδὲ περιτομὴν, οὐδὲ νόμον, ἀλλὰ τῆς ὑπακοῆς μόνον μισθὸς ἦν ἡ γῆ· καὶ οὐδὲ τῆς περιτομῆς δοθείσης ἡ ἐπαγγελία πληροῦται· καὶ ὅτι τύποι ἦσαν· καὶ τὸ τὴν πατρίδα ἀφεῖναι τοῦ Θεοῦ κελεύοντος, οὐ παρὰ τὸν νόμον· ἐκείνη γὰρ πατρὶς ἔνθα ἂν ἡγεῖται Θεός· καὶ ἐξῆλθε, φησὶν, ἐκ γῆς Χαλδαίων· καὶ ὅτι εἴτις ἀκριβῶς ἐξετάσοι, Πέρσαι εἰσὶν οἱ Ἰουδαῖοι· καὶ ὅτι καὶ χωρὶς σημείων πείθεσθαι χρὴ τῷ Θεῷ λέγοντι, κἂν δεινά τινα συμβαίνῃ· ἐπεὶ καὶ ὁ Πατριάρχης, καὶ τὸν τάφον καταλιπὼν τὸν πατρῷον καὶ πάντα, ἐπείθετο τῷ Θεῷ· καὶ ὑπέσχετο, φησὶ, δοῦναι αὐτὴν αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν· πολλὴ ἐνταῦθα τοῦ Κυρίου ἡ φιλανθρωπία δείκνυται, καὶ ἡ τοῦ Ἀβραὰμ πίστις· καίτοι γὰρ οὐκ ὄντος αὐτῷ τέκνου δείκνυσι διὰ τὴν ὑπακοὴν καὶ τὴν πίστιν· καίτοιγε τὰ γενόμενα τοὐναντίον ἐδείκνυ· οἷον μετὰ τὸ ἐλθεῖν οὐκ ἔσχε βῆμα ποδός· παῖδα οὐκ εἶχεν· ἅπερ ἐναντία ἦν τῇ πίστει· ταῦτα ἑωρακότες καὶ ἡμεῖς, ἅπερ ἐπαγγέλλεται Θεὸς, δεχόμεθα, κἂν ἐναντία ᾖ τὰ γινόμενα. καίτοι γε ἐφ' ἡμῶν οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα ἀκόλουθα· ἔνθα μὲν γὰρ ἂν ὦσιν αἱ ὑποσχέσεις, ὅταν τἀναντία γένηται, ἐναντία ἐστὶν, οὕτως· ἐφ' ἡμῖν δὲ τοὐναντίον· ἐνταῦθα μὲν θλίψιν εἶπεν, ἐκεῖ δὲ ἄνεσιν.

Ἐξ ἈΝΕΠΙΓΡΆΦΟΥ. Διὰ τοῦτο οὐκ ἔδωκεν, ἐπειδὴ εἰς κατάσχεσιν αὐτὴν αὐτῷ δώσειν ἐπηγγείλατο· ὁ δὲ πάροικος καὶ παρεπίδημος καὶ μετ' ὀλίγον ἀναλύειν μέλλων, πῶς κατέχειν ἠδύνατο· σώζεται ἄρα ἡ κληρονομία τῷ Ἀβραὰμ διὰ τοῦ σπέρματος αὐτοῦ, ὅ ἐστι Χριστός· ὅτε δὲ καὶ συμβασιλεύσωσιν αὐτῷ οἱ ἅγιοι κατὰ τὸ γεγραμμένον, "ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ," πάντων τῶν ἐθνῶν βασιλεὺς ὤν.

6 Ἐλάλησε δὲ ὁ Θεὸς οὕτως· ὅτι ἔσται τὸ σπέρμα σου
πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ
7 κακώσουσιν, ἔτη τετρακόσια. καὶ τὸ ἔθνος, ᾧ ἂν δουλεύ-

σωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ Θεός· καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

Τοῦ Χρυσοστόμου. Ὅρα πρὸ πόσων ἐτῶν ἡ ἐπαγγελία, καὶ ὁ τῆς ἐπαγγελίας τρόπος· καὶ οὐδαμοῦ περιτομή· οὐδαμοῦ θυσία· ἐνταῦθα δείκνυσι πῶς αὐτοὺς ἠφίει κακῶς πάσχειν, καίτοι οὐδὲν ἔχων αὐτοῖς ἐγκαλεῖν· ἀλλ' ὅμως οὐκ ἀτιμωρητὶ ταῦτα ἐποιοῦν. Καὶ μετ' ὀλίγα—Ἵνα γὰρ μὴ τούτων νομίσωσιν εὐσεβεῖς εἶναι· διὰ τὸ λέγειν, "πέποιθεν ἐπὶ Κυρίου, ῥυσάσθω αὐτὸν," ὁ ἐπαγγειλάμενος, ὁ δοὺς τὴν γῆν, πρότερον τὰ κακὰ συγχωρεῖ· οὕτω καὶ νῦν· εἰ καὶ βασιλείαν ἐπηγγείλατο, ἀλλά φησιν, ἐγγυμνάζεσθε πειρασμοῖς· εἰ ἐνταῦθα μετὰ τετρακόσια ἔτη ἐλευθερία, τί θαυμαστὸν ἐπὶ τῆς βασιλείας; καὶ ὅμως ἐποίησε, καὶ οὐκ ἴσχυσεν ὁ χρόνος εἰς ψεῦδος ἐμβαλεῖν τὸν λόγον· καὶ οὐ τὴν τυχοῦσαν δουλείαν ὑπέμειναν· οὐδὲ μέχρι τῆς τιμωρίας τῆς ἐκείνων, ἀλλὰ καὶ αὐτοὶ ἐν τιμωρίᾳ ἔσονται, φησὶ, μεγίστῃ· ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει τῆς εὐεργεσίας, ἧς ἔτυχον.

Εὐσεβίου. Διατί δὲ περισσὰ λέγει ἔτη ὁ Ἀπόστολος λ'; τάτε πρὸ τῆς διαθήκης ἣν ἐποιήσατο[a] τῷ Ἀβραὰμ, καὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἐν τῇ ἐρήμῳ μέχρι τῆς τοῦ νόμου δόσεως.

Οὐ μάχεται τοῖς ἐνταῦθα τὰ ἐν τῇ Ἐξόδῳ γεγραμμένα· ἐκεῖ γὰρ εἴρηται, "μετὰ τετρακόσια τριάκοντα ἔτη ἐξῆλθεν ἡ δύναμις "Κυρίου ἐκ γῆς Αἰγύπτου" ἐνταῦθα δὲ μετὰ υ' φησί· ἀλλ' ἐπιστῆσαι δεῖ, ὅτι οὐκ ἐρρήθη, ὡς πληρωθέντων τῶν υ' ἐτῶν ἐξῆλθον, ἀλλὰ μετὰ υ' ἔτη· ὅπερ ἐμφαίνει καὶ τὰ λ'.

Ἀβραὰμ ἀπὸ ο' ἔτους ἕως ρ' ἔτους, ἔτη κε'· Ἰσαὰκ ἔτη ξ'· Ἰακὼβ ἔτη ϛθ'· Ἰωσὴφ ἔτη ρι'· ἐν Αἰγύπτῳ ἔτη ρμδ'· ὁμοῦ ἔτη υλ'· φησὶ δὲ, "καὶ κακώσουσιν αὐτὸ ἔτη υ', καὶ μετὰ ταῦτα ἐξε"λεύσονται καὶ λατρεύσουσί μοι" τοῦ μετὰ ταῦτα ἐν τοῖς λ' ἔτεσι σημαινομένου.

8 Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησε τὸν Ἰσαὰκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ·

[a] ω̃ Cod.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ πρὸς Εὐπράξιον Κουβικουλάριον ἀποκρίσεως. *Καὶ τοῦτο γὰρ πυνθάνῃ, τίνος ἕνεκεν περιτέμνεσθαι τὴν ἀκροβυστίαν τοῖς πατράσιν ἐνομοθέτητο· καὶ πρόχειρον μὲν τινὲς αἰτίαν ταύτην ἀποδεδώκασι· ἐπειδὴ, φησὶν, ὁ Ἀβραὰμ ἐκ τῆς Χαλδαίων ἀπῆρε· Χαλδαίοις δὲ ἐπετέτραπτο κατὰ τὰ πάτρια σφῶν ἤθη, καθὰ δὴ Μήδοις καὶ Πέρσαις, μητράσι καὶ ἀδελφαῖς ἐπιμίγνυσθαι· ταύτης ἕνεκα τῆς αἰτίας περιτέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας, τῇ οἰκειότητι τῆς σαρκὸς ἀποταττόμενος, καὶ τοὺς τῆς συγγενείας ἀθεμίτους ἀρνούμενος γάμους.* Καὶ *μετ' ὀλίγα*—*Ἄλλοι δὲ, φησὶ, διὰ τοῦτο προστέταχθαι τῷ Ἀβραὰμ καὶ τοῖς ἐξ αὐτοῦ τὴν περιτομὴν, ἵνα δῆλον εἴη, ὡς ἐξ αὐτῶν ἔσται ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν.*

Καὶ ὁ Ἰσαὰκ τὸν Ἰακὼβ καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.

Τοῦ αὐτοῦ. *Γινώσκομεν γὰρ ὡς ἡ ἐν σαρκὶ περιτομὴ τυπικῶς γενομένη, τὸ παλαιὸν εἰκόνα ἐπεῖχε τοῦ σωτηρίου βαπτίσματος· διὰ τῆς ἀποβολῆς τῆς ἀκροβυστίας τὴν ἄρνησιν δηλοῦσα τῆς κατὰ σάρκα γεννήσεως, καὶ υἱοὺς ποιοῦσα τοὺς περιτεμνομένους Θεοῦ.*

Τοῦ αὐτοῦ. *Ἐν πρώτοις ὁ Ἰσαὰκ τῇ ὀγδόῃ περιτέμνεται ἡμέρᾳ, ὅθεν καὶ οἱ Ἰουδαῖοι· ὁ δὲ Ἰσμαὴλ δεκατριῶν ἐνιαυτῶν ὑπάρχων· διὰ τοῦτο καὶ οἱ ἐξ αὐτοῦ Ἰσμαηλῖται οὕτω περιτέμνονται, ὡς Ἰώσηπος φησί.*

9 **Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον.**

Τοῦ αὐτοῦ. *Πάλιν ἐνταῦθα τύπος τοῦ Χριστοῦ· οὐδὲν ἔχοντες ἐγκαλεῖν, ἀλλ' ἐλθόντα ἐπὶ τροφὴν τὴν αὐτῶν κακῶς διέθηκαν· ὅμως καὶ ἐνταῦθα πάλιν ἐπαγγελία μακρὰ καὶ τέλος λαμβάνει.*

Σευηριανοῦ[b] ἐπισκόπου Γαβάλων. *Ἀλλ' ἐπλήρωσε τοῦ Χριστοῦ τὴν εἰκόνα τῆς πράσεως Ἰωσὴφ, ὁ πραθεὶς ὑπὸ τῶν ἀδελφῶν διὰ τὰ ἐνύπνια· ᾧτινι προκατεσκεύασεν ὁ φθόνος· ἡ γὰρ ἐπιβουλὴ τῶν ἐπιβουλευσάντων ὁδὸς προκοπῆς ἐγένετο τῷ φθονουμένῳ· εἰ μὴ γὰρ ἐπράθη, οὐκ ἂν ἦλθεν εἰς Αἴγυπτον· οὐκ ἂν τῇ γυναικὶ*

[b] Σευήρου Cod.

τοὺς ὑπὲρ σωφροσύνης ἀγῶνας ἐπεδείξατο· εἰ μὴ τοὺς ὑπὲρ τῆς σωφροσύνης ἀνεδέξατο στεφάνους, οὐκ ἂν ᾤκησε τὴν φυλακήν· οὐκ ἂν ἑρμηνευτὴς ἐγένετο ἐνυπνίων· οὐδ' ἂν ἄρχων Αἰγύπτου ἐχρημάτισεν.

Καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ·

Ἰωάννου. *Τοῦτο καὶ ὑπὲρ ἑαυτῶν.*

10 Καὶ ἐξείλατο αὐτὸν ἐκ πάσων τῶν θλίψεων αὐτοῦ·

Ἰωάννου. *Δείκνυσιν ὅτι οὐκ εἰδότες συνέπραττον τῇ προφητείᾳ· καὶ ὅτι αὐτοὶ αἴτιοι ἐγένοντο, καὶ τὰ κακὰ εἰς αὐτοὺς περιετρέπετο.*

Καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

Χάριν καὶ σοφίαν ἔδωκεν αὐτῷ ἐπὶ βαρβάρου ἀνδρός· τῷ δούλῳ, τῷ αἰχμαλώτῳ οἱ ἀδελφοὶ ἀπέδοντο· ἐκεῖνος δὲ ἐτίμησεν.

Σευήρου Ἀντιοχείας ἀπὸ Λόγου ρθ. *Καὶ Αἰγύπτου μὲν ἡγεμονίαν τῆς συνέσεως ἆθλον δεξάμενος, τὸν δὲ ὁμόφυλον αὐτῷ δῆμον τὸν Ἰσραὴλ ὑπερόριον ἐκεῖ μεταστάντα λιμοῦ φυγάδα πλουσίως ἐκθρέψας, καὶ οἷα δὴ πολίτην τὸν ξένον, καὶ πάλιν προαγορεύσας αὐτῷ τὴν ἐπὶ τὴν γῆν πατρῴαν ἐπάνοδον.*

* Τὰ περὶ τῆς τοῦ λιμοῦ[c] πυρωνίας καὶ ἀναγνωρισμοῦ υἱῶν Ἰακὼβ, καὶ περὶ γενέσεως Μωϋσέως[d] καὶ τῆς[e] πρὸς αὐτὸν θεοφανίας ἐν ὄρη Σινᾶ.

11 Ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χα-
ναὰν, καὶ θλίψις μεγάλη· καὶ οὐχ ηὕρισκον χορτάσματα
12 οἱ πατέρες ἡμῶν. ἀκούσας δὲ Ἰακὼβ ὄντα σιτεῖα ἐν Αἰ-
13 γύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον· καὶ ἐν
τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ·

Ἰωάννου. *Κατῆλθον ὠνησόμενοι, καὶ ἐκείνου ἐν χρείᾳ κατέστησαν· τί οὖν αὐτὸς οὐ μέχρι τούτου τὴν φιλανθρωπίαν ἐπεδείξατο, ἀλλὰ καὶ τῷ Φαραὼ ἐγνώρισε καὶ αὐτοὺς κατήγαγε;* Καὶ μετ' ὀλίγα—*Εἶτα πάλιν ἄλλη ἀνελπιστία· πρῶτον λιμὸς,*

[c] *περὶ τῆς λιμοῦ καὶ πυρωνίας* Œcum. [d] Μωϋσέως om. Cod.
[e] *γενομένης πρὸς αὐτ.* Œcum.

ἀλλὰ διεσώθησαν· δεύτερον τὸ εἰς χεῖρας ἐμπεσεῖν τοῦ ἐχθροῦ· τρίτον τὸ ἀπόλεσθαι ὑπὸ τοῦ βασιλέως· εἶτα τὸ εὐμήχανον τοῦ Θεοῦ.

14 Καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.
ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ,
καὶ πᾶσαν τὴν συγγένειαν, ἐν ἑβδομήκοντα πέντε ψυ-
χαῖς.

Ἐχάρη δὲ Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ· ἐπείπερ ἔγνω ἐξ ἐλευθέρου γένους κατάγεσθαι τὸν Ἰωσήφ· καὶ γὰρ ἦν ἀληθῶς χαρᾶς ἄξιον τὸ γνῶναι ὅτι οὐ δοῦλος αὐτῶν ἐβασίλευσεν, ἀλλ' εὐγενὴς ἐξ εὐγενῶν.

15 Καὶ κατέβη Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν
16 αὐτὸς καὶ οἱ πατέρες ἡμῶν· καὶ μετετέθησαν εἰς Συχέμ,
καὶ ἐτέθησαν ἐν τῷ μνήματι ᾧ ὠνήσατο Ἀβραὰμ τιμῆς
ἀργυρίου, παρὰ τῶν υἱῶν Ἐμμὼρ ἐν Συχέμ.

Σημειωτέον ὅτι εἰς Συχὲμ ἐτάφησαν οἱ περὶ τὸν Ἀβραὰμ καὶ οἱ πατριάρχαι· ἥτις ἐκαλεῖτο τάχα Σίκιμα· αὐτὴν γὰρ ὠνήσατο παρὰ Ἐμμὼρ ὁ Ἀβραάμ, ἵνα θάψῃ ἐκεῖ Σάρραν.

17 Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὡμο-
λόγησεν ὁ Θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπλη-
18 θύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος ἐπ'
Αἴγυπτον ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ.

Τοῦ Χρυσοστόμου. Ὅρα ὅτι οὐδὲ ἐν τοῖς τετρακοσίοις ἔτεσιν αὐτοὺς αὔξει, ἀλλ' ὅτε ἔμελλεν ἐγγίζειν τὸ τέλος· καίτοι ἤδη τετρακόσια ἦν ἔτη παρελθόντα καὶ πλείονα ἐν Αἰγύπτῳ· τὸ δὲ θαυμαστὸν τοῦτό ἐστιν.

19 Οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι.

Τοῦ Χρυσοστόμου. Πανουργοῖς γὰρ ἐπινοίαις αὐτῶν περιγενέσθαι ἐβουλεύσατο· σοφισμὸς γάρ ἐστι βεβιασμένη ἐξήγησις· διὸ ὧδε ἡ ἔμφασις λέγει, βιαίως ἐπιθέσθαι αὐτοῖς· ὅθεν καὶ σοφιστὰς καλεῖ τοὺς γόητας, ὡς τὸ ἀληθὲς δι' ἀπάτης καὶ σοφισμοῖς κρύπτοντας.

20 **Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ· ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.**

Τοῦ αὐτοῦ. Τοῦτο τὸ θαυμαστὸν, ὅτι ὁ προστάτης μέλλων ἔσεσθαι, οὐδὲ μετὰ ταῦτα οὐδὲ πρὸ τούτου ἀλλ' ἐν αὐτῷ μέσῳ τῷ θυμῷ τίκτεται· καὶ "ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πα- "τρός·" ἀλλ' ὅτε τὰ ἀνθρώπινα ἀπηλπίσθη, καὶ ἀπέρριψαν αὐτὸν, τότε τοῦ Θεοῦ ἡ εὐεργεσία ἐδείκνυτο λάμπουσα. Καὶ μετ' ὀλίγα— Εἰ ἐκεῖνο θαυμαστὸν ὅτι ὑπὸ ἀδελφῶν ἐπράθη, ἐνταῦθα πάλιν ἄλλο θαυμασιώτερον, ὅτι βασιλεὺς ἔτρεφεν αὐτὸν τὸν μέλλοντα καθαιρεῖν αὐτοῦ τὴν ἀρχὴν, αὐτὸς ὁ μέλλων ἀπόλλυσθαι· ὁρᾷς πανταχοῦ τῶν νεκρῶν σχεδὸν διατυπουμένην τὴν ἀνάστασιν. καίτοι οὐκ ἔστιν ἴσον, αὐτόν τι τὸν Θεὸν ποιεῖν, καὶ μετὰ προαιρέσεως ἀνθρωπίνης γίνεσθαι· ταῦτα γὰρ μετὰ προαιρέσεως ἀνθρωπίνης ἦν, ἡ δὲ ἀνάστασις καθ' ἑαυτήν.

Εὐσεβίου Ἐμίσης. Ἐγέννησαν οἱ γονεῖς· εἶδον ὅτι καλὸν, προήνθει γὰρ ἡ χάρις· θεασάμενοι δὲ ὅτι καλὸν, ἐφείδοντο· φοβούμενοι δὲ, τὸ πρόσταγμα ἔκρυψαν· κρύψαντες δὲ, ἐνικήθησαν, καὶ ὥρμησαν ῥίψαι διὰ τὸν φόβον· σοφίζονται δὲ τὸ πρᾶγμα διὰ τὰ σπλάγχνα· καὶ κιβωτὸν ποιησάμενοι πρὸς μίμησιν τῆς γενομένης ἐπὶ Νῶε, καὶ τὸν Θεὸν τοῦ Νῶε ἐπικαλεσάμενοι, ῥίπτουσι τὸν παῖδα ἐν τῷ ποταμῷ διὰ τῆς κιβωτοῦ· ἵνα καὶ δοκῶσι πείθεσθαι τῷ προστάγματι, καὶ ἀσφαλίσωνται τὸν παῖδα. Καὶ οἱ μὲν ῥίπτουσιν· ὁ δὲ παρακελεύεται τῇ ἀγνοούσῃ θυγατρὶ Φαραὼ ἐξελθεῖν ἐπὶ τὸν ποταμόν· ἐξῆλθεν ἀγνοοῦσα· εὗρεν ὃν οὐκ ἐζήτει. Καὶ μετ' ὀλίγα—Καὶ ἐσώθη Μωϋσῆς διὰ συμβόλων τῆς κοινῆς σωτηρίας τῆς Ἐκκλησίας· ἡ γὰρ κιβωτὸς ἀπὸ ξύλου ἦν· καὶ ξύλον ἀπὸ ὕδατος, καὶ σωτηρία τῷ ἀπαγορευθέντι· καὶ ἡ ἀναλαβοῦσα οὐκ Ἰουδαία, ἀλλ' ἐξ ἐθνῶν καὶ Αἰγυπτία. Καὶ πάλιν—Ἐγένετο δὲ πάντα, ἵνα μηδὲν τῶν κατὰ Μωϋσέα νομισθῇ ἀνθρώπινον· τίνος γὰρ ἦν εἰπεῖν ὅτι αὐτῶν ἦν Μωϋσῆς· οἱ γονεῖς; ἀλλ' ἔρριψαν[c] οἱ Αἰγύπτιοι; ἀλλ' οὐκ ἐγέννησαν· ἡ μητὴρ ὅτι ἔθρεψεν; ἀλλ' ἄλλη ἔδωκε μισθούς. οὐκοῦν ἐπειδὴ οὐχ εὑρίσκεται ἀνθρώπων, ἄνθρωπος Θεοῦ· οὕτως γεννηθεὶς καὶ σωθεὶς παιδεύεται τὰ Αἰ-

[c] ἔριψαν Cod.

γυπτίων· σοφὸς γὰρ ἦν ὁ παιδεύων· καὶ γὰρ ἐν τοῖς πολέμοις πέμπονται οἱ κατασκοποῦντες, ἵνα πρῶτον γνωσθῇ τῶν ἀντικειμένων τὰ ἐνθυμήματα, καὶ οὕτως καταρχὴ γένηται τῆς μάχης· ἐπεὶ οὖν ἤμελλε κατ' Αἰγυπτίων καθοπλίζεσθαι Μωϋσῆς, εὐσεβῶς ὑπεβλήθη τοῖς Αἰγυπτίοις, ἵνα τὰ Αἰγυπτίων κατασκοπήσῃ, καὶ Θεὸν ἀνθρώπων προτιμήσῃ.

21 Ἐκτεθέντος δὲ αὐτοῦ, ἀνείλετο αὐτὸν ἡ θυγάτηρ
Φαραώ·

Τοῦ Χρυσοστόμου. Οὐδαμοῦ ναὸς, οὐδαμοῦ θυσία, τοσούτων οἰκονομιῶν γενομένων· καὶ ἀνετράφη ἐν οἴκῳ βαρβαρικῷ.

Καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

Τοῦ αὐτοῦ. Καὶ παιδεία καὶ γράμματα· τεσσαράκοντα ἔτη ἦν ἐκεῖ· καὶ οὐκ ἑάλω ἐκ τῆς περιτομῆς· ὅρα πῶς ἐν ἀσφαλείᾳ ὄντες τὰ αὐτῶν παρορῶσι· καὶ οὕτως καὶ Ἰωσήφ· ἵν' ἑτέρους σώσωσιν.

Ἀμμωνίου. Οὔτε Μωϋσῆς οὔτε οἱ περὶ Ἀνανίαν καὶ Δανιὴλ ἔμαθον ἂν τὴν ξένην παιδείαν, εἰ μὴ ἀνάγκῃ καὶ βίᾳ δεσποτῶν. καὶ γὰρ ἐν οὐδενὶ αὐτῇ κέχρηνται· εἰ μή που εἴποι τις, ὅτι καλὸν μαθεῖν πρὸς τὸ[d] ἀνατρέψαι τὰς ἐκείνων ἀπάτας.

Διδύμου. Ἐκ τοῦ προκειμένου φανεροῦται, ὡς οὐκ ἀποβλητέα πάντη ἐστὶν ἡ τῶν ἔξωθεν τῆς γραφῆς παίδευσις· τρόπῳ γὰρ ἐγκωμίου εἴρηται, ὡς "ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων·" καὶ περὶ Δανιὴλ καὶ τῶν σὺν αὐτῷ Ἑβραίων, ὡς ὑπερέβαλον πάντας ἐν τῇ Χαλδαίων φιλοσοφίᾳ καὶ ταῖς συγγένεσιν ἐπιστήμαις. ὅρα δὲ τούτων λεγομένων, πῶς δεῖ προσέρχεσθαι τοῖς ἄλλοις λογικοῖς· δεῖ γὰρ ἐπ' ὀλίγοις αὐτοῖς προσέχειν τῇ θεοπνεύστῳ γραφῇ ἐμμένοντας· τὸ γὰρ "μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν," οὐ περὶ γυναικὸς συνοικούσης ἀνδρὶ, ἀλλὰ τοιαύτης σοφίας εἴρηται· ἀλλοτρίᾳ γὰρ γυναικὶ, οὐδὲ κατὰ πόσον προσέρχεσθαι, ἀβλαβές.

22 Καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· ἦν
23 δὲ δυνατὸς ἐν λόγοις καὶ ἔργοις αὐτοῦ. ὡς δὲ ἐπλη-
ροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος·

Τοῦ ἁγίου Κυρίλλου. Τοιγάρτοι καὶ ἔφασκεν ὁ Χριστὸς, "οὐκ

[d] τῷ Cod.

" ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·" αὐτῶν γὰρ αἱ ἐπαγγελίαι· αὐτῶν οἱ πατέρες.

Τοῦ αὐτοῦ. *Ἢ γὰρ οὐχὶ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, τουτέστιν ἄνθρωπον μονονουχὶ ἐκβεβηκέναι δώσωμεν· ἔξω τε γενέσθαι τῆς θεοπρεποῦς εὐκλείας ἐροῦμεν· εἴπερ ἐστιν ἀληθὲς, ὅτι πλούσιος ὢν ἐπτώχευσε, καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν.*

Ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ, ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

Σχόλιον. *Ἀδελφοὺς καλεῖ αὐτοὺς, οὐ διὰ τὴν σάρκα τοσοῦτον ὅσον διὰ τὴν διάθεσιν εἰς αὐτόν.*

24 Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο καὶ ἐποιήσατο
ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον·
25 ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ Θεὸς
διὰ χειρὸς αὐτοῦ δίδωσι σωτηρίαν αὐτοῖς· οἱ δὲ οὐ
συνῆκαν.

Κλήμεντος Στρωματέως. *Φασὶ δὲ οἱ μύσται λόγῳ μόνῳ ἀνελεῖν τὸν Αἰγύπτιον, ὥσπερ ἀμέλει ὕστερον ἐν ταῖς Πράξεσι φέρεται, τοὺς νοσφισαμένους τῆς τιμῆς τοῦ χωρίου καὶ ψευσαμένους, λόγῳ ἀποκτεῖναι.*

26 Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ
συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών.

Εὐσεβίου ἐπισκόπου Ἐμίσης. *Εὗρε δὲ οὐχ ὃ ἐζήτει, ἀλλ' ἀδελφὸν πρὸς ἀδελφόν· παρήει μέσος, οὐκέτι τὸν ζῆλον κινῶν, ἀλλὰ νουθεσίαν προεβάλλετο· μὴ ἀδίκει, φησὶν, ἀδελφός ἐστιν ὃν ἀδικεῖς· προεβάλλετο τὴν προσηγορίαν, ἵνα δυσωπήσῃ τὴν προσηγορίαν.*

Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς· ἱνατί ἀδικεῖτε ἀλλήλους;

Τοῦ αὐτοῦ. *Ἀνεῖλε Μωϋσῆς, οὐ θυμῷ εἴξας οὐδὲ ὀργῇ νικηθεὶς, ζηλῷ δέ· πᾶν δὲ ὃ ἂν γένηται εἰς λόγον Θεοῦ, εὐσέβεια· κἂν φόνος ᾖ διὰ Θεὸν, οὐκ ἔστι φόνος. ὁ γοῦν Φινεὲς δύο ἐν μιᾷ χειρὶ φονεύσας, ἤκουσεν, ἀνέστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ*

θραῦσις· διάφορος γὰρ ἡ προαίρεσις φονέως καὶ εὐσεβοῦντος· καὶ τὸ πρᾶγμα τὸ γενόμενον διὰ τοῦ Φινεὲς ἱερωσύνη μᾶλλον ἢ φόνος· τοσοῦτον γὰρ ἴσχυσεν ὁ διπλοῦς οὗτος φόνος, ὅτι τοῦ θανάτου ἐπινεμημένου τὸν Ἰσραὴλ δι' ἀσέβειαν, ὅπερ ἴσχυσε τὸ θυμιατήριον τοῦ πατρὸς Ἀαρὼν, τοσοῦτον ἴσχυσε φόνος, μᾶλλον δὲ ἡ εὐσέβεια. Καὶ μετ' ὀλίγα—*Ἃ δὲ ἐποίει, αἴνιγμα ἦν, ἀγνοουμένων πραγμάτων· τὸ γὰρ γενόμενον τοῦτο σημεῖον ἦν, ὅτι μέλλει ὁ Θεὸς διὰ Μωσέως Αἰγυπτίους ἀποκτενεῖν, τοὺς δὲ λεγομένους Ἰσραηλίτας σώζειν.*

27 Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπὼν,
28 τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν; μὴ
ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰ-
γύπτιον;

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Πάλιν περὶ τὸν εὐεργέτην ἀγνώμονας δείκνυσι· καθάπερ γὰρ τότε ὑπὸ τοῦ κακῶς παθόντος Ἰωσὴφ ἐσώθησαν, οὕτω καὶ νῦν ὑπὸ τοῦ κακῶς παθόντος ἐσώθησαν, Μωϋσέως λέγω· τί γὰρ εἰ μὴ ἀνεῖλεν αὐτὸν τῷ πράγματι; τῷ λόγῳ ἀνεῖλεν· ὥσπερ κἀκεῖνοι· κἀκεῖνοι μὲν ἐκ τῆς γῆς αὐτῶν εἰς ἀλλοτρίαν ἀπέδοντο· οὗτοι δὲ ἐκ τῆς ἀλλοτρίας εἰς ἀλλοτρίαν φυγαδεύουσι· κἀκεῖ μὲν τροφὴν ἀποφέρονται, ἐνταῦθα δὲ συμβουλεύοντα δι' ὃν ἔζη μετὰ Θεόν. Ὅρα πῶς δείκνυσιν ἐκεῖνο τὸ ὑπὸ τοῦ Γαμαλιὴλ εἰρημένον· ὅτι "ἐὰν ᾖ ἐκ Θεοῦ, οὐ δυνήσεσθε καταλῦσαι αὐτό." Ὅρα τοὺς ἐπιβουλευομένους τῶν ἐπιβουλευόντων αἰτίους σωτηρίας γινομένους· τὸν λαὸν ἑαυτῷ ἐπιβουλεύοντα, καὶ παρὰ τῶν ἄλλων ἐπιβουλευόμενον, καὶ οὕτω σωζόμενον. λιμὸς οὐκ ἀνάλωσεν αὐτούς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ δι' ἐκείνου ἐσώθησαν τοῦ προσδοκηθέντος ἀπόλλυσθαι· πρόσταγμα βασιλικόν· καὶ οὐκ ἀνάλωσεν αὐτοὺς, ἀλλὰ τότε μᾶλλον καὶ ηὔξανε τὸ πλῆθος, ὅτε ἐκεῖνος ἀπέθανεν ὁ εἰδὼς αὐτούς· τὸν Σωτῆρα αὐτὸν ἠβουλήθησαν ἀνελεῖν, καὶ οὐδὲ οὕτως ἴσχυσαν. Ὁρᾷς ὅτι δι' ὧν ὁ διάβολος ἐπεχείρει καταλύειν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, διὰ τούτων ηὔξετο.* Καὶ μεθ' ἕτερα—*Ὅρα τὰ αὐτὰ ῥήματα, ἃ πρὸς τὸν Χριστὸν ἔλεγον. "τίς σε κατέστησεν ἄρχοντα "καὶ δικαστὴν ἐφ' ἡμᾶς;" οὕτως ἔθος Ἰουδαίοις ἀδικεῖν εὐεργετουμένοις.*

Κυρίλλου Ἀλεξανδρείας. Ἐνεκαλεῖτο μὲν ὁ θεσπέσιος Μωϋσῆς ὡς ἀνελὼν τὸν Αἰγύπτιον, καίτοι θλίβοντα καὶ ἐγκείμενον· καταχωννύων δὲ ὥσπερ εἰς ἄβυσσον ὁ Χριστὸς τὰ πονηρὰ δαιμόνια, καὶ τῆς καθ' ἡμῶν τυραννίδος καὶ οὐχ ἑκόντα μεθιστὰς, διὰ τούτων ἐχόντων ἐκπέμπειν αὐτὰ, καίτοι δέον ἐπὶ τούτῳ θαυμάζεσθαι, ἔφασκον, " οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν " Βεελζεβοὺλ ἄρχοντα τῶν δαιμόνων."

29 Ἔφυγε δὲ Μωσῆς ἐν τῷ λόγῳ τούτῳ.

Τοῦ Χρυσοστόμου. Ἀλλ' οὐδὲ ἡ φυγὴ ἔσβεσε τὴν οἰκονομίαν· ὥσπερ οὖν οὐδὲ ὁ θάνατος.

Εὐσεβίου. Μηδεὶς ἡμῶν ἔστω φίλος τῶν τοῦ Θεοῦ ἐχθρῶν· ὅσον γάρ τις ἀγαπᾷ τὸν Θεὸν, τοσοῦτον μισεῖ τοὺς ἀντικειμένους Θεῷ.

Καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιὰμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

Τοῦ ἁγίου Κυρίλλου. Μετακεχώρηκεν τοίνυν ἐκ τῆς Αἰγυπτίων εἰς Μαδιὰμ ὁ Μωϋσῆς· ἐν ἴσῳ δὲ τρόπῳ καὶ ὁ Χριστὸς ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

30 Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ
ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ Ἄγγελος Κυρίου ἐν πυρὶ
31 φλογὸς βάτου· ὁ δὲ Μωϋσῆς ἰδὼν ἐθαύμαζε τὸ ὅραμα·
προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν·

Τοῦ Χρυσοστόμου. Ὁρᾷς ὅτι οὐ διακόπτεται χρόνῳ· ὅτε γὰρ φυγὰς ἦν, ὅτε ξένος, ὅτε πολὺν χρόνον ἐπὶ τῆς ἀλλοτρίας πεποιήκει[c], ὅτε οὐκέτι προσεδόκησεν ὡς καὶ παῖδας ποιῆσαι δύο, τότε ἄγγελος αὐτῷ ἐπιφαίνεται· τὸν υἱὸν τοῦ Θεοῦ καλεῖ, καθάπερ καὶ ἄνθρωπον, ἐν τῇ ἐρήμῳ, οὐκ ἐν ναῷ· ὅρα πόσα γίνεται θαύματα· καὶ οὐδαμοῦ ναός· οὐδαμοῦ θυσία· καὶ οὐδὲ ἐν αὐτῇ τῇ ἐρήμῳ ἀλλ' ἐν βάτῳ.

32 Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ.

Τοῦ αὐτοῦ. Ἰδοὺ καὶ φωνῆς ἠξιώθη· ἰδοὺ πῶς δείκνυσιν, ὅτι

c Sic.

αὐτός ἐστιν "ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ." "ὁ μεγά- "λης βουλῆς Ἄγγελος·" ἐνταῦθα δείκνυσι τὴν φιλανθρωπίαν ὅσην ποιεῖται ὁ Θεός.

Κυρίλλου. *Ἄθρει τοῦ νόμου τὸ ἀδρανές· ἐμφανίζει μὲν γὰρ ἑαυτὸν ὁ τῶν ὅλων Θεὸς, ἀλλ' ἐμφανῆ καθιστάντος ἀποστρέφει τὸ πρόσωπον ὁ Μωϋσῆς· σημεῖον δ' ἂν γένοιτο καὶ τοῦτο ἡμῖν ἐναργὲς, τοῦ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ τὴν θεοπρεπῆ τοῦ Υἱοῦ καταθρῆσαι δόξαν, ἑαυτὸν ἐμφανίζοντος καὶ μονονουχὶ προσάγοντος ἐπίγνωσιν.*

Εὐσεβίου ἐπισκόπου Ἐμίσης. *Ἐκ βασιλείων ἐξελθὼν, ποιμὴν ἐν ἐρήμῳ ἐγένετο, καὶ οὐκ ἤχθετο· εἴ τις γὰρ θέλει σῶσαι τὴν ἀγαπὴν καὶ τὸ φίλτρον τὸ περὶ Θεὸν, εἴτε ἐν πενίᾳ σώζεται, εἴτε ἐν πόλεσι διαφυλάττεται, εἴτε ἐν δεσμωτηρίῳ, οὐκ ἀγανακτεῖ· ἔχεις τούτου ἐν τῇ γραφῇ τὰ παραδείγματα.*

Ἔντρομος δὲ γενόμενος Μωϋσῆς οὐκ ἐτόλμα κατανοῆσαι.

Διδύμου. *Εἰ καὶ μὴ αὐταῖς λέξεσι φέρεται ἐν τῇ Ἐξόδῳ ἡ κειμένη φωνὴ, ἀλλ' οὖν ἰσοδύναμος κεῖται· οὐ πολὺ γὰρ διοίσει τὸ ἔντρομος τὸ "ἔμφοβος δὲ γενόμενος Μωϋσῆς·" λέγεται δὲ ταῦτα περὶ τοῦ κατὰ τὴν βάτον ὁράματος, μενούσης τῆς αὐτῆς διαφορᾶς τοῦ φοβεροῦ καὶ ἐμφόβου, καὶ ἐν τῇ διηγήσει τῇ περὶ τοῦ ὄρους Σινᾶ· τὸ γὰρ ἐν τῇ πρὸς Ἑβραίους λεχθέν· "καὶ οὕτω φοβερὸν ἦν τὸ "φανταζόμενον περὶ τοῦ ὄρους," τοῦτο ἐστίν· ἐπ' αὐτοῦ γὰρ εἶπε Μωϋσῆς· "ἔμφοβός εἰμι καὶ ἔντρομος·" ἐκ παραλλήλου ταῖς λέξεσι χρησάμενος· "ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν ἐν ταῖς "καρδίαις αὐτῶν εἰς Αἴγυπτον."*

33 *Εἶπε δὲ αὐτῷ ὁ Κύριος, λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου.*

Κυρίλλου. *Νεκρότητός τε καὶ φθορᾶς τὸ χρῆμα σημεῖον· εἴπερ ἐστὶ πᾶν ὑπόδημα ζώου λείψανον τεθνεῶτος ἤδη καὶ κατεφθαρμένου· ἀπρόσιτος οὖν ὁ Χριστὸς τοῖς ἐν νόμῳ καὶ παιδαγωγικῇ λατρείᾳ· προσαπονίζεσθαι γὰρ ἀνάγκη τὸν μολυσμὸν, καὶ τὸν ἐκ τῆς ἁμαρτίας προαποτρίβεσθαι ῥύπον.*

Σευήρου. *Δεῖ γὰρ ὡς ἀληθῶς πάσης νεκρᾶς καὶ σαρκικῆς*

φαντασίας ὥσπερ ὑποδημάτων τινῶν λῦσαι, τὸν ἐπί τι τῶν θείων θεωρημάτων ἀναβῆναι πειρώμενον νοῦν.

Ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν.

Τοῦ Χρυσοστόμου. *Οὐδαμοῦ ναὸς, καὶ ὁ τόπος ἅγιος τῇ ἐπιφανείᾳ καὶ ἐνεργείᾳ τοῦ Χριστοῦ· πολλῷ θαυμασιώτερον τοῦτο τοῦ τόπου ἐν τοῖς Ἁγίοις τῶν Ἁγίων· ἐκεῖ γὰρ οὐδαμοῦ ἐπεφάνη οὕτως Θεός· οὐδαμοῦ οὕτως ἔντρομος γέγονε Μωϋσῆς· εἶτα ἡ κηδεμονία πολλὴ "ἰδὼν εἶδον," καὶ τὰ ἑξῆς.*

34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα· καὶ κατέβην ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο, ἀποστείλω σε εἰς Αἴγυπτον.

Τοῦ αὐτοῦ. *Ὅρα πῶς δείκνυσιν ὅτι καὶ δι' εὐεργεσιῶν, καὶ διὰ κολάσεων, καὶ διὰ θαυμάτων ἐπήγετο αὐτούς· οἱ δὲ οἱ αὐτοὶ ἦσαν· ὅτι πανταχοῦ πάρεστι ὁ Θεὸς ἐμάνθανον. ταῦτα ἀκούοντες, ἐν ταῖς θλίψεσι πρὸς αὐτὸν καταφεύγωμεν· "καὶ τοῦ στεναγμοῦ αὐτῶν "ἤκουσα," φησί· οὐχ ἁπλῶς διὰ τὰς συμφοράς· εἰ δέ τις λέγοι, τίνος ἕνεκεν αὐτοὺς εἴασε κακωθῆναι ἐκεῖ; μάλιστα μὲν οὖν αἱ κακώσεις παντὶ δικαίῳ αἴτιαι μισθῶν γίνονται· εἶτα δὲ τίνος ἕνεκεν αὐτοὺς ἐκάκωσε; τὴν δύναμιν αὐτοῦ δείκνυσιν ὅτι δύναται· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα καὶ αὐτοὺς παιδεύσῃ. Ὅρα γοῦν ὅτε ᾤκουν ἐν τῇ ἐρήμῳ, τότε ἐλιπάνθησαν, ἐπαχύνθησαν, ἐπλατύνθησαν, ἀπελάκτησαν· καὶ πανταχοῦ ἡ ἄνεσις αὐτοῖς κακόν· διὰ τοῦτο καὶ ἐξ ἀρχῆς τῷ Ἀδὰμ ἔλεγεν, "ἐν ἱδρῶτι τοῦ προσώπου "σου φαγῇ τὸν ἄρτον σου·" καὶ ἵνα ἐκ τῆς πολλῆς κακώσεως ἐλθόντες εἰς ἀνάπαυσιν, εὐχαριστήσωσι τῷ Θεῷ· μέγα γὰρ ἡ θλίψις ἀγαθόν· ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· "ἀγαθόν μοι, "Κύριε, ὅτι ἐταπείνωσάς με·" εἰ δὲ τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι μέγα ἡ θλίψις, πολλῷ μᾶλλον ἡμῖν.*

35 Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο, εἰπόντες, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν; τοῦτον ὁ Θεὸς καὶ ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ Ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

Ἐνταῦθα μὲν δοκεῖ περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων λέγειν· λέγε-

ται δὲ περὶ πάσης τῆς φύσεως, ἧς ἕνεκα σάρκα λαβὼν κατέβαινεν· ὅπερ οὐ κατὰ τὸν καιρὸν τοῦ Μωϋσέως, ἀλλ' ὕστερον ἐνδημήσαντος τοῦ Υἱοῦ γεγένηται.

Ἀπολέσθαι τὸν ὑπ' αὐτῶν ἐξουθενηθέντα· τοῦτον ὃν παρῃτήσαντο[d], τοῦτον ὁ Θεὸς ἐγείρας ἀπέστειλε· καθάπερ καὶ αὐτοὶ ἔλεγον· "οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα·" δείκνυσιν ἐνταῦθα, καὶ τὰ γενόμενα, διὰ τοῦ Χριστοῦ γενόμενα.

* Περὶ τῆς ἐξόδου καὶ μοσχοποιίας τοῦ Ἰσραὴλ ἄχρι χρόνων Σολομῶντος καὶ τῆς τοῦ ναοῦ κατασκευῆς.

36 Οὗτος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα
ἐν τῇ Αἰγύπτῳ καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ
37 ἐρήμῳ ἔτη τεσσαράκοντα· οὗτός ἐστιν ὁ Μωϋσῆς, ὁ
εἰπὼν τοῖς υἱοῖς Ἰσραὴλ, Προφήτην ὑμῖν ἀναστήσει
Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ·
αὐτοῦ ἀκούσεσθε.

"Ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ." ἐξουθενημένον "ὡς ἐμέ" ἐβουλήθη καὶ τοῦτον ἀνελεῖν Ἡρώδης, καὶ ἐν Αἰγύπτῳ διεσώθη, καθάπερ καὶ ἐκεῖνος· καὶ παιδίον ὢν, ἐπεβουλεύετο· μὴ θαυμάζετε οὖν εἰ τοὺς παραιτουμένους αὐτοῦ τὴν βασιλείαν ὁ Χριστὸς εὐεργετεῖ, εἴγε καὶ ἐπὶ Μωυσέως τοῦτο γέγονε· καὶ οὐχ ἁπλῶς αὐτοὺς ἐξείλατο, ἀλλὰ καὶ ἐν ἐρήμῳ διάγοντας. ὁρᾷς ὅτι δι' αὐτοὺς ἐκεῖνα τὰ σημεῖα· ὁ τῷ Θεῷ διαλεχθεὶς, ὁ ἐκ παραδόξων σωθεὶς, ὁ τοσαῦτα ἐργασάμενος καὶ δυνηθεὶς δείκνυσι, ὅτι πάντως πληρωθῆναι δεῖ τὴν προφητείαν, καὶ οὐκ ἐναντιοῦται αὐτῷ.

Προαναφωνεῖ γὰρ πάλαι τὴν τοῦ ἰδίου γεννήματος ἐνανθρώπησιν ὁ Θεὸς καὶ Πατήρ· καὶ ὅτι δεύτερος ἐφ' ἡμᾶς νομοθέτης ἀναδειχθήσεται· λαλήσας μὲν πάλαι τοῖς ἀρχαιοτέροις αὐτὸς δι' ἀγγέλων τὸν νόμον· ἐν δὲ τελευταίοις τοῦ αἰῶνος καιροῖς αὐτουργὸς εἰς ἡμᾶς ἀναδεδειγμένος, καὶ καινῆς χρηματίσας διαθήκης ἄγγελος.

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ

[d] παραιτήσαντο Cod.

μετὰ τοῦ Ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ καὶ τῶν πατέρων ἡμῶν.

Τοῦ Χρυσοστόμου. *Πάλιν οὐδαμοῦ ναός· οὐδαμοῦ θυσία· δείκνυσι δὲ ὅτι οὐχὶ σημεῖα ἐποίησε μόνον, ἀλλὰ καὶ νόμον ἔδωκεν, ὥσπερ ὁ Χριστός· καθάπερ καὶ οὗτος πρῶτον σημεῖα ποιεῖ, καὶ τότε νομοθετεῖ, οὕτω κἀκεῖνος· καὶ οὗτος ἠπίστατο, κἀκεῖνος· ἀλλ' οὐκ ἤκουσαν αὐτοῦ. Καὶ μετ' ὀλίγα—Ὁρᾷς ὅτι ἐκεῖθεν ἡ ῥίζα καὶ ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί· "μετὰ τοῦ Ἀγγέλου," φησὶ, "τοῦ λαλοῦντος αὐτῷ·" ἰδοὺ πάλιν αὐτὸν φησὶ τὸν νόμον δεδωκέναι· εἴγε μετ' αὐτοῦ ἦν "ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ·" καὶ ἐνταῦθα θαύματος ὑπομιμνήσκει μεγάλου, τῶν ἐν τῷ ὄρει γεγενημένων.*

Διδύμου. *Ἡ προκειμένη λέξις δηλοῖ, ὡς οὐ μόνον τοπικῶς εἶναι συμβαίνει κρείττοσι καὶ χείροσι χωρίοις· ἔξω γὰρ τῆς Αἰγύπτου κατὰ τόπον ὄντες, οἱ περὶ ὧν ὁ λόγος, τῇ διαθέσει ἐν αὐτῇ ὑπῆρχον. οὐκ ἀποστήσαντες τὴν γνώμην ἑαυτῶν τῶν Αἰγυπτιακῶν ἐθῶν, τῆς αὐτῆς νοήσεως ἐστὶ καὶ τὸ ἐν Εὐαγγελίῳ, "ὅπου ὁ "θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία·" οὐ πάντως τοπικῶς ἐκεῖ ὄντος, ὅπου τις ἔχει τὴν γνώμην· πολλοὶ γοῦν ἔτι ἐπὶ γῆς ὄντες θησαυρίζοντες κατάλληλα τῷ οὐρανῷ, ἐκεῖ τὴν καρδίαν ἔχουσι. ἀλλὰ κἀκεῖ ἔτι τυγχάνοντες, οἱ παραβάντες Ἄγγελοι τὴν διάθεσιν εἶχον ἐν τῇ γῇ· ᾧ ἐξηκολούθησε τὸ ἐξ οὐρανοῦ εἰς γῆν αὐτοὺς ἐρρίφθαι.*

39 Ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ὑμῖν· ᾧ οὐκ ἠθέλη-
σαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν.

Τοῦ Χρυσοστόμου. *Τί ἐστι λόγια ζῶντα; ὧν τὸ τέλος διὰ λόγων ἐδείκνυτο, ἤτοι τὰς προφητείας λέγει.*

Ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν ἐν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον.

Τοῦ αὐτοῦ. *Ἔνθα ἔστενον, ἔνθα ἐβόων, ἔνθα τὸν Θεὸν ἐκάλουν.*

40 Εἰπόντες τῷ Ἀαρὼν, ποίησον ἡμῖν θεοὺς οἱ προπο-
ρεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν
ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί ἐγένετο αὐτῷ·
41 καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγα-

γον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

Ὦ τῆς ἀνοίας, "ποίησον," φησὶν, ἵνα "προπορεύσωνται ἡμῶν·" ποῦ; εἰς Αἴγυπτον. Ὅρα πῶς δυσαποσπάστως εἶχον τῶν ἐθῶν τῶν Αἰγυπτιακῶν. τί λέγεις; οὐκ ἀναμένεις τὸν ἐξαγαγόντα, ἀλλὰ φεύγεις τὴν εὐεργεσίαν καὶ τὸν εὐεργέτην ἀρνῇ; καὶ ὅρα πῶς ὑβρίζουσιν· "ὁ γὰρ Μωϋσῆς οὗτος," φησὶν, "ὃς ἐξήγαγεν ἡμᾶς ἐκ "γῆς Αἰγύπτου·" οὐδαμοῦ Θεοῦ ὄνομα· ἀλλὰ πάντα Μωϋσεῖ ἐπέγραφον· ἔνθα μὲν ἀχαριστεῖν ἔδει, Μωϋσῆν φέρουσιν εἰς μέσον· ἔνθα δὲ πεισθῆναι νόμῳ, οὐκέτι Μωϋσῆν ἄγουσι· "ποίησον ἡμῖν "θεοὺς," οὐκ εἶπον Θεόν· καὶ μὴν τοῦτο ἄξιον θαυμάσαι, τὸ μὴ εἰδέναι· τί θαυμαστὸν, ὅτι ἀγνοεῖτε Χριστὸν, ὅπου καὶ τὸν Μωϋσέα καὶ τὸν Θεὸν τὸν δειχθέντα διὰ τοσούτων σημείων; καὶ οὐκ ἠγνόησαν μόνον, ἀλλὰ καὶ ἑτέρως ὕβρισαν τῷ εἰδωλοποιῆσαι.

Σετηριανοῦ. Μόσχον ὁ Ἰσραὴλ ἐχώνευσε, καὶ Θεὸν ἠθέτησε, καὶ ἠγνόησε τὸν δεσπότην, ἀπέγνω τὸν εὐεργέτην· καὶ λέγει τῷ Ἀαρὼν, "ποίησόν μοι θεούς·" διατί "ποίησον;" εἰ δὲ "ποίησον," πῶς θεοὶ τὰ γινόμενα. οὕτως ἡ κακία τυφλώττουσα αὐτὴ ἑαυτὴν ἀφανίζει.

42 Ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καθὼς γέγραπται ἐν βιβλίῳ τῶν προφητῶν.

Τοῦ Χρυσοστόμου. Ἐντεῦθεν λοιπὸν τὰ ἔθη ταῦτα· ἐντεῦθεν αἱ θυσίαι· αὐτοὶ πρῶτοι ἐποίησαν θυσίας τοῖς εἰδώλοις· διὰ γὰρ τοῦτο ἐπισημαίνεται, "καὶ ἐποίησαν μοσχὸν ἐν Χωρὴβ, καὶ ἀν"ήνεγκαν θυσίας τῷ εἰδώλῳ·" ἐπεὶ πρὸ τούτου οὐδαμοῦ θυσίας ὄνομα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα. καὶ εὐφραίνοντο[e], φησὶ, διὰ τοῦτο καὶ ἑορταί.

Τὸ "παρέδωκεν" ἐνταῦθα εἴασεν ἐστίν.

Ἐξ ἀνεπιγράφου. Τὸ "παρέδωκεν" ἀντὶ τοῦ εἴασε κεῖται, ὡς καὶ ἐν τῷ Ἀποστόλῳ "παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν," ἀντὶ τοῦ εἴασε παραδοθῆναι. λέγει οὖν, ἐπειδὴ τοῦτον εἶχον οἱ Ἰουδαῖοι τὸν πόθον, τὸ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα, κωλύσας πολλάκις διὰ τῶν προφητῶν τὴν τοιαύτην πρόφασιν, εἶτα ἐμμενόντων ἐκείνων ὡς εἵλοντο· τὸ δὲ "ἔστρεψε" ἄλλο δηλοῖ θέλημα τοῦ Θεοῦ·

[e] εὐφραίνοντα Cod.

καὶ ἄλλο γεγενημένον κατὰ συγχώρησιν· ἦν μὲν γὰρ αὐτοῦ θέλημα, ὃ καὶ νενομοθέτηκε· “Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις·” ἐμμένοντας δὲ τῇ ἀσεβείᾳ εἴασεν, οὐ γὰρ ἐξ ἀνάγκης ἐφέλκεται ἑαυτῷ λατρεύειν, ἵνα μὴ ὑβρίσῃ τὸ αὐτεξούσιον· ἀλλὰ παραινεῖ μὲν μὴ ἁμαρτάνειν, ἁμαρτανόντων δὲ ἀνεξικακεῖ· ἐνδεικνύμενος τὸ φιλάνθρωπον, ἅμα δὲ καὶ ἐνδιδοὺς τῇ ἐπιστροφῇ τοῦ αὐτεξουσίου, καιρὸν μετανοίας ταμιευόμενος· ἐμμένοντας δὲ κολάζει πικρῶς· τὸ δὲ “τῇ στρατιᾷ τοῦ οὐρανοῦ,” οὐ τοῖς ἀγγέλοις λέγει ἀλλὰ τοῖς ἄστροις, οἷς καὶ τὸ σέβας προσέφερον, ὡς τῷ μόσχῳ εἰς τόπον ὄντι ἑωσφόρου, καὶ τῇ σελήνῃ, ὡς βασιλίσσῃ τοῦ οὐρανοῦ· οὕτω γὰρ ἐν Ἱερεμίᾳ ἐγράφησαν λέγοντες.

Διδύμου. Οἱ μὴ ὃν δεῖ τρόπον ἐντυχόντες τῇ παλαιᾷ γραφῇ, οἴονται παραδεδόσθαι τοὺς Ἑβραίους ὑπὸ Θεοῦ “λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ,” συναρπαγέντες ἐκ τοῦ, “εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος,” καὶ ἐκ τοῦ “διατετάχθαι τὸν νόμον δι᾽ ἀγγέλων ἐν χειρὶ μεσσίτου·” πολλῆς δὲ παραμυθίας δεῖ τῷ οὕτως τιθεμένῳ· ἐπιστήσαντες δὲ ἡμεῖς, τὸ “ἔστρεψεν ὁ Θεὸς” καὶ τοῖς ἑξῆς παρα* δοσι νῦν δηλουμένην, οὕτω γενέσθαι ὑπολαμβάνομεν, ὡς καὶ ἐπὶ τῶν γραφομένων τῷ Ἀποστόλῳ οὕτως ἐχόντων· “διὰ τοῦτο παρέδωκεν αὐτοὺς ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν·” καὶ ἔτι, “διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας καὶ εἰς ἀδόκιμον νοῦν·” ὡς γὰρ ἐν τούτοις οἷς ἡμεῖς εἰλάμεθα, παραδίδωσιν ὁ Θεὸς μετὰ τὸ πολλάκις κωλῦσαι· οὕτω πόθον ἔχοντας τοὺς Ἑβραίους θεραπεύειν τὴν κτίσιν παρὰ τὸν κτίσαντα, κωλύσας πολλάκις διὰ τῶν προφητῶν τὴν τοιαύτην πρόθεσιν, ἐμμένοντας αὐτοὺς παρέδωκεν ᾧ εἵλοντο· ὅθεν ἀκριβεστέρως ἀκούειν δεῖ τοῦ “ἔστρεψεν ὁ Θεὸς καὶ παρέδωκεν αὐτούς·” οὐ γὰρ προηγούμενον ἦν θέλημα τῆς νομοθεσίας τοῦτο· εἰ γὰρ ἐν αὐτῇ φέρεται, “Κύριον τὸν Θεὸν προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις,” ταύτην τὴν ἐντολὴν τοὺς παραβάντας “παρέδωκε λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ·” οὐκέτι προηγουμένῃ βουλήσει ποιῶν αὐτοὺς, ἀλλ᾽ ὡς εἶπε τὸ ῥητὸν, στρέψας ἐξ ἄλλου θελήματος. ἀλλ᾽ οὐ ζητήσεις που τῆς γραφῆς “τῇ στρατιᾷ τοῦ οὐρανοῦ” κεῖται· ἐπὶ ἀγγέλων ὡς ἐπίπαν ἢ ὡς ἐπὶ πολὺ κατὰ τῶν φωστήρων καὶ ἀστέρων ἡ λέξις κεῖται.

Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

Τοῦ Χρυσοστόμου. "Σκηνὴ τοῦ μαρτυρίου ἦν," καὶ οὐδὲν ὠφέλησεν αὐτοὺς, ἀλλ' ἀνηλίσκοντο· οὔτε πρὸ τούτου δι' αὐτοῦ τὰ σημεῖα, οὔτε μετὰ ταῦτα ὠφέλησέ τι. ἣν καὶ εἰσήγαγον, φησὶ, διαδεξάμενοι οἱ πατέρες ἡμῶν· ὁρᾷς ὅτι ἐκεῖ τόπος ἅγιός ἐστιν, ἔνθα ἂν ᾖ ὁ Θεός· διὰ γὰρ τοῦτο καὶ "ἐν τῇ ἐρήμῳ" εἶπεν, ἵνα τόπον τόπῳ συγκρίνῃ.

Τοῦ αὐτοῦ. Ἐμφαντικῶς ἐχρήσατο τῇ λέξει· οὐκ ἔχετε εἰπεῖν φησὶ, ὅτι ἀπὸ τοῦ ἐμοὶ θύειν, κἀκείνοις ἐθύετε· καὶ ταῦτα "ἐν τῇ ἐρήμῳ," ἔνθα μάλιστα αὐτῶν προειστήκει.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ εἰς τὸν προφήτην Ἀμὼς τόμου γ. "Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι," καὶ τὰ ἑξῆς· τοῦτό φησιν, ὅτι ἐν χρόνῳ τεσσαρακονταετεῖ, καθ' ὃν ἦσαν ἐν τῇ ἐρήμῳ, προσῆγον μὲν ἑκόντες θυσίας, ἐξηγεῖτο δὲ οὐδεὶς ἀναγκαίως, ἀλλ' ἦν εἰς ἀνάκλησιν τὸ χρῆμα αὐτοῖς, ἄχρις ἂν εἰσελάσειαν εἰς τὴν γῆν τὴν τοῖς πατράσιν ἐπηγγελμένην, ταύτῃ τοι φησὶν, "μὴ σφάγια καὶ θυσίας," καὶ τὰ ἑξῆς· ἀλλ' ἐσώζοντο τότε καὶ θυσιῶν δίχα· καὶ ᾗ φησι δι' ἑτέρου προφήτου πάλιν· "οὐ κεκτήσω μοι ἀργυρίου θυμίαμα, οὐκ ἠδύναντό μοι πρόβατα "τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβάνῳ," αὐτοὶ δὲ πάλιν ἀπροφάσιστον ἔχοντες τὴν ἀπόστασιν ἀλλοπρόσαλλοί τε ἦσαν τὸ τηνικάδε, καὶ Θεὸν ἀτιμάζοντες τὸν φύσει καὶ ἀληθῶς, ἀνελάμβανον "τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ "θεοῦ ὑμῶν[d] Ῥεφάν·" καὶ τί δὴ τοῦτό ἐστι περιαθρεῖν ἀναγκαῖον. οὐκοῦν ὁ μὲν θεσπέσιος Μωϋσῆς ἀναπεφοίτηκεν εἰς τὸ ὄρος τὸν νόμον ὑποδεξόμενος; οἵγε μὴν ἐξ αἵματος Ἰσραὴλ κατεξανέστησαν τοῦ Ἀαρὼν λέγοντες· "ποίησον ἡμῖν θεούς." μεμοσχοποίηκασι τοίνυν κατὰ τὴν ἔρημον· καὶ τὸ μὲν ἐμφανὲς, καὶ οἱονεί πως ἁπάντων εἴδωλον ὁ μόσχος ἦν· πολλὰ δὲ παρ' ἑκάστου καὶ ἕτερα διεπράττοντο· τραπόμενοι γὰρ ἅπαξ ἐπὶ τὴν ἀρχαίαν πλάνησιν καὶ τῆς εἰς Θεὸν εὐσεβείας ἀποπηδήσαντες, ἕκαστος τὸ δοκοῦν ἐποιεῖτο σέβας· καὶ διέπλαττεν ἑαυτῷ, κατὰ τὴν ἄνωθεν ἔτι καὶ ἐν Αἰγύπτῳ συνήθειαν· προσέκειντο δὲ μᾶλλον ταῖς τῶν ἄστρων λα-

[d] θεοῦ ἡμῶν Cod.

τρείαις· πρὸς γὰρ τῷ μόσχῳ, καὶ τὴν σκηνὴν τοῦ Μολὸχ ἀνέλαβον· σκηνοποιησάμενοι γὰρ ἔστησαν εἴδωλον, καὶ κεκλήκασι Μολόχ· εἴδωλον δὲ τοῦτο Μωαβιτῶν, ἔχον λίθον διαφανῆ καὶ ἐξαίρετον ἐπὶ μετώποις ἄκροις εἰς ἑωσφόρου τύπον· καὶ ἑρμηνεύεται μὲν Μολὸχ βασιλεὺς αὐτῶν, Ῥεφὰν δὲ σκοτασμὸς, ἤτοι τύφλωσις· ἐκδεδώκασι γὰρ οὕτως Ἀκύλας καὶ Θεοδοτίων· ἑωσφόρου γε μὴν ἐκτύπωμα τὸ τεχνουργούμενον ἦν· "ἀνελάβετε" τοίνυν "τὴν σκηνὴν "τοῦ Μολὸχ," τουτέστι τοῦ βασιλέως ὑμῶν· τίς δὲ οὗτος ἦν ὁ βασιλεύς; "τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν[e] Ῥεφάν·" ἀλλὰ γέγονε, φησὶν, ὑμῖν εἰς τύφλωσιν· ἐσκορπίσθησαν γὰρ αἱ καρδίαι αὐτῶν· προσεκύνουν γε μὴν τὸν ἑώσφορον, ὡς προανίσχοντα τῆς ἡλίου μαρμαρυγῆς, καὶ ἀρχὴν ἡμέρας εἰσφέροντα τοῖς ἐπὶ τῆς γῆς· ἀλλὰ τοῖς προσκυνοῦσι γέγονε Ῥεφὰν, τουτέστι σκοτασμὸς ἤτοι τύφλωσις· καὶ οὐχὶ δὴ πάντως ὡς ἐνεργηκότος ἐν αὐτοῖς τοῦ ἄστρου τὴν τύφλωσιν· ἀλλ' ὅτι σκοτασμοῦ παραίτιον τὸ εἰς τοῦτο γέγονε σέβας.

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς·

Τοῦ Ἁγίου Κυρίλλου εἰς τὸν προφήτην Ἀμώς[f]. Ἵνα φαίνηται Θεὸς διὰ φιλανθρωπίαν σῶσαι αὐτοὺς, καὶ οὐκ ἀντιμισθία θυσιῶν τὸ πρᾶγμα ποιούμενος, φησὶ, "μὴ σφάγια καὶ θυσίας," ἀλλὰ καὶ τούτων γινομένων φησὶ, "ἀνελάβετε" καὶ τότε "τὴν σκηνὴν τοῦ "Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεφάν·" ἀνελθόντος γὰρ εἰς τὸ ὄρος Μωϋσέως, μεμοσχοποιήκασί τε καὶ ταῖς τῶν ἄστρων προσεκλίθησαν λατρείαις· καὶ σκηνοποιησάμενοι ἔστησαν εἴδωλον, ὃ κεκλήκασι Μολόχ· τοῦτο δὲ εἴδωλον Μωαβιτῶν ἦν.

Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.

Τοῦ Χρυσοστόμου. Καὶ ἡ αἰχμαλωσία κατηγορία τῆς κακίας.

Κυρίλλου. Ἐπειδὴ δὲ τὴν Μωαβιτῶν κακίαν πεπλωρήκατε τῆς γείτονος Δαμασκοῦ, ταύτῃ τοι οἰχήσεσθαι Δαμασκοῦ ἐπέκεινα, τουτέστιν εἰς Βαβυλῶνα.

[e] θ. ἡμῶν Cod. [f] ἀμμὼς Cod.

Νικολάου πρεσβυτέρου εἰς Ἀμὼς Ἑρμηνείας. Τοῦ προφήτου Ἀμὼς εἰρηκότος, "μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ·" ὁ ἅγιος Στέφανος ἐν ταῖς Πράξεσι τὴν χρῆσιν θεὶς, "μετοικιῶ "ὑμᾶς ἐπεκεῖνα Βαβυλῶνος" εἶπεν, ἀκολουθήσας τῇ Ἑβραίων ἐκθέσει· ἢ καὶ ὅτι τέρμα τῆς Δαμασκηνῶν καὶ Σύρων χώρας ἡ Βαβυλὼν τυγχάνει· οἱ δὲ ἑβδομήκοντα ἐπέκεινα Δαμασκοῦ[f] εἰρήκασιν.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν ἐν τοῖς πατράσιν ἡμῶν
ἐν τῇ ἐρήμῳ.

Καὶ σκηνῆς οὔσης θυσίαι οὐκ ἦσαν· διὰ τοῦτο ἦν, ἵνα μάρτυρα τὸν Θεὸν ἔχωσι, τοῦτο μόνον ἦν.

Καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ, ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑώρακεν.

Τοῦ Χρυσοστόμου. Ὥστε ἐν τῷ ὄρει ἡ ὑπογραφὴ γέγονε, καὶ αὐτὴ δὲ ἐν τῇ ἐρήμῳ περιφορητὴ ἦν, καὶ οὐκ ἐν τόπῳ κειμένη· καὶ μαρτυρίου σκηνὴν καλεῖ· τουτέστι τῶν θαυμάτων, τῶν προσταγμάτων.

Ἐξ ἀνεπιγράφου. Εἰ καὶ Ἄγγελος ἦν ὁ λαλῶν Μωϋσῇ ἐν τῷ ὄρει, ἀλλ' οὖν εἰς Θεοῦ πρόσωπον ἐλάλει αὐτῷ· πολλὰ δὲ ταῦτα ἐν τῇ θείᾳ γραφῇ εὑρίσκεται· εἴρηται γὰρ ἐν τῇ Ἐξόδῳ ὡς "Ἄγγελος Κυρίου εἶπε Μωϋσῇ, μὴ ἐγγίσῃς ὧδε." Καὶ μεθ' ἕτερα λέγει ὁ Ἄγγελος, "ἐγὼ ὁ Θεὸς τῶν πατέρων ὑμῶν, ὁ Θεὸς Ἀβραάμ·" ὁμοίως δὲ καὶ ἀπ' αὐτοῦ τοῦ Ἀβραὰμ ἐστὶ τὸ τοιοῦτον εὑρεῖν, ὅτε τὸν παῖδα προσέφερεν εἰς ὁλοκάρπωσιν. Καὶ ὁ Ἀπόστολος δὲ περὶ τοῦ νόμου λέγει· "εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος."

45 Ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν
μετὰ Ἰησοῦ, ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἐξῶσεν ὁ
Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμε-
46 ρῶν Δαβίδ· ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ.

Τοῦ Χρυσοστόμου. Καὶ οὐκ ἦν ναὸς, καίτοι καὶ τὰ ἔθνη ἐξέωστο· διὰ τοῦτο γάρ φησι, "ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου "τῶν πατέρων ἡμῶν·" "ὧν ἐξῶσε," φησὶ, καὶ οὐδὲ τότε ναός· καὶ τοσαῦτα θαύματα, καὶ οὐδαμοῦ ναός· ὥστε εἶναι πρώτη σκηνὴ,

[f] δαμασκηνοῦ Cod.

ἀλλ' οὐ ναὸς οὐδαμοῦ, "ἕως τῶν ἡμέρων," φησὶ, "Δαβίδ·" καὶ οὐδαμοῦ ναός· καὶ "ᾔτησεν εὑρεῖν χάριν ἐνώπιον τοῦ Θεοῦ." καὶ "ᾠκοδόμησεν·" οὕτως οὐκ ἦν μέγα τι ὁ ναός.

Τοῦ αὐτοῦ. Ἠιτήσατο εὑρεῖν χάριν ὁ Δαβὶδ, καὶ οὐκ ᾠκοδόμησεν ὁ θαυμαστὸς, ὁ μέγας, ἀλλ' ὁ ἀπερριμμένος ὁ Σολομών.

Καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Κυρίλλου. "Οὐδεμιᾶς γάρ," φησι, "ἀναπαύλης μεθέξω, πρὶν "ἂν μάθοιμι τὸν τοῦ Κυρίου τόπον καὶ τὸ σκήνωμα," τουτέστι τὴν σκήνωσιν, "τοῦ Θεοῦ Ἰακώβ·" δῆλον δὲ ὅτι Χριστοῦ.

47 Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον.

Τῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ἔτει[g] τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, ἤρξατο ὁ Σολομῶν οἰκοδομεῖν τὸν ναὸν ἐν Ἱερουσαλὴμ, ὡς ἡ τετάρτη βίβλος τῶν Βασιλειῶν ἡμᾶς διδάσκει· διὰ τοῦτο δὲ μετὰ τοσοῦτον χρόνον τῆς ἀπ' Αἰγύπτου τοῦ Ἰσραὴλ ὁ ναὸς ᾠκοδομήθη· ἵν' ἀποκαμόντες τῇ εἰς τὰ ὄρη περιπλανήσει, τὸν ἕνα τόπον τὸν ἐν Ἱερουσαλὴμ ἀγαπήσωσιν, ὃν ὁ Θεὸς ἐποίησε τίμιον.

48 Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει,

Τοῦ αὐτοῦ. Ἐδείχθη μὲν τοῦτο διὰ τῶν ἤδη λεχθέντων· δείκνυται δὲ καὶ διὰ φωνῆς προφητικῆς· "ποῖον οἶκον οἰκοδομήσετέ "μοι, Κύριος λέγει;"

49 Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν
μου· ποῖον, οἶκον οἰκοδομήσετέ μοι λέγει Κύριος; ἢ τίς
50 τόπος τῆς καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε
ταῦτα πάντα;

Τοῦ Χρυσοστόμου. Ἀλλ' οὐδὲ ταῦτα ἄξια Θεοῦ, εἴγε ποιήματά ἐστιν, εἴγε τῆς χειρὸς αὐτοῦ ἔργα· ὅρα πῶς αὐτοὺς κατὰ μικρὸν ἀνάγει· ὅτι οὐδὲ ταῦτα ἔξεστι λέγειν.

Τοῦ ἁγίου Κυρίλλου τοῦ κατὰ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ τόμου β. Εἰ ἕλοιτό τις τὴν τοῦ πράγματος σοφίαν ἀναμαθεῖν, χαλεπὸν οὐδὲν ἀληθεύοντας λέγειν· ἀνεδείματο γὰρ ἐν τοῖς Ἱεροσολύμοις τὸν διαβόητον ἐκεῖνον νεὼν ὁ σοφώτατος Σολομῶν· ἐπε-

[g] ἔτη Cod.

γάννυτο δὲ λίαν αὐτῷ τῶν Ἰουδαίων οἱ δῆμοι· ᾤοντό τε ὅτι κατῴκηκεν ἐν αὐτῷ περιειλημμένος ὁ τῶν ὅλων Θεός· βραδεῖς γὰρ ἀεί πως εἰς σύνεσιν καὶ τῶν περὶ Θεοῦ λόγων ἀνεπιστήμονες, οἵγε καὶ Θεοῦ πόλιν οἰηθέντες εἶναι τὴν Ἱερουσαλὴμ, ἐν αὐτῇ δὴ καὶ μόνῃ διεγίνοντο κατοικεῖν αὐτόν· διά τοι τὸ λεγέσθαι διὰ φωνῆς τοῦ Δαβὶδ "δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ." σμικρά τοι γὰρ δοξάζοντας ἐλέγχει Θεὸς, καὶ φησὶ, "ποῖον οἶκον οἰ-"κοδομήσετε μοι," θρόνον ἔχοντι τὸν οὐρανὸν, ὑποπόδιον δὲ τὴν γῆν· ἔδει γὰρ ἔδει τοῖς συνεστάλθαι καὶ περιωρῆσθαι τόπον τὴν αὐτοῦ φύσιν ὑπειληφόσι, καταδεῖξαι σαφῶς, ὅτι τε εἴη πανταχῆ, καὶ χωρεῖ μὲν αὐτὸν οὐδὲν, ἥκει δὲ μᾶλλον διὰ πάντων αὐτός· καὶ πλήρης μὲν ὁ οὐρανὸς αὐτοῦ, μεστὴ δὲ ἡ γῆ.

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα λοιπὸν καταφορικῶς τῷ λόγῳ κέχρηται· πολλὴ ἦν παρρησία μέλλοντος αὐτοῦ ἀποθνήσκειν· καὶ γὰρ καὶ τοῦτο οἶμαι αὐτὸν εἰδέναι.

Τοῦ αὐτοῦ. Ὅρα τὸν ἄνδρα οὐ μετὰ θυμοῦ διαλεγόμενον· οὐ γὰρ δὴ ὕβρισεν, ἀλλὰ προφητικοῦ ἀνέμνησεν αὐτοὺς λόγου· ὅτι γὰρ οὐκ ἦν θυμὸς, ὅτε κακῶς ἔπασχε, τότε ὑπὲρ αὐτῶν ηὔχετο λέγων· "μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην·" οὕτως οὐκ ὀργιζόμενος αὐτοῖς, ἀλλ' ἀλγῶν ὑπὲρ αὐτῶν καὶ δακνόμενος ταῦτα ἐφθέγγετο.

Τοῦ αὐτοῦ. Προλαβὼν Ἱερεμίας ὁ προφήτης ταῦτα λέγει.

Ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς.

Σημειωτέον ὅτι ἡ περιτομὴ πνευματικόν τί ἐστι, καὶ οὐκ ἐν τῇ τῆς ἀκροβυστίας ἀποβολῇ θεωρουμένη.

Τοῦ Χρυσοστόμου. Ὅτε οὐκ ἐβούλετο θυσίας εἶναι, ὑμεῖς ἐθύετε· ὅτε οὐ βούλεται πάλιν, θύετε· ὅτε οὐκ ἤθελε δοῦναι ὑμῖν παραγγέλματα, ἐπεσπάσασθε· ὅτε ἐλάβετε, ἠμελήσατε· πάλιν ὅτε εἱστήκει ὁ ναὸς, εἴδωλα ἐθεραπεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε· καὶ οὐκ εἶπε, τῷ Θεῷ "ἀντι-"πίπτετε," ἀλλὰ "τῷ Πνεύματι," οὕτως οὐδεμίαν οἶδε διαφοράν.

Σευήρου ἐκ τῆς πρὸς τοὺς ἐν τῇ μονῇ τοῦ Ἰσαάκου Ἐπιστολῆς. Ὁ τῶν Ἰουδαίων παράνομος δῆμος τῷ Πνεύματι τῷ Ἁγίῳ διηνεκῶς ἀντιπίπτοντες, καὶ τὴν ἐναντίαν ἀεὶ τοῖς τοῦ Θεοῦ νόμοις φερόμενοι πρὸς τὸ εὐτελὲς καὶ τὸ δι' ἡμᾶς ταπεινὸν, τῆς τοῦ Θεοῦ Λόγου καὶ Σωτῆρος ἐνανθρωπήσεως τυφλώττοντες, ὡς ἐν σκότῳ περιπατοῦντες προσέπταιον· καὶ γέγονεν αὐτοῖς "ὁ "λίθος ἀκρογωνιαῖος καὶ ἐκλεκτὸς καὶ ἔντιμος πέτρα σκανδάλου καὶ "λίθος προσκόμματος·" καὶ οὐδαμῶς ἐνενόουν αὐτοῦ τὴν προαιώνιον ὕπαρξιν, καὶ τὴν ἐκ Πατρὸς ἀσώματον γέννησιν, καὶ τὸ πρὸς τὸν γεγεννηκότα ἶσον, καὶ κατὰ πᾶν ὁτιοῦν ἀπαράλλακτον.

52 Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν;

Ὠριγένους. Ἀληθεύειν μὲν τὸν Στέφανον πᾶς ὅστις οὖν τῶν προσιεμένων τὰς Πράξεις τῶν Ἀποστόλων ὁμολογήσει· ἀποδεῖξαι δὲ ἀπὸ τῆς παλαιᾶς διαθήκης πῶς εὐλόγως μέμφεται τοῖς πατράσι τῶν εἰς τὸν Ἰησοῦν ἀπιστούντων, ὡς διώξασι τοὺς προφήτας καὶ ἀποκτείνασιν· οὐ δυνατὸν ἀπὸ τῶν φερομένων βιβλίων τῆς καινῆς διαθήκης.

Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου,

Ἰωάννου. Ἔτι "τοῦ δικαίου" λέγει, βουλόμενος αὐτοὺς καταστεῖλαι.

Οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε·

Ἐξ ἀνεπιγράφου. Τουτέστιν, οἷς ὁ νόμος δέδοται, διατάξεις ἔχων, αἵτινες ἰσάγγελον ἐποίουν πολιτείαν ἔχειν τοὺς τελοῦντας αὐτόν.

53 Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Τοῦ Χρυσοστόμου. Τινὲς φασὶ τὸν ὑπὸ ἀγγέλων διαταχθέντα ἢ ἐγχειρισθέντα αὐτῷ, δι' Ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῷ βάτῳ· μὴ γὰρ ἄνθρωπος ἦν· οὐδὲν θαυμαστόν, φησι, τὸν ἐκεῖνα ποιήσαντα, καὶ ταῦτα ποιῆσαι· τοὺς καταγγείλαντας ἀνείλατε, πολλῷ μᾶλλον αὐτόν· καὶ Θεῷ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τοῖς προφήταις, καὶ τῷ Πνεύματι, καὶ πᾶσι δείκνυσιν ἀπειθοῦντας· καθὼς καὶ ἑτέρωθι φησὶν ἡ γραφή· "Κύριε, τοὺς προφήτας σου

“ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέστρεψαν·” τοῦτο παρρησία ἀνδρὸς τὸν σταυρὸν ἔχοντος.

54 Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν.

ΔΙΔΥΜΟΥ. *Ὑπόγυον ἐσαφηνίσθη τοῦτο, ὅτε ἐλαμβάνομεν τὸ “εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος·” ὁ δι᾽ ἀγγέλων διαταγεὶς, νόμος ἀνθρώποις ὑπὸ Θεοῦ ἀγγέλων δίδοται· εἰ μὴ ἄρα καὶ οὕτως δέξηται, ὅτι ὁ νόμος οὕτω διετάγη τοῖς ἀνθρώποις, ἵνα ἀγγέλων πολιτείαν ἔχωσι· καὶ γὰρ οὗτοι ὑπὸ Θεοῦ τεταγμένοι εἰσιν· εἴρηται γοῦν περὶ αὐτῶν· “εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι “αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ.” δοκεῖ δὲ βίαιος εἶναι ἡ δευτέρα ἀπόδοσις.*

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Πῶς οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ μὴ ἀνελεῖν αὐτόν· ὅρα πάλιν τοὺς ἀδικοῦντας ἐν κακοῖς· καθάπερ Ἰουδαῖοι ἀποροῦσι λέγοντες· “τί ποιήσωμεν τοῖς ἀνθρώ-“ποις τούτοις;” οὕτω καὶ οὗτοι διαπρίονται· οἱ συκοφάνται μᾶλλον ἀνῃροῦντο· οὕτως ἀληθὲς, ὅπερ ἀεὶ ἔλεγον, ὅτι τὸ ποιεῖν κακῶς, τοῦτο πάσχειν ἐστὶ κακῶς.*

55 Στέφανος δὲ ὑπάρχων πλήρης πίστεως καὶ Πνεύμα-
τος Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ,
56 καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν, ἰδοὺ,
θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ
ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΚ ΤΟΥ ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΛΟΓΟΥ ϛ. *Υἱὸς ἀνθρώπου ἐστὶν ὁ ἐκ δεξιῶν τοῦ Θεοῦ· καὶ εἰ νομίζεις ὑπερβολὴν ἔχειν τὸ εἰρημένον, ὁ Πνεύματος πεπληρωμένος καὶ τὰ τοιαῦτα μάλιστα ἀξιωθεὶς ὁρᾶν Στέφανος, ἀποκρίνεταί σοι· ὅτι εἶδε “τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ” μετὰ πολλῆς τῆς δόξης· τί οὖν ἑστῶτα καὶ οὐχὶ καθήμενον; ἵνα δείξῃ τὴν ἀντίληψιν τὴν εἰς τὸν μάρτυρα· καὶ γὰρ περὶ τοῦ Πατρὸς λέγεται· “ἀνάστα ὁ Θεός·” καὶ πάλιν, “νῦν ἀναστήσομαι λέγει “Κύριος· θήσομαι ἐν σωτηρίῳ·” ἵνα οὖν πολλὴν τῷ ἀθλητῇ τὴν προθυμίαν παράσχῃ, καὶ πείσῃ τοὺς μαινομένους ἐκείνους καθυφεῖναι τῆς κατ᾽ αὐτοῦ λύττης, τὸ τοῦ βοηθοῦντος ἐπιδείκνυται*

σχῆμα· ὅτι γὰρ οὐχ ἕστηκεν, ἄκουσον Παύλου λέγοντος, "συν-" "ήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν δεξιᾷ αὐτοῦ, ὑπερ-" "άνω[h] πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος."

Τοῦ Ἁγίου Βασιλείου. Οἶμαι γὰρ τὴν μὲν στάσιν καὶ τὴν καθίδρυσιν τὸ πάγιον τῆς φύσεως καὶ πάντῃ στάσιμον ὑποφαίνειν· καθὸ καὶ ὁ Βαροὺχ τὸ ἀκίνητον καὶ ἀμετάθετον τῆς τοῦ Θεοῦ ἐξαγωγῆς ἐνδεικνύμενος ἔφη, "τὸ σὺ καθήμενος τὸν αἰῶνα, καὶ" "ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα." τὴν δεξιὰν δὲ χώραν δηλοῦν τὸ τῆς ἀξίας ὁμότιμον.

Ἀμμωνίου. Θεὸν ἰδεῖν ἀδύνατον· διὸ εἶπε "δόξαν Θεοῦ·" ταυτὴν τὴν δόξαν καλεῖ Θεὸν καταχρηστικῶς· διὸ σημειωτέον ὅτι οἱ λεγόμενοι ἑωρακέναι Θεὸν, δόξαν ἑώρουν θείαν· ἢ ἐν πυρὶ, ἢ ἐν στύλῳ νεφέλης, ἢ ἐν σαπφειροειδεῖ ὁράματι ἢ ἠλεκτροειδεῖ.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν·

Ἡσυχίου πρεσβυτέρου ὅτι παρέστη ἐκ δεξιᾶς πένητος. Ἐν γὰρ τοῖς Ἰουδαίοις αὐτὸν διὰ τὴν ἐκείνων ἀπιστίαν πενόμενον, πλουτεῖν πεποίηκεν ἐν τοῖς ἔθνεσιν, ἐκ δεξιῶν αὐτοῦ παριστὰς, ὅπερ σὺ μὲν δοκεῖς εἶναι ταπεινὸν, ἐστὶ δὲ σφόδρα ὑψηλόν· καὶ περὶ μόνου Υἱοῦ ὡς Θεοῦ καὶ ὁμοουσίου δυναμένου λέγεσθαι· ὥσπερ γὰρ ὁ Υἱὸς οὐ μόνον ἐκ δεξιῶν κάθηται τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ δεξιῶν ἵσταται, φησὶν γὰρ ὁ Στέφανος, "εἶδον τοὺς οὐρανοὺς ἀνεῳγμέ-" "νους, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως·" οὕτω καὶ ὁ Πατὴρ ἵστασθαι ἐκ δεξιῶν λέγεται τοῦ Υἱοῦ, ἵνα μίαν ἡμεῖς ἀξίαν Υἱοῦ καὶ Πατρὸς μάθωμεν.

Τοῦ Χρυσοστόμου. Ὅπερ οὖν καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίησαν, τοῦτο καὶ ἐνταῦθα· καθάπερ γὰρ ἐκεῖνος εἶπεν· "ὄψεσθε ἐκ δεξιῶν" "τοῦ Θεοῦ τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον," καὶ βλασφημίαν τὸ πρᾶγμα καλέσαντες ὥρμησαν ἐπ' αὐτὸν, οὕτω δὴ καὶ ἐνταῦθα· ἐκεῖ διέρρηξαν τὰ ἱμάτια· ὧδε τὰ ὦτα συνέσχον. Καὶ μετ' ὀλίγα—Καὶ μὴν εἰ ἐψεύδετο, ὡς μαινόμενον ἔδει ἀφεῖναι· ἀλλ' ἐβούλετο αὐτοὺς ἐπάγεσθαι· ἐπειδὴ γὰρ εἶπε περὶ τοῦ θανάτου, καὶ περὶ ἀναστάσεως οὐδὲν διελέχθη· καὶ τοῦτο ἠθέλησε προσθεῖναι τὸ δόγμα, καὶ οὕτως αὐτῷ ἐφάνη· ἵνα κἂν οὕτω δέξωνται

[h] Cod. ὑπὲρ ἄνω.

Ἰουδαῖοι. ἐπειδὴ γὰρ τὸ καθίσαι φορτικὸν ἦν αὐτοῖς, τέως τὸν περὶ ἀναστάσεως κινεῖ λόγον· διὰ τοῦτο καὶ τὸ πρόσωπον αὐτοῦ δεδόξαστο· ὁ γὰρ Θεὸς φιλάνθρωπος ὤν, δι' ὧν ἐπεβούλευον, διὰ τούτων ἐβούλετο αὐτοὺς ἀνακαλέσασθαι· καὶ ὅρα ὅσα σημεῖα γίνεται.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.

Τοῦ Χρυσοστόμου. Πάλιν ἔξω τῆς πόλεως, ὥσπερ ἐπὶ τοῦ Χριστοῦ· καὶ ἐν αὐτῷ τῷ θανάτῳ ὁμολογία καὶ τὸ κήρυγμα.

Ἀρσενίου. "Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν." πῦργον ᾠκοδόμουν παραπέμποντα αὐτὸν εἰς τὸν οὐρανόν.

Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου.

Ὅρα πῶς ἀκριβῶς περὶ Παύλου διηγεῖται, ἵνα σοι δόξῃ[1] θείαν τὴν ἐνέργειαν. μετὰ δὲ ταῦτα πάντα οὐ μόνον οὐκ ἐπίστευσεν ἐκεῖνος, ἀλλὰ καὶ μυρίαις αὐτὸν ἔβαλε χερσί· διὰ γὰρ τοῦτο φησίν, "Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ."

Συμπαρὼν τῇ ἀναιρέσει Στεφάνου τοῦ Ἀποστόλου καὶ Μάρτυρος, κοινωνός τε ἦν τοῦ φόνου, τὰ πάντων ἱμάτια τῶν λιθοβολούντων αὐτὸν καταδεξάμενος φυλάσσειν· ἵνα τὰς πάντων χεῖρας χρήσηται πρὸς τὸν φόνον.

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα, Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.

Ἀθανασίου. Ταῖς πολλαῖς ὡς εἰπεῖν χερσὶν, ὧν αὐτὸς ἐτήρει τὰ ἱμάτια, τὸν Στέφανον λιθάζων.

Δεικνύντος ἦν τοῦτο, ὅτι οὐκ ἀπόλλυται, καὶ διδάσκοντος αὐτούς.

Σημειωτέον ὅτι τὴν ψυχὴν τὸ πνεῦμα καλεῖ.

Τοῦ ἁγίου Κυρίλλου εἰς τὸ "Πάτερ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου." Μέγα πάλιν καὶ ἐξαίρετον κατόρθωμα ταῖς ἡμετέραις ψυχαῖς, διὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἐπειδὴ γὰρ δεδικαιώμεθα διὰ τῆς πίστεως τῆς εἰς αὐτὸν, καὶ ἐν αὐτῷ τὸ ἀπλημμελὲς ἡ ἀνθρώπου φύσις εὑρέθη πλουτήσασα· καὶ κεκαινοτόμηκεν ἡμῖν, τὸ μηκέτι μὲν εἰς ᾅδου τρέχειν τὰς τῶν

[1] Leg. δείξῃ.

σωμάτων ἀπαλλαττομένας ψυχὰς καθὰ καὶ πρώην, πέμπεσθαι δὲ μᾶλλον εἰς χεῖρας Θεοῦ ζῶντος· καὶ τοῦτο εἰδὼς ὁ ἅγιος ἔφη Στέφανος, "Κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά μου." Καὶ ὁ μακάριος δὲ γράφει Πέτρος· "ὥστε καὶ πάσχοντες κατὰ θέλημα τοῦ Θεοῦ, "πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ἑαυτῶν ψυχάς."

60 Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ
στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ τοῦτο εἰπὼν
1 ἐκοιμήθη. Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐ-
τοῦ.

Τοῦ αὐτοῦ. Ὥσπερ γὰρ ἀπολογούμενος ὅτι οὐδὲ τὰ πρότερα ἦν θυμοῦ, φησὶ, "Κύριε" καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι· τὸ γὰρ ἀφεῖναι μὲν τὸν θυμὸν καὶ τὴν ὀργὴν τῷ φόνῳ, καθαρθῆναι δὲ τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον.

Τοῦ αὐτοῦ. Καὶ οὐχ ἁπλῶς εὔχεται ὁ μακάριος οὗτος, ἀλλὰ μετὰ προσοχῆς θεὶς τὰ γόνατα· ὅρα θεῖον αὐτοῦ τὸν θάνατον· μέχρι τούτου συνεχώρησε τὴν ψυχὴν εἶναι ἐν αὐτῷ ὁ δεσπότης.

Ἐν προοιμίοις τοῦ κηρύγματος ὁ Στέφανος ὑπὲρ τοὺς ποταμοὺς ῥέων καὶ πάντας ἐπιστοματίζων, ὁ τὰς ἀναισχύντους ἀποφράττων Ἰουδαίων γλώττας, ᾧ οὐδεὶς ἀντιστῆναι ἠδύνατο, ὁ πάντα συγχεὶς τὰ Ἰουδαϊκὰ, ὁ λαμπρὸν στήσας τρόπαιον καὶ νίκην περιφανῆ, ὁ γενναῖος οὗτος καὶ σοφὸς, καὶ χάριτος πεπληρωμένος, καὶ τοσαύτην ἐκκλησίαν ὠφελῶν, οὐδὲ πολὺν χρόνον ποιήσας ἐν τῷ κηρύγματι, ἀθρόον ἡρπάγη· καὶ ὡς βλάσφημος κατεδικάζετο καὶ κατελιθοβολεῖτο.

Τοῦ αὐτοῦ. Σημεῖον μεγίστον ἐκφέρων τῆς εἰς Θεὸν ἀγάπης. ὥσπερ γὰρ ὁ καταρώμενος τῷ διώκοντι δείκνυσιν ὅτι οὐ σφόδρα χαίρει ὑπὲρ τοῦ Χριστοῦ ταῦτα πάσχων, οὕτως ὁ εὐλογῶν πολὺν ἐμφαίνει αὐτοῖς τὸν ἔρωτα.

Τοῦ αὐτοῦ. Τί οὖν οὐκ ἔστησεν αὐτοῖς τὸ ἁμάρτημα, ἀλλ' ἀφήθη φησίν; εἰ μετενόησαν ἀφήθη· καὶ γὰρ ὁ μυρίαις βάλλων αὐτὸν χερσὶ, καὶ διώξας τὴν ἐκκλησίαν Παῦλος, τῆς ἐκκλησίας προστάτης ἐγένετο.

ΚΕΦ. Θ[i].

Περὶ διωγμοῦ τῆς Ἐκκλησίας καὶ ταφῆς Στεφάνου.

Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς πάλιν πειρασμοὺς συγχωρεῖ ὁ Θεὸς γίνεσθαι· ὅρα καὶ παρατήρει ὅπως οἰκονομεῖται τὰ πράγματα· ἐθαυμάσθησαν διὰ τὰ σημεῖα· μαστιχθέντες οὐδὲν ἔπαθον· κατέστησαν ἐπὶ τῶν χειρῶν, ηὔξανε ὁ λόγος· πάλιν συγχωρεῖ κώλυμα μέγα γενέσθαι καὶ διωγμὸς οὐχ ὁ τυχών. ἐφοβοῦντο γὰρ θρασυτέρους αὐτοὺς γενομένους· καὶ ἅμα δείκνυται ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι, οἱ φεύγοντες· ἵνα μὴ σὺ μετὰ ταῦτα λέγῃς, ὅτι χάριτι μόνῃ κατώρθουν, καὶ ἐδιώκοντο, καὶ αὐτοὶ δειλότεροι γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι.

Πάντες δὲ διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν Ἀποστόλων.

Τοῦ αὐτοῦ. Τοῦτο οἰκονομία ἦν. ὡς μηκέτι λοιπὸν ἐν Ἱεροσολύμοις πάντας καθῆσθαι, ἀδεῶς δὲ ἐπεμίγνυντο τῇ Σαμαρείᾳ λοιπὸν οἱ ἀκούοντες "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε" πλὴν τῶν Ἀποστόλων φησὶ, καὶ ταύτῃ προσάγεσθαι βουλόμενοι τοὺς Ἰουδαίους, ἀλλὰ μὴ καταλείψειν τὴν πόλιν, καὶ ἑτέροις γενέσθαι θράσους αἴτιοι.

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς,

Τοῦ αὐτοῦ. Εἰ εὐλαβεῖς ἦσαν, διατί κοπετὸν ἐποίησαν; οὔπω ἦσαν τέλειοι· ἐπίχαρις ἦν ὁ ἄνθρωπος, καὶ τοῦτο δείκνυσιν ἀνθρώπους ὄντας, οὐχὶ ὁ φόβος μόνον ἀλλὰ καὶ ἡ λύπη καὶ ὁ κοπετός· τίς οὐκ ἂν ἔκλαυσεν ὁρῶν τὸν ἥμερον ἐκεῖνον καὶ ἀρνειὸν λιθόλευστον γενόμενον καὶ κείμενον νεκρόν; ἱκανὸν αὐτοῦ ἐπιτάφιον εἶπεν ὁ Εὐαγγελιστὴς τὴν φωνὴν ταύτην, "μὴ στήσῃς αὐτοῖς τὴν "ἁμαρτίαν ταύτην."

Καὶ ἐποίησαν κοπετὸν μέγαν ἐπ' αὐτῷ.

Διδύμου. Ὥσπερ οὐ πᾶν κέρδος ἀποδέχεσθαι δεῖ, ἢ μόνον τὸ πρὸς τὴν κυρίως ὠφέλειαν συντελοῦν· οὕτως οὐκ ἐπὶ πάσῃ ζημίᾳ ἢ συμφορᾷ δυσχεραίνειν χρὴ, ἀλλ' ἐπὶ μόνων τῶν βλαπτόντων

[i] Notandum est neque in nostro Codice neque in Coislin. apparere tit. Cap. H. quod Œcum. orditur ab Ἰουδαίων ἐπανάστασις καὶ συκοφαντία περὶ Στεφάνου.

ψυχήν· ἐπεὶ τοίνυν καὶ ὁ Στέφανος σὺν ἀνθρώποις πρὸς θεοσέβειαν τοῖς ποθοῦσιν αὐτῇ πολὺ συνεβάλετο· ἀκόλουθον ἦν ἐπὶ τῇ ἀναιρέσει αὐτοῦ, ἀνιαρῶς φέρειν στερηθέντας ἀνδρὸς τοιούτου, οὐ μὴν δὲ ὅτι τούτῳ κοπετὸς μέγας γέγονε τῶν ὑστερηθέντων αὐτοῦ, ἀναγκαῖον ἐστὶ καὶ ἐπὶ θανάτῳ τῶν τυχόντων, κἂν ἄλλως φιλτάτοις ὦσιν, ὀλοφύρεσθαι, λυπουμένους πέρα τοῦ μέτρου· τύπον γὰρ καὶ περὶ τούτων δίδωσιν ὁ Σωτὴρ, μέχρι τοῦ δακρύσαι ἐπὶ τῷ ἀγαπωμένῳ Λαζάρῳ τεθνηκότι ἔφθασεν.

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴ-
κους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας
4 παρεδίδου εἰς φυλακήν· οἱ μὲν οὖν διασπαρέντες διῆλθον,
εὐαγγελιζόμενοι τὸν λόγον,

Τοῦ Χρυσοστόμου. Πολλὴ ἡ μανία τὸ καινὸν αὐτὸν εἶναι, τὸ καὶ εἰς τοὺς οἴκους εἰσιέναι· τὴν γὰρ ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ τοῦ νόμου· "συρὼν[k]," φησὶν, "ἄνδρας καὶ γυναῖκας." ὅρα καὶ τὴν παρρησίαν καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν· τοὺς ἐμπίπτοντας ἅπαντας μυρίοις διετίθει κακοῖς· ἀπὸ γὰρ τῆς σφαγῆς ταύτης θρασύτερος γέγονεν.

Τοῦ αὐτοῦ. Ἐνίσχυσε, φησὶν, ὁ διωγμός· ἀλλὰ τότε μάλιστα προκατεχομένους ἐξείλετο· ἐπετείχισε γὰρ αὐτοῖς τὰ σημεῖα· οὐδὲ ὁ θάνατος Στεφάνου ἔσβεσεν αὐτῶν τὸν θυμὸν, ἀλλ' ἐπέτεινε μᾶλλον· ἐσκόρπισε τοὺς διδασκάλους, ὥστε πλείονα γενέσθαι τὴν μαθητείαν· καὶ χαρὰ ἦν· καίτοι κοπετὸς ἦν μέγας· ἀλλ' ὅρα πάλιν τὰ χρηστά. ἱκανοῦ χρόνου τὸ νόσημα ἦν, ἀλλ' οὗτος αὐτοὺς ἐξείλατο. πῶς δὲ καὶ τὸν Σίμωνα ἐβάπτισεν; ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο.

* Περὶ Φιλίππου τοῦ Ἀποστόλου πολλοὺς ἰασαμένου ἐπὶ τῇ Σαμαρείᾳ.

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας,
6 ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. προσεῖχόν δὲ οἱ ὄχλοι
τοῖς λεγομένοις ὑπὸ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκού-
ειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

Ἰσιδώρου ἐξ ἐπιστολῆς τμζ. Οὐχ ὁ Ἀπόστολος Φίλιππος

[k] Cod. εὑρὼν.

ὁ ἐν τοῖς δώδεκα καταλεγόμενος, ἀλλ᾽ εἷς τῶν ἑπτὰ τῶν μετὰ τοῦ ἀριστέως καὶ ἀρχιστρατηγοῦ τῶν καλλινίκων μαρτύρων Στεφάνου ἐπιλεγεὶς πρὸς τὴν τῶν χηρῶν οἰκονομίαν· οὗτός ἐστιν ὁ καὶ τὸν εὐνοῦχον βαπτίσας, καὶ τὸν Σίμωνα κατηχήσας.

Τοῦ αὐτοῦ ἐξ ἐπιστολῆς τμη. Ἐπειδὴ καὶ μαρτυρίαν ζητεῖς τοῦ πράγματος γραφικὴν, ἄκουε τοῦ παναρίστου Λουκᾶ ἐν ταῖς Πράξεσι γεγραφότος· ἀναιρεθέντος Στεφάνου διωγμὸς ἐγένετο μέγας ἐπὶ τὴν ἐκκλησίαν· "πάντες δὲ διεσπάρησαν κατὰ τῆς χώρας τῆς Ἰουδαίας καὶ τῆς Σαμαρείας, πλὴν τῶν Ἀποστόλων·" ὡς δῆλον εἶναι ὅτι ὁ Ἀπόστολος Φίλιππος σὺν τοῖς ἄλλοις Ἀποστόλοις ἐπὶ Ἱεροσολύμων κατέμεινεν.

Τοῦ αὐτοῦ ἐξ ἐπιστολῆς τμη. Τῶν Ἀποστόλων μόνων ἐν Ἱεροσολύμοις περιλειφθέντων, καὶ πάντων τῶν λοιπῶν μαθητῶν, ἄλλου ἀλλαχοῦ ἐνδιασπαρέντος, ἐν τοῖς διασπαρεῖσιν ἦν καὶ οὗτος ὁ Φίλιππος, ὁ καὶ τὸν Σίμωνα κατηχήσας ἐν Σαμαρείᾳ, καὶ τὸν εὐνοῦχον κατὰ θεῖον χρησμὸν βαπτίσας· ὑπὸ τοῦ Πνεύματος Κυρίου εἰς Ἄζωτον μὲν εὑρέθη· πρὸς δὲ Καισάρειαν ὥρμησε τὴν αὐτὸν ἐνεγκοῦσαν· τῆς γὰρ ἐπὶ Στεφάνου λύπης πειρασθεὶς, καὶ ἴσως δείσας μὴ τῶν ὁμοίων μετάσχῃ, ἐπαλινόστησεν οἴκαδε.

Ἐξ ἐπιστολῆς τν. Ἐπειδὴ πολλῶν ἀποδείξεων ἐρᾷς, ἰδοὺ καὶ ἑτέρα. Φίλιππος μὲν ἔβαπτισε τοὺς ἐν Σαμαρείᾳ μαθητευθέντας· Πέτρος καὶ Ἰωάννης οἱ Ἀπόστολοι καταβάντες ἀπὸ Ἱεροσολύμων πρὸς αὐτοὺς, τὴν τοῦ Πνεύματος χάριν παρέσχοντο· εἰ δὲ ὁ βαπτίσας εἷς τῶν Ἀποστόλων ἐτύγχανεν, εἶχεν τὴν αὐθεντείαν τῆς τοῦ Πνεύματος δόσεως· βαπτίζει δὲ μόνον ὡς μαθητής· τελειοῦσι δὲ τὴν χάριν οἱ Ἀπόστολοι, οἷς ἡ τῆς τοιαύτης δόσεως αὐθεντεία ἐδέδοτο.

7 Πολλοὶ γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχοντο.

Τοῦ Χρυσοστόμου. Τοῦτο γὰρ σημεῖον φανερὸν, ὅτι οὐχ ὡς οἱ μάγοι ἐποίουν· ἴσως γὰρ ἐκεῖνος ἐδέσμει.

Πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν· ἐγένετο δὲ χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

Οὐκ ἦν ἐνταῦθα ἀπάτη· περιπατῆσαι γὰρ ἔδει καὶ ἐνεργῆσαι.

ΚΕΦ. Ι.

Περὶ Σίμωνος τοῦ Μάγου πιστεύσαντος καὶ βαπτισθέντος[m] σὺν ἑτέροις πλείοσιν.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ πόλει
μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων
εἶναί τινα ἑαυτὸν μέγαν.

Πῶς οὖν αὐτὸν οὐκ ἀνεῖλον ὥσπερ Ἀνανίαν καὶ Σάπφειραν; ὅτι καὶ τὸ παλαιὸν ὁ τὰ ξύλα συλλέξας ἀνηρέθη εἰς ἑτέρων σωφρονισμὸν, καὶ οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν, οὕτω καὶ νῦν.

Τοῦ αὐτοῦ. Ὅρα καὶ ἕτερον πειρασμὸν τὸν τοῦ Σίμωνος "λέγων εἶναί τινα ἑαυτόν."

Τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου Κύπρου ἐκ τοῦ β′ λόγου τοῦ Πανααρίου. Ὁ Σίμων οὗτος ὑπεκορίσατο τοὺς Ἀποστόλους· καὶ αὐτὸς δὲ τοῖς ἄλλοις ὁμοίως ὑπὸ Φιλίππου ἐβαπτίσθη μετὰ πολλῶν· οἱ δὲ πάντες χωρὶς αὐτοῦ ἐξεδέξαντο τὴν τῶν μεγάλων Ἀποστόλων παρουσίαν, καὶ διὰ τῆς αὐτῶν χειροθεσίας ἔλαβον Πνεῦμα Ἅγιον· ἐπειδήπερ ὁ [Ἀπόστολος] Φίλιππος Διάκονος ὢν, οὐκ εἶχεν ἐξουσίαν τῆς χειροθεσίας, τοῦ δι' αὐτῆς διδόναι Πνεῦμα Ἅγιον.

10 Ὧι προσεῖχον ἅπαντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέ-
γοντες, οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη.

Τοῦ Χρυσοστόμου. Καὶ ἐπληροῦτο τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· ὅτι ἐλεύσονται ψευδόχριστοι καὶ ψευδαπόστολοι ἐπὶ τῷ ὀνόματί μου.

11 Προσεῖχον δὲ αὐτῷ, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις
12 ἐξεστακέναι αὐτούς. ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ
εὐαγγελιζομένῳ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ
ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τὲ καὶ
γυναῖκες.

Ἀμμωνίου. Σημειωτέον ὅτι οὐ δεῖ μὲν πλησιάζειν μάγοις· πλὴν εἰ ἀπατηθείς τις ἐποίησεν, ἀφιστάσθω ταχέως· ἡ γὰρ ἐπιμονὴ ἡ ἐν τοῖς κακοῖς εἰς ἔκστασιν ἄγει φρενῶν, ὥστε μὴ συνιέναι τὰ γινόμενα διακρῖναι.

[m] Ita Cod. Coisl. et Œcum. ἀνελθόντος Cod. N. C.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν
προσκαρτερῶν τῷ Φιλίππῳ θεωρῶν τε σημεῖα καὶ δυνά-
14 μεις μεγάλας γινομένας, ἐξίστατο. ἀκούσαντες δὲ οἱ ἐν
Ἱεροσολύμοις Ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν
λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ
Ἰωάννην.

Τοῦ Χρυσοστόμου. Οὐ πίστεως ἕνεκεν, ἀλλ᾽ ὥστε γενέσθαι τοιοῦτος.

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως
16 λάβωσι Πνεῦμα Ἅγιον, οὐδέπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν
ἐπιπεπτωκὸς, μόνον δὲ βεβαπτισμένοι ἦσαν εἰς τὸ ὄνομα
17 τοῦ Κυρίου Ἰησοῦ. τότε ἐπιτίθεσαν τὰς χεῖρας ἐπ᾽ αὐ-
τοὺς, καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον.

Τοῦ Χρυσοστόμου. Σημείων μεγάλων γινομένων, πῶς Πνεῦμα οὐκ ἔλαβον; Πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως, τὸ δὲ τῶν σημείων οὐκ ἔλαβον. Καὶ μετ᾽ ὀλίγα—Ὅτι γὰρ τοῦτο ἦν, καὶ τὸ τῶν σημείων Πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς ἰδὼν ὁ Σίμων προσῆλθε τοῦτο αἰτῶν. Καὶ μετ᾽ ὀλίγα—Διατί οὐκ ἦσαν οὗτοι λαβόντες Πνεῦμα Ἅγιον; ἤτοι τοῦ Φιλίππου τιμῶντος τοὺς Ἀποστόλους· ἤτοι τῷ μὴ ἔχειν χάρισμα τοιοῦτον· ἤτοι τῶν ἑπτὰ ἦν, ὅπερ μᾶλλόν ἐστιν εἰπεῖν· ὅθεν μοι δοκεῖ οὗτος ὁ Φίλιππος τῶν ἑπτὰ εἶναι ὁ Στεφάνου δεύτερος, ὁ δὲ τοῦ εὐνούχου τῶν Ἀποστόλων εἶναι· ὅρα δὲ ἐκεῖνοι οὐκ ἐξῄεσαν. ᾠκονομήθη τούτους ἐξελθεῖν· καὶ ἐκείνους ἑτέρως διὰ τὸ Πνεῦμα τὸ Ἅγιον. δυνάμεις γὰρ ἔλαβον ποιεῖν σημεῖα, οὐχὶ δὴ καὶ Πνεῦμα διδόναι ἑτέροις· τοῦτο ἦν τὸ τῶν Ἀποστόλων ἐξαίρετον· καὶ ὅρα τοὺς κορυφαίους, οὐκ ἄλλους τινὰς ἀλλὰ Πέτρον.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Ἰωάννην στρατιώτην ἐπιστολῆς. Καὶ ὁ τελείαν δοὺς τὴν χάριν τῷ εὐνούχῳ Φίλιππος διὰ τοῦ ἁγίου βαπτίσματος, τούτοις ἔδοξε μὴ τελείαν διδόναι, λόγοις ἀρρήτοις τισὶ τοῦ Θεοῦ τὰ τοιαῦτα προοικονομοῦντος· ἵνα καὶ τὰ μετὰ ταῦτα ἀναφύεσθαι μέλλοντα διά τινας αἰτίας ἀτελῆ βαπτίσματα, πρὸς τέλειον ἀποκαθίστασθαι δόξῃ, διὰ τῆς τοῦ Ἁγίου Πνεύματος δόσεως, ἣν τὸ χάρισμα χαρίζεται.

Ἀμμωνίου πρεσβυτέρου. Ἐζήτησέ τίς τοῦτο· διατί ὁ Φίλιππος οὐκ ἐποίησε τοὺς ὑπ' αὐτοῦ βαπτισθέντας μετασχεῖν Πνεύματος Ἁγίου; πρὸς ὃν δεῖ ἀπολογήσασθαι Θεοῦ χάριτι· ὅτι εἰ καὶ τὴν ἀρχὴν ὅτε ἐβάπτισε τοὺς ἐν Σαμαρείᾳ ὁ Φίλιππος, οὐδεὶς ἔλαβε Πνεῦμα Ἅγιον· ἀλλ' οὖν ὕστερον μετὰ τὸ εὔξασθαι Ἰωάννην καὶ Πέτρον, δέδωκε διὰ τῆς τῶν χειρῶν αὐτοῦ ἐπιθέσεως τὸ Ἅγιον Πνεῦμα τοῖς βαπτισθεῖσι· κοινῷ γὰρ ὀνόματι καὶ ἀορίστῳ εἶπεν ἡ γραφὴ, ὅτι διὰ τῶν χειρῶν τῶν Ἀποστόλων ἐπιτιθεμένων ἐπὶ τοῖς πιστοῖς, ἐπέλαμψεν ἡ τοῦ Πνεύματος χάρις· οὐκ εἶπεν ὅτι διὰ μόνου Πέτρου καὶ Ἰωάννου, ἀλλ' ἀπροσδιορίστως εἰπὼν συμπεριέλαβε καὶ τὸν Φίλιππον· ἔπειτα δὲ οὐχ ὡς εὐτελὴς ἢ ἀνάξιος ὁ Φίλιππος οὐ κατήγαγε τὸ Πνεῦμα ἐπὶ τοὺς ὑπ' αὐτοῦ βαπτισθέντας, ὁπότε καὶ αὐτὸς ἀνεγράφη σημεῖα πεποιηκὼς ἐν ἰάσεσι νόσων καὶ ἐκβολαῖς δαιμόνων· ἀλλ' ὅτι οὐκ ηὔξατο τοῦτο αὐτοῖς ὑπάρξαι, οὕτω πολλάκις λογισάμενος εἶναι τέως αὐτοῖς συμφέρον, ὡς ἀκμὴν μὴ οὖσιν ἐπιτηδείοις πρὸς τὴν τοῦ Πνεύματος ὑποδοχήν.

Ὡς ὁρᾷς γὰρ ὁ Σίμων ὁ βαπτισθεὶς ὑπ' αὐτοῦ, ἀκμὴν τὰ τῆς σαρκὸς φρονῶν ᾔτει τὸν Πέτρον διὰ χρημάτων δόσεως λαβεῖν ἐξουσίαν, ᾧ ἂν θέλῃ διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως δοῦναι Πνεῦμα Ἅγιον· ὃν ἀπεσείσατο Πέτρος, ἐπιτρέψας αὐτῷ μετανοῆσαι, εἴπως ἄρα συγχωρηθείη αὐτῷ· διὰ δὲ τοῦτο εἶπεν "εἰ ἄρα "ἀφεθήσεταί σοι·" ἵνα διὰ τοῦ ἀμφιβόλου καταστήσῃ αὐτὸν ἐν φόβῳ, καὶ μετὰ δακρύων καὶ σπουδῆς ἐπιζητήσῃ τὸν Θεόν· πλὴν ὅμως κἀκεῖνο ἔστι στοχάσασθαι, ὅτι διὰ τοῦτο εἶπεν ὁ Πέτρος τοῦτο, ἐπειδὴ ἐδόκει ὁ Σίμων ἀσύγγνωστα ἡμαρτηκέναι ὡς εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσας, διότι δώροις ἐνόμισε τὸν Θεὸν πείθειν· ἢ ὅτι ἐνόμισε τοὺς Ἀποστόλους τοὺς πλήρεις Πνεύματος χρημάτων ἡττᾶσθαι, καὶ ἐνυβρίζειν δι' αὐτῶν τὸ Πνεῦμα, εἴγε ἐν τοιούτοις ἀνθρώποις ἐνοικεῖ τὸ θεῖον Πνεῦμα τοῖς χρήμασι καταδουλουμένοις. ἔπειτα δὲ κἀκεῖνο πάλιν εἰπεῖν δεῖ, ὅτι τὰ πολλὰ ὁ Φίλιππος ἔπραττε νυττόμενος ὑπὸ τοῦ Πνεύματος, καὶ οὐδὲν ἐποίει ἀφ' ἑαυτοῦ· μὴ προτρεπομένου αὐτὸν τοῦ Πνεύματος ἢ ἀγγέλου, ὡς ἐν τοῖς ἑξῆς εὑρήσεις λέγουσαν τὴν γραφήν· "ἄγγελος "δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον λέγων, ἀνάστηθι·" καὶ πάλιν· "εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ, πρόσελθε·" εἰκὸς οὖν ὅτι μὴ

νυχθεὶς ὑπὸ τοῦ Πνεύματος εὔξασθαι καὶ ἐπιθεῖναι αὐτοῖς τὰς χεῖρας, οὐκ ἐπεχείρησεν ἀφ' ἑαυτοῦ τοῦτο ποιῆσαι· ἀλλ' ἀνέμεινε τὴν ἄνωθεν κρίσιν· ὁ δὲ Πέτρος καὶ Ἰωάννης θερμότεροι ὄντες καὶ παρρησιαστικώτεροι ἠνύξαντο Πνεύματος μετασχεῖν τοὺς ἀμετόχους· οἱ δὲ δύο πλείω τοῦ ἑνὸς ἐνεργοῦσιν εἰς εὐχήν· ἐν μέσῳ γὰρ δύο ἢ πλειόνων συναχθέντων ἐπὶ τῷ ὀνόματι τοῦ Θεοῦ Ἰησοῦ, εὑρεθήσεται ταχύτερον. Ἄλλοι δὲ λέγουσιν ὅτι διὰ τοῦτο Φίλιππος οὐ κατήγαγε τὸ Πνεῦμα· ὅτι Διάκονος ἦν μόνον, παρὰ τῶν περὶ Στέφανον προβληθεὶς, οὐ μὴν καὶ Πρεσβυτέρου εἶχεν ἀξίαν ἢ Ἐπισκόπου, ὡς οἱ μαθηταὶ τοῦ Κυρίου· ὅτι δὲ Διάκονος ἦν μαρτυρεῖ ὁ Παῦλος ἐν τοῖς Κανόσιν οὐ μόνον περὶ αὐτοῦ ἀλλὰ καὶ περὶ Ἀνανίου, ὃς ἐβάπτισεν αὐτὸν τὸν Παῦλον, οὐκ ἰδίᾳ αὐθεντίᾳ, ἀλλ' ὑπὸ τοῦ Θεοῦ προτραπέντος τοῦτο ποιῆσαι· καὶ πῶς φησὶ, Διάκονος ὢν ἐβάπτισε; πρῶτον μὲν διὰ τὸ σπάνιν εἶναι Πρεσβυτέρων ἐν Σαμαρείᾳ· ὥσπερ τὸ πλεῖστον γὰρ μόνος ἦν, διὰ τὸν γεγονότα διωγμὸν διασπαρέντων πάντων· ἔξεστι δὲ ἐν ἀνάγκῃ καὶ τῷ Διακόνῳ βαπτίζειν, ἀπορίᾳ Πρεσβυτέρου, καθὼς αὐτὸ τὸ Πνεῦμα ἐδίδαξε· προτρεψαμένου αὐτὸν ἐπὶ τῷ πλησιάσαι τῷ εὐνούχῳ, καὶ πάλιν καὶ ἐξ αὐτοῦ τοῦ εὐνούχου προτραπείς· εἰ δὲ μὴ ἦν θέλημα Θεοῦ ποιῆσαι, οὐκ ἂν μετὰ τὸ βάπτισμα τῇ τῶν χειρῶν ἐπιθέσει ἐπιφοιτᾷ δι' εὐχῆς ἐπὶ τοὺς βαπτιζομένους εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ τὸ Ἅγιον Πνεῦμα· διὸ καὶ μέχρι νῦν οὕτως ἡ τάξις φυλάττεται.

ΚΕΦ. ΙΑ.

Ὅτι οὐκ ἀργυρίου οὐδὲ ὑποκριταῖς, ἀλλ' ἁγίοις διὰ πίστεως ἡ μετοχὴ τοῦ Ἁγίου Πνεύματος δίδοται.

18 Ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν
τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον, προσ-
19 ήνεγκεν αὐτοῖς χρήματα, λέγων, δότε κᾀμοὶ τὴν ἐξου-
σίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ
Πνεῦμα Ἅγιον.

Τοῦ Χρυσοστόμου. *Οὐκ ἂν εἶδεν εἰ μή τι αἰσθητὸν ἐγένετο, ὥσπερ καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλάλουν. ὅρα τὴν μιαρίαν τοῦ Σίμωνος· χρήματα διατί πρόσηνεγκε; καίτοι οὐκ*

εἶδεν αὐτὸν χρημάτων αὐτὸ ποιοῦντα· καὶ οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα, ἀλλὰ πειράζοντος καὶ βουλομένου κατηγορίᾳ περιβαλεῖν· διὰ τοῦτό φησι "οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ," καὶ τὰ ἑξῆς.

* Περὶ ὑποκρίσεως καὶ ἐπιπλήξεως Σίμωνος.

20 Πέτρος δὲ εἶπε πρὸς αὐτὸν, τὸ ἀργύριόν σου σὺν σοὶ
εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας
21 διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος
ἐν τῷ λόγῳ τούτῳ.

Τοῦ αὐτοῦ. *Ἐπειδὴ οὐκ εἰς δέον αὐτῷ κέχρησαι· οὐκ ἔστι ταῦτα ἀρωμένου ἀλλὰ παιδεύοντος, σοί, φησι, τῷ τοιούτῳ· ὡς ἂν εἴτις εἴποι, συναπόλοιτο μετὰ τῆς προαιρέσεως· οὕτω μικρὰ φρονεῖς περὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι προσεδόκησας ὅλως ἀνθρώπινον εἶναι τὸ πρᾶγμα.*

Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας. *Τὰς ἐκκλησιαστικὰς χειροτονίας ἠσφαλίζοντο, ἐξ ὀρθῆς πίστεως καὶ βίου σεμνοῦ τὴν μαρτυρίαν ἐχούσας· ἐφόβει γὰρ αὐτοὺς τὰ ἐπὶ τοῦ Ἱεροβοὰμ κακὰ, ἵνα μὴ μελετὴ καὶ ἔθος τοῖς ἀσεβοῦσι γένηται, χρυσίῳ νομίζειν τὴν τῆς ἱερωσύνης τιμήν.*

Ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἔναντι τοῦ Θεοῦ.

Τοῦ Χρυσοστόμου. *Πάλιν τὰ ἐγκάρδια εἰς μέσον ἄγει, ἐπειδὴ ἐκεῖνος λανθάνειν ἐνόμιζεν· ὁρᾷς ἀπὸ τῆς κακίας πάντα πράττοντα.*

22 Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ
δεήθητι τοῦ Θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς
καρδίας σου.

Ἐξ ἀνεπιγράφου. *Δείκνυται δὲ ὡς ἡ μετάνοια ἱκανὴ πᾶσαν ἁμαρτίαν νικῆσαι διὰ τὸν χαίροντα ἐπὶ τῇ μετανοίᾳ Θεόν· τὸ δὲ ἄρα προσκείμενον διδάσκει, ὡς δυσκατόρθωτον τὸ πρᾶγμα γίνεται τῆς μετανοίας τοῖς εἰς αὐτὸ τὸ θεῖον ἐξαμαρτάνουσιν· εἰς ὃ καὶ Σίμων ἥμαρτεν, ἀργυρίου ὑπακούειν εἰς τὰς ἐνεργείας τὸ Πνεῦμα τὸ Ἅγιον ἡγησάμενος.*

Διδύμου. *Προαιρετικὴ τροπὴ ἢ πίπτει εἰς μόνον τὸν δεκτικὸν ἀρετῆς καὶ κακίας· ὁ δὲ κατὰ τοὺς μύθους τῶν αἱρετικῶν φύσει κακὸς ὢν ἄνθρωπος, οὐκ ἔστι δεκτικὸς τῆς κατὰ βούλησιν μετα-*

βολῆς· ὅθεν παρέλκει τὸ "μετανόησον" λεγόμενον τῷ Σίμωνι ἐκ κατασκευῆς ὄντι κακῷ κατὰ τοὺς ἐκείνων μύθους· ἀλλ' οὐ ματαίως εἴρηται τὸ "μετανόησον οὖν·" αὐτεξούσιος ἄρα καὶ αὐτός· τούτου δὲ μὴ ὄντος φύσει κακοῦ, ἢ ἐπιτεταμένην κακίαν ἔχοντος· οὐδ' ἄλλος τις εὑρεθείη τοιοῦτος.

23 **Εἰς γὰρ χολὴν πικρίας, καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.**

Τοῦ Χρυσοστόμου. Πολλοῦ θυμοῦ τὰ ῥήματα· ἄλλως δὲ οὐκ ἐκόλασεν αὐτὸν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ· ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ· ἵνα μὴ καὶ τὰ τῆς μετανοίας εἰσαγάγῃ, ἀρκεῖ πρὸς διόρθωσιν τὸ ἐλέγξαι τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν· ἀρκεῖ τὸ ἐκεῖνον ὁμολογῆσαι ὅτι ἑάλω· τὸ γὰρ εἰπεῖν ὅτι "δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ·" τοῦτό ἐστιν ὁμολογοῦντος τὸ πλημμέλημα.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ πρὸς τοὺς λεγομένους Καθαροὺς λόγου γ. Πρὸς οὖν τὴν προϋποκειμένην αὐτοῦ πικρίαν, καὶ ταύτην αὐτοῦ τὴν κατὰ τῆς δωρεᾶς τοῦ Θεοῦ τόλμαν καὶ ἐπιχείρησιν, Πέτρος δικαίως ἐκινήθη, καὶ κινηθεὶς εἶπε πρὸς αὐτὸν, "τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν" εἰ καὶ μὴ δεῖ, ἀλλὰ διὰ τὴν τόλμαν σου ταύτην, "ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ·" καὶ τοσαῦτα κατ' αὐτοῦ εἰπὼν ὀρθῶς καὶ δικαίως, οὐδὲν τούτων ἀνίατον ἡγησάμεθα τῷ τῆς μετανοίας φαρμάκῳ· θεραπευτικὰ δὲ ταῦτα κρίνας εἶναι, ἐπήγαγε "μετανόησον οὖν ἀπὸ τῆς κακίας σου καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου·" μέγα γάρ σοι καὶ τοῦτο· καὶ μὴ ἤδη τὴν δωρεὰν οὕτως ἀκαθάρτως καὶ ῥυπαρῶς διὰ χρημάτων σπεῦδε· ἀλλὰ τέως τῆς πικρίας σου καὶ τῆς κακῆς ταύτης ἐπινοίας παυσάμενος, "μετανόησον, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου·" οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὅτι τὰ δυσίατα πάθη οὐκ ἀνίατα μέντοι ἀλλὰ δυσίατα· εἰ γὰρ ἦν ἀνίατον, περισσὸν ἦν τὸ "μετανόησον ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου·" ἀλλ' ὅτι ἡ μετάνοια μὲν ἰσχύει διὰ τούτων· ὅτι δὲ μετὰ πολλῆς μετανοίας καὶ ἐπιμελείας χρεία τοῖς βαρυνθεῖσιν εἰς κακίαν, παριστῶν ἐπήγαγεν, "εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπί-

“ νοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον “ ἀδικίας ὁρῶ σε ὄντα·” καὶ τοσοῦτον ἴσχυσεν ἡ εἰς μετάνοιαν προτροπὴ τοῦ μεγάλου τούτου Ἀποστόλου, καὶ πρὸς τοσοῦτον μάγον, καὶ πρὸς τὸν οὕτω χολῆς καὶ πικρίας μεστὸν, καὶ τοσούτων κακῶν πεπληρωμένον, ὡς ἤδη ἐπιμελείας ἑαυτὸν δοῦναι, καὶ ταῦτα αὐτῷ εἰπόντι τὴν γραφὴν ἐπιμαρτυρεῖν· “ δεήθητε ὑμεῖς ὑπὲρ “ ἐμοῦ πρὸς τὸν Κύριον·” οὐ γὰρ ἐμοὶ παρρησία μέτεστιν· “ ὅπως “ μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε·” οὔτε δὲ ἀπηγόρευσε ταῦτα αὐτῷ ὁ θεῖος Ἀπόστολος, οὔτ' ἀπηρνήσατο· πῶς γὰρ ὁ καὶ ὑποθέμενος καὶ εἰπών; τοσοῦτον δὲ ὠφελήθη οὗτος αὐτὸς ὁ τηλικοῦτος μάγος ἀπὸ τῆς ἐλπίδος τῆς εἰς μετάνοιαν, ὡς ἤδη τοσοῦτον τῆς πονηρίας καὶ πικρίας αὐτὸν μεταβληθέντα εἰπεῖν, ἐγὼ μὲν οὐκ εἰμὶ ἱκανὸς ὑπὲρ ἐμαυτοῦ δεηθῆναι, “ ὑμεῖς δὲ δεήθητε ὑπὲρ ἐμοῦ “ πρὸς Κύριον.”

24 Ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε, δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν[n] ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε.

Τοῦ Χρυσοστόμου. Καὶ τοῦτο ἀφωσιωμένως ἐποίει· δέον κλαῦσαι καὶ πενθῆσαι “ εἰ ἄρα ἀφεθήσεταί σοι·” οὐχ ὡς συγχωρηθέντος ἂν αὐτῷ εἰ ἔκλαυσεν, ἀλλ' ἔθος καὶ τοῖς προφήταις τοῦτο ἀπαγορεύειν, καὶ μὴ λέγειν, ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρηθήσεταί σοι· ἀλλ' ὅτι πάντως ἔσται ἡ τιμωρία. σὺ δέ μοι θαύμασον, πῶς καὶ ἐν καιρῷ συμφορᾶς οὐκ ἠμέλουν, ἀλλὰ τοῦ κηρύγματος εἴχοντο. ὅρα δὲ καθάπερ ἐπὶ Μωϋσέως ἀπὸ συγκρίσεως ἐγένετο τὰ θαύματα· οὕτω καὶ ἐνταῦθα μαγεία ἦν· καὶ οὕτω φανερὰ ταῦτα σημεῖα ἦν. καίτοι οὐδένα ἔδει εἶναι ἐκεῖ δαιμονῶντα, εἴγε ἱκανῷ χρόνῳ ἦν ταῖς μαγείαις ἐξιστῶν αὐτούς. εἰ δὲ πολλοὶ οἱ δαιμονῶντες, πολλοὶ οἱ παραλυτικοί· ἐκεῖνα οὐκ ἀλήθεια ἦν· οὗτος δὲ λόγῳ αὐτοὺς προσήγετο, περὶ βασιλείας καὶ Χριστοῦ διαλεγόμενος.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου.

Τοῦ Χρυσοστόμου. Ἴσως διὰ τὸν Σίμωνα, ἵνα μὴ ἀπατῶνται, ἵνα λοιπὸν ἀσφαλεῖς ὦσιν.

[n] μὴ Cod.

Ὑπέστρεφον εἰς Ἱεροσόλυμα, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίζοντο.

Τοῦ αὐτοῦ. *Διατί πάλιν ἄπεισιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν τῶν κακῶν, ἔνθα οἱ μάλιστα φονῶντες; καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσιν.*

ΚΕΦ. ΙΒ.

Ὅτι τοῖς ἀγαθοῖς καὶ πιστοῖς εὐοδοῖ ὁ Θεὸς τὴν σωτηρίαν[o], *δῆλον ἐκ τῆς κατὰ τὸν εὐνοῦχον ὑποθέσεως.*

26 *Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων,*
ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν
τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· αὕτη
27 *ἐστὶν ἔρημος. καὶ ἀναστὰς ἐπορεύθη.*

Τοῦ αὐτοῦ. *Ἐμοὶ δοκεῖ τῶν ἑπτὰ οὗτος εἶναι, οὐ γὰρ ἂν ἀπὸ Ἱεροσολύμων πρὸς μεσημβρίαν ἀπῄει ἀλλὰ πρὸς ἄρκτον· ἀπὸ δὲ Σαμαρείας πρὸς μεσημβρίαν αὕτη ἔστι, φησὶν, ἔρημος, ὥστε μὴ φοβηθῆναι τῶν Ἰουδαίων τὴν ἐπιστασίαν· καὶ οὐκ ἠρώτησε διατί; ἀλλ' "ἀναστὰς ἐπορεύθη·" ὅρα ἀγγέλους συναντιλαμβανομένους τῷ κηρύγματι· καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας· τὸ δὲ θαυμαστὸν καὶ ἐνταῦθα δείκνυται, ὅπερ δὲ πάλαι σπάνιον ἦν, καὶ μόλις ἐγίνετο, τοῦτο ἐνταῦθα εὐχερῶς· ὅρα μεθ' ὅσης ἀφθονίας· ἅμα δὲ καὶ παραμυθία αὐτοῖς ἦν· ὅτι καὶ τῶν ἀλλοφύλων κρατήσουσι· καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον ἱκανὸν αὐτοὺς ἆραι· διατί μὴ τῷ εὐνούχῳ φαίνεται καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον; ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ κἂν ἐξεπλάγη μᾶλλον.*

Καὶ ἰδοὺ, ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης
βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης
28 *αὐτῆς· ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλὴμ, ἦν*
τε ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ,
καὶ ἀνεγίνωσκεν Ἡσαΐαν τὸν προφήτην.

Τοῦ αὐτοῦ. *Μεγάλα ἐγκώμια τούτου, εἴγε καὶ ἐν Αἰθιοπίᾳ μένων, καὶ τοσούτοις κυκλούμενος πράγμασι, καὶ ἑορτῆς οὐκ οὔσης, καὶ ἐν τῇ δεισιδαίμονι πόλει ὢν, ἤρχετο προσκυνήσων εἰς Ἱεροσόλυμα· καὶ πολλὴ ἡ σπουδὴ, ὅτι γε καθήμενος ἐπὶ τοῦ ὀχήματος*

o *εὐοδοῖ τὴν σωτηρίαν ὁ Θεὸς* Œcum.

ἀνεγίνωσκε· καὶ ὅρα ἐν ποίῳ καίρῳ· ἐν τῷ χαλεπωτάτῳ καύματι.

'Ἐξ ἀνεπιγράφου. 'Ενταῦθα πεπλήρωται ἡ προφητεία ἡ λέγουσα "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ."

Κανδάκην Αἰθίοπες πᾶσαν τὴν τοῦ βασιλέως μητέρα καλοῦσιν· οὕτω Βίων ἐν πρώτῳ Αἰθιοπικῶν[p]· "Αἰθίοπες τοὺς βασιλέων πα- "τέρας οὐκ ἐκφαίνουσιν, ἀλλ' ὡς ὄντας υἱοὺς ἡλίου παραδιδόασιν· "ἑκάστου δὲ τὴν μητέρα καλοῦσι Κανδάκην."

29 Εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ, πρόσελθε, καὶ κολ-
30 λήθητι τῷ ἅρματι τούτῳ. προσδραμὼν δὲ ὁ Φίλιππος
ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος 'Ησαΐαν τὸν προφήτην·

Τοῦ Χρυσοστόμου. Καὶ τοῦτο αὐτοῦ τῆς φιλοσοφίας· τὸ τὸν προφήτην τοῦτον μετὰ χεῖρας ἔχειν, τῶν ἄλλων ὄντα ὑψηλότερον· οὐχ ἁπλῶς ὡς ἔτυχεν αὐτῷ διηγεῖται ἀλλ' ἡμέρως.

Σευήρου. 'Εν χερσὶ μὲν ἱστόρηται φέρειν 'Ησαΐου τοῦ προφήτου βίβλιον· καὶ φιλοπόνως μὲν ἐγκεῖσθαι τῇ ἀναγνώσει, τῇ δὲ διανοίᾳ μὴ γινώσκειν ἃ διὰ γλώττης ἐφθέγγετο· καὶ ὡς οὕτως ἔχοντα φιλοθέως αὐτὸν εἶδεν ὁ τῶν καρδιῶν θεατὴς, ὁ βουλόμενος πάντας ἀνθρώπους πίστει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τὸν Φίλιππον αὐτῷ, τῶν οἰκείων μαθητῶν ἕνα, κατὰ τὴν ὁδὸν ἀδοκήτως ἐπέστησεν· ὃς ἐξ αὐτῶν ὧν ἀνεγίνωσκε τῆς μυσταγωγίας ἀρξάμενος, καὶ τὸν τοῖς ῥήμασι τοῖς προφητικοῖς ἐγκεκρυμμένον νοῦν ἀνακαλύψας, καὶ εἰς τὸ ἐμφανὲς ἀγαγὼν, ἔδειξεν ὡς ὁ ὑπὸ τῶν προφητῶν ἐπηγγελμένος ἐπὶ σωτηρίᾳ τοῦ τῶν ἀνθρώπων γένους παρέσεσθαι, Χριστὸς ἦν 'Ιησοῦς· ὁ σαρκωθεὶς ἀτρέπτως δι' ἡμᾶς τοῦ Θεοῦ Λόγος, ὁ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθεὶς, καὶ τὸν σωτήριον σταυρὸν ὑπὲρ ἡμῶν ἐθελοντὴς ὑπομείνας, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ θανάτου καταλύσας τὸ κράτος· καὶ πρωτοτοκος ἡμῶν γενόμενος ἐκ νεκρῶν, καὶ τῆς ἐλπιζομένης ἡμῖν ἀθανασίας διὰ τῆς ἰδίας σαρκὸς ἀπαρξάμενος, ἣν καθ' ὑπόστασιν ἥνωσεν ἑαυτῷ, ψυχὴν ἔχουσαν λογικήν τε καὶ νοεράν· καὶ τελείαν ἡμῖν τὴν σωτηρίαν χαρίσεται.

31 Καὶ εἶπεν, ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ

[p] Cf. Athen. XIII. 566.

εἶπεν, πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; παρεκάλεσέ τε τὸν Φίλιππον, ἀναβάντα καθίσαι σὺν αὐτῷ.

Τοῦ Χρυσοστόμου. *Ὅρα πάλιν εὐλάβειαν, ὅτι οὐκ εἰδὼς ἀνεγίνωσκεν· εἶτα μετὰ τὸ ἀναγνῶναι ἐξετάζει.*

32 *Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος· οὗτος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.*

Εἰρηναίου. *Τοῦτον εἶναι Ἰησοῦν καὶ πεπληρῶσθαι ἐν αὐτῷ τὴν γραφὴν, ὡς αὐτὸς ὁ εὐνοῦχος πεισθεὶς καὶ παραυτίκα ἀξιῶν βαπτισθῆναι ἔλεγε, "πιστεύω τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι Ἰησοῦν "Χριστόν·" ὃς καὶ ἐπέμφθη εἰς τὰ κλίματα Αἰθιοπίας κηρύξων τοῦτο ὅπερ ἐπίστευσε· Θεὸν μὲν ἕνα τὸν διὰ τῶν προφητῶν κεκηρυγμένον, τούτου δὲ τὸν Υἱὸν τὴν κατὰ ἄνθρωπον ἤδη πεποιῆσθαι παρουσίαν, καὶ "ὡς πρόβατον εἰς σφαγὴν ἤχθη," καὶ τὰ λοιπὰ, ὅσα οἱ προφῆται λέγουσι περὶ αὐτοῦ.*

Τοῦ Χρυσοστόμου. *Ὅρα πως οἰκονομεῖται· πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ· εἶτα ἀναγινώσκει αὐτὴν τὴν μαρτυρίαν· ἔνθα ἦν τὸ πάθος, καὶ ἡ ἀνάστασις, καὶ ἡ δωρεά.* Καὶ μετ' ὀλίγα— Καλῶς *ὁ εὐνοῦχος οὐκ εἶδεν εἰς τὸ σχῆμα· οὐκ εἶπεν, σὺ τίς εἶ; οὐκ ἐμέμψατο, οὐκ ἀλαζονεύεται, οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν· διὸ καὶ μανθάνει· ἐπιδεικνύει τὸ τραῦμα τῷ ἰατρῷ· συνεῖδεν ὅτι καὶ οἶδε ταῦτα, καὶ βούλεται διδάξαι.*

Κυρίλλου. *Ἐμφανὴς μὲν λίαν τῶν προκειμένων ὁ νοῦς. ἀποφέρονται γὰρ εἰς τὸ καρθῆναι κατὰ καιροὺς τὰ πρόβατα, καὶ τὰς κουρίδας μαχαίρας ἐπιφέρουσιν οἱ ποιμένες· καίτοι πάσχοντα, τοῖς τοῦτο δρῶσιν οὐκ ἐπιπηδᾷ· οὕτως καὶ ὁ* Χριστὸς *λοιδορούμενος οὐκ ἀντιλοιδόρει· πάσχων οὐκ ἠπείλει· ἐπειδή περ καὶ ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς πεπρᾶχθαι πιστεύεται τὸ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ μυστήριον· διὰ τοῦτό, φησιν, ὅτι "τὴν γενεὰν αὐτοῦ τίς "διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ·" ἀντὶ τοῦ ἐπαίρεται, καὶ ὑψηλοτέρα τῶν ἐπὶ γῆς ἐστιν ἡ ζωὴ αὐτοῦ, τουτέστιν ἡ πολιτεία· αἴρεται δὲ καὶ ἑτέρως, καὶ ὑπὲρ πάντας ἐστὶν ἡ*

ζωὴ αὐτοῦ· τουτέστιν ἡ ὕπαρξις τοῦ μονογενοῦς· ὅταν ἔξω σαρκὸς καὶ οὔπω καθ' ἡμᾶς γενόμενος.

ΘΕΟΔΩΡΟΥ ἩΡΑΚΛΕΙΑΣ. *Τὸ ἑκούσιον τοῦ Σωτῆρος ἐν τῇ πειρᾳ τῶν οἰκονομουμένων σημαίνεται· ὡς γὰρ πρόβατον ἀγόμενον εἰς θυσίαν ἢ ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν, ἀνάγκῃ τε δαμαζόμενα οὐδὲ βληχᾶσθαι τὸ ἐνδόσιμον ἔχει, οὕτως αὐτὸς ἑκὼν ἐν τῷ πάσχειν ἀπεσιώπα.*

33 Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

ΤΟΥ ΑΥΤΟΥ. *Τὴν παράνομον καὶ ἄδικον κρίσιν ἐπ' αὐτῷ γενομένην δηλοῖ τῆς ἀληθείας κρυβείσης.*

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

ΤΟΥ ΑΥΤΟΥ. *Τὴν μετὰ τὴν ἀνάστασιν γενομένην δόξαν, καὶ τὴν ἐν γένει αὐτοῦ ἀξίαν, ἣν ἡ τῶν οἰκονομηθέντων ὑπέδειξε πεῖρα, τίς ἔσται ἱκανὸς λόγῳ φράσαι; αὐτοῦ μὲν θανάτῳ ὑποβαλλομένου, πάντων δὲ εἰς ἀφθαρσίαν χάριτι αὐτοῦ ζωοποιουμένων καὶ πίστει λυτρουμένων.*

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. *Διελθὼν αὐτοῦ τὰ πάθη ἀναπέμπει τὴν τῶν ἀκουόντων διάνοιαν ἐπὶ τὴν τῆς γενέσεως αὐτοῦ φαντασίαν, ἐπιλέγων "τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;" τότε γὰρ μάλιστα μεῖζόν τις λήψεται θαῦμα τῆς τῶν τοσούτων ὑπομονῆς, ὅταν εἰς ἔννοιαν ἔλθῃ, τίς ὢν καὶ ποῖος, καὶ ἐκ Θεοῦ γεγεννημένος μονογενὴς Υἱὸς ταῦτα πάντα ὑπέστη.*

ΣΕΥΗΡΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ἈΝΤΙΟΧΕΙΑΣ ἈΠΟ ΛΟΓΟΥ Μϛ. *Ἦν γὰρ ὁ αὐτὸς καὶ ἀγενεαλόγητος ὡς Θεὸς, καὶ κατὰ σάρκα γένος ἐπιγραφόμενος.*

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ ἘΚ ΤΟΥ ΠΡΟΣ ἸΟΥΛΙΑΝΟΝ ΣΥΝΤΑΓΜΑΤΟΣ. *Τοῦ γὰρ εἰς θάνατον ἑκουσίως καταβεβηκότος ἤρθη ἀπὸ τῆς γῆς ἡ ζωή· καὶ μετεωρίσθη καὶ διήλασε καὶ ὑπερανέβη τοὺς οὐρανοὺς, ὅτι Βασιλεὺς ὑπῆρχε τῆς δόξης, καὶ ἡ αὐτοκαταφύσιν[o] ζωὴ, καὶ Κύριος τῶν δυνάμεων, καὶ θρόνον ἔχων τὸν ἀνωτάτω· καθὰ καὶ αἱ δυνάμεις αἱ ἐν οὐρανοῖς ἐπέγνωσάν τε καὶ ὡμολόγησαν· ἣ καὶ διὰ τὴν περὶ ἡμᾶς οἰκονομίαν, καὶ τὴν ἑκούσιον κένωσιν τῆς κατὰ τὸ*

[o] Sic.

πάθος ἐπὶ γῆς ἀτιμίας καὶ ἀδοξίας ἠνέσχετο· τοῦτο διδούσης εὐλόγως αὐτῷ τῆς καθ' ὑπόστασιν αὐτῷ καὶ ἀδιαιρέτως ἡνωμένης σαρκός· περὶ ἣν τὸ πάθος καὶ ἡ ἐντεῦθεν ἀτιμία συνέβαινε· κατὰ Θεοῦ μὲν τολμωμένη τοῦ σεσαρκωμένου, ψαῦσαι δὲ μηδὲ δυναμένη τοῦ ἀπαθοῦς, ὅπερ ἀδύνατον.

34 Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, δέομαί
σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ,
35 ἢ περὶ ἑτέρου τινός; ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα
αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγε-
λίσατο αὐτῷ τὸν Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. *Τὸ ὅλως εἰδέναι ὅτι ἄλλως καὶ περὶ ἄλλων λέγουσιν οἱ προφῆται, ἢ ὅτι περὶ ἑαυτῶν ἑτέρῳ προσώπῳ διαλέγονται, σφόδρα περιεσκεμμένη ἐστὶν ἡ ἐρώτησις.*

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;

Διδύμου. *Ἐπιστατέον ὡς πολλὴ σπουδὴ ὑπῆρχε τοῖς τελείως χριστιανίζουσι περὶ τὸ αἰσθητὸν βάπτισμα· διττοῦ γὰρ ὄντος τούτου διδομένου· ὅτε μὲν δι' ὕδατος, ὅτε δὲ ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί· οὐ διὰ τὴν ὑπεροχὴν τοῦ ἐν Πνεύματι βαπτίσματος κατεφρόνουν τοῦ σωματικωτέρου· συμβάλλεται γὰρ καὶ τοῦτο εἰς σωτηρίαν, κατὰ τὴν ἀνάστασιν τοῦ σώματος. ἔστι δὲ διὰ τῆς προκειμένης βίβλου τῶν Πραξέων τῶν Ἀποστόλων πολλὰ θηρεῦσαι παραστατικὰ τοῦ χρησίμου τοῦ ἐξ ὕδατος βαπτίσματος.*

37 Εἶπε δὲ αὐτῷ, εἰ πιστεύεις ἐξ ὅλης καρδίας σου
ἔξεστιν· ἀποκριθεὶς δὲ εἶπε, πιστεύω τὸν Υἱὸν τοῦ
38 Θεοῦ εἶναι Ἰησοῦν Χριστόν· καὶ ἐκέλευσε στῆναι τὸ
ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φί-
39 λιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν· ὅτε δὲ
ἀνέβησαν ἐκ τοῦ ὕδατος, Πνεῦμα Ἅγιον ἐπέπεσεν ἐπὶ
τὸν εὐνοῦχον.

Τοῦ Χρυσοστόμου. *Ὁρᾷς ὅτι τὰ δόγματα ἀπηρτισμένα εἶχε· καὶ γὰρ ὁ προφήτης τὸ πᾶν εἶχε, τὴν σάρκωσιν, τὸ πάθος, τὴν*

ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν κρίσιν τὴν μέλλουσαν· εἰ δὲ πολλὴν τὴν ἐπιθυμίαν δείκνυσιν, μὴ θαυμάσῃς· αἰσχύνθητε ὅσοι ἀφώτιστοι τυγχάνετε.

Ἄγγελος δὲ Κυρίου ἥρπασε τὸν Φίλιππον· καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος, ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων.

Τοῦ αὐτοῦ. *Ὅρα προθυμίαν, ὅρα ἀκρίβειαν.*

Τοῦ αὐτοῦ. *Διατί ἥρπασεν αὐτόν; τὸ γενόμενον θαυμασιώτερον ἐδείκνυτο· καὶ τότε οὐκ ᾔδει· ὥστε οὖν ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγένετο· "ἐπορεύετο γάρ," φησι, "χαίρων."*

Τοῦ αὐτοῦ. *Ἵνα θεῖον δειχθῇ τὸ γινόμενον· ἵνα μὴ νομίσῃ ὅτι ἄνθρωπος ἐστὶν ἁπλῶς.*

Διδύμου. *Ἡ προκειμένη ἁρπαγὴ ἰσοδυναμοῖ τῇ ἀναλήψει Ἠλιοῦ· καὶ ἐπεὶ ἁρπαγεὶς ὁ Φίλιππος ἐκ τόπου εἰς τόπον μετηνέχθη, ἀκόλουθον καὶ τὸν Ἠλίαν ἀναληφθέντα ἐκ τοῦ περὶ γῆν τόπου, εἰς ἕτερον χῶρον μετενεχθῆναι· κἂν ὅπου μὲν σημαίνηται τὰ ὀνόματα τῶν τόπων εἰς ἃ μετενέχθησαν, ὅπου δὲ μὴ σημαίνηται. οἱ ἁρπαγέντες καὶ ἀναληφθέντες, Φίλιππος μετὰ τὴν ἁρπαγὴν εὑρέθη εἰς Ἄζωτον· Παῦλος εἰς τρίτον οὐρανὸν καὶ ἕως τοῦ Παραδείσου μετατεθεὶς, ἤκουσεν ἀρρήτων ῥημάτων. Εἰς τοῦτο λήψη καὶ τὸν Ἀμβακούμ· καὶ αὐτὸς γὰρ μετεωρίσθη ὑπὸ ἀγγέλου ἐκ τῆς Ἱερουσαλὴμ εἰς Βαβυλῶνα· Ἠλίας δὲ ἀνελήφθη μετενεχθεὶς οὐκ ἐν ὡρισμένῳ τόπῳ· εἴρηται γὰρ ἀναληφθῆναι αὐτὸν ὡς εἰς τὸν οὐρανόν· αὕτη δὲ ἡ λέξις δηλοῖ ὅτι οὐκ εἰς τὸν οὐρανόν· οὐ μὴν ποῦ γέγονεν ὁρίζει. συμφώνως τοῖς εἰρημένοις καὶ Ἐνὼχ μετατεθεὶς ἐκ τόπου εἰς τόπον γέγονε· σαφῶς γὰρ τοῦτο παρίσταται ἐκ τοῦ μετατεθεῖσθαι αὐτόν. Ἐπειδὴ δὲ οὐκ εἴρηται ποῦ ἐν ταῖς δεδημοσιευμέναις βίβλοις, ἐν ἀποκρύφοις λέγεται ὅτι ἐν τῷ Παραδείσῳ. Ἐὰν οὕτως ἔχῃ, συνεπίσκεψαι καὶ περὶ τοῦ Ἠλιοῦ, μὴ ἄρα τὸ ὡς εἰς τὸν οὐρανὸν ταυτόν ἐστι τοῦ ἐν τῷ Παραδείσῳ· ἀναμφιβόλως δὲ περὶ τοῦ Σωτῆρος εἴρηται, ὡς μετὰ τὴν ἀνάστασιν εἰς τὸν οὐρανὸν ἀνελήφθη· πολλαὶ γὰρ μαρτυρίαι εἰσὶ περὶ τούτου.*

Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος, εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

Τοῦ Χρυσοστόμου. Οὗτος τῶν ἑπτά ἐστι· καὶ γὰρ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ· συμφερόντως οὖν ἥρπασεν αὐτὸν τὸ Πνεῦμα, ἐπεὶ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος, καὶ ἐλύπησεν ἂν ἐκεῖνος ἀνανεύσας καὶ ἀρνησάμενος, οὔπω τοῦ καιροῦ ὄντος.

Τοῦ Χρυσοστόμου. Μέγα καὶ ὁ Φίλιππος ἐκέρδανεν· ὅπερ ἤκουε περὶ τῶν προφητῶν, περὶ Ἐζεκιὴλ, Ἀμβακοὺμ, καὶ τῶν ἄλλων, εἶδεν ἐπ' αὐτοῦ γενόμενον· ἐντεῦθεν δείκνυται πολλὴν ὁδὸν ἀπελθὼν, εἴγε ἐν Ἀζώτῳ εὑρέθη· ἐκεῖ αὐτὸν ἔστησεν, ἔνθα λοιπὸν καὶ εὐαγγελίζεσθαι ἔδει.

ΚΕΦ. ΙΓ.

Περὶ τῆς οὐρανόθεν θείας κλήσεως Παύλου εἰς ἀποστολὴν [o] Χρίστου.

1 Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς
τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ Ἀρχιερεῖ,
2 ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν, πρὸς
τὰς συναγωγὰς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας
ἄνδρας τὲ καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερου-
σαλήμ.

Τοῦ αὐτοῦ. Ἀξίως εἶπε τὸν Παύλου ζῆλον, καὶ δείκνυσιν ὅτι ἐν μέσῳ τῷ ζήλῳ ἕλκεται, καὶ οὐδέπω κορεσθεὶς τῷ φόνῳ Στεφάνου· οὐκ ἐνεπλήσθη τῷ φόνῳ τῆς ἐκκλησίας καὶ τῇ διασπορᾷ. ἰδοὺ τοῦτο ἐπλήρου τὸ παρὰ τῷ Χριστῷ εἰρημένον· ὅτι "οἱ ἀπο- "κτένοντες ὑμᾶς δοξοῦσι λατρείαν προσφέρειν τῷ Θεῷ·" οὗτος δὴ οὖν οὕτως ἐποίει, οὐχ ὡς Ἰουδαῖοι, μὴ γένοιτο· ὅτι γὰρ ζήλῳ ἐποίει, δῆλον ἐκ τοῦ καὶ εἰς τὰς ἔξω πόλεις ἀπιέναι· ἐκεῖνοι δὲ οὐκ ἂν οὔτε τῶν ἐν Ἱεροσολύμοις ἐφρόντισαν· ἑνὸς γὰρ ἦσαν μόνου τοῦ τιμῆς ἀπολαύειν· διατί δὲ εἰς Δαμασκὸν ἐπορεύετο; μεγάλη ἡ πόλις ἦν· βασιλικὴ ἦν· ἐφοβεῖτο μὴ ἐκείνη προκαταληφθῇ· καὶ ὅρα τὸν πόθον καὶ τὴν σφοδρότητα· οὐ προσέρχεται τῷ ἄρχοντι ἀλλὰ τῷ ἱερεῖ.

[o] ἀποστολὴν Cod. Coisl. et Œcum. ἀπόστολον Cod. N. C.

Τοῦ αὐτοῦ. Ὑποκείσθω τοίνυν ὡς ἐν πίνακι ἡ ψυχὴ Παύλου· οὗτος ὁ πίναξ ἔκειτο πρώην ἠσβολωμένος, ἀραχνίων γέμον· οὐδὲν γὰρ βλασφημίας χεῖρον· ἐπειδὴ δὲ ἦλθεν ὁ πάντα μετασκευάζων, καὶ εἶδεν οὐ παρὰ ῥαθυμίαν καὶ βλακίαν οὕτω διαγραφέντα, ἀλλὰ παρὰ ἀπειρίαν, καὶ τὸ μὴ ἔχειν τὰ ἄνθη τῆς εὐσεβείας· ζῆλον μὲν γὰρ εἶχε, τὰ δὲ χρώματα οὐ παρῆν· οὐ γὰρ κατ' ἐπίγνωσιν τὸν ζῆλον εἶχε· δίδωσιν αὐτὸ τῆς ἀληθείας τὸ ἄνθος, τουτέστι τὴν χάριν· καὶ ἀθρόον βασιλικὴν τὴν εἰκόνα ἀπέδειξε. λαβὼν γὰρ τὰ χρώματα, καὶ μαθὼν ἅπερ ἠγνόει, οὐκ ἀνέμεινε τὸν χρόνον, ἀλλ' εὐθέως ἐφάνη τεχνίτης ἄριστος· καὶ πρῶτον δεικνύει τὴν κεφαλὴν βασιλικὴν, τὸν Χριστὸν κηρύττων· εἶτα καὶ τὸ λεῖπον σῶμα τῆς πολιτείας τῆς ἀκριβοῦς. Οἱ μὲν οὖν ζωγράφοι κατακλείσαντες ἑαυτοὺς μετὰ πολλῆς τῆς ἡσυχίας ἅπαντα πράττουσιν, οὐδενὶ τὰς θύρας παρανοίγοντες· οὗτος δὲ ἐν μέσῳ τῆς οἰκουμένης τὸν πίνακα προθεὶς, πάντων ἐναντιουμένων, θορυβουμένων, ταραττόντων, οὕτως εἰργάζετο τὴν βασιλικὴν ταύτην εἰκόνα, καὶ οὐκ ἐκωλύετο· διὸ καὶ ἔλεγε· "θέατρον ἐγενήθημεν τῷ "κόσμῳ·" ἐν μέσῳ γῆς καὶ θαλάσσης καὶ οὐρανοῦ, καὶ τῆς οἰκουμένης ἁπάσης, καὶ τοῦ κόσμου, τοῦ τε αἰσθητοῦ τοῦ τε νοητοῦ, τὴν εἰκόνα ζωγραφῶν. Καὶ μεθ' ἕτερα—Εἶδες ἀγάπην πυρὸς θερμοτέραν; οὕτω καὶ ἡμεῖς ἀγαπήσωμεν τὸν Χριστόν· καὶ γὰρ εὔκολον ἐὰν βουλώμεθα· οὐδὲ γὰρ ἐκεῖνος φύσει τοιοῦτος ἦν· διάτοι τοῦτο καὶ τὰ πρότερα ἀναγράφει τὰ ἐναντία τούτοις· ἵνα μαθὼν ὅτι προαιρέσεως τὸ ἔργον, καὶ βουλομένοις ἅπαντα εὔκολα. μὴ τοίνυν ἀπογνῶμεν, ἀλλὰ κἂν λοίδορος ᾖς, κἂν πλεονέκτης, κἂν ὁτιοῦν, ἐννόησον οὖν ὅτι Παῦλος βλάσφημος ἦν, καὶ διώκτης καὶ ὑβρίστης, καὶ τῶν ἁμαρτωλῶν πρῶτος, καὶ ἐξαίφνης πρὸς αὐτὴν ἀνέβη τὴν κορυφὴν τῆς ἀρετῆς· καὶ οὐδὲν αὐτῷ κώλυμα τὰ πρότερα γέγονε· καίτοι οὐδεὶς οὕτω μετὰ τοσαύτης μανίας ἔχεται κακίας μεθ' ὅσης ἐκεῖνος τοῦ πολέμου τοῦ κατὰ τῆς ἐκκλησίας. Καὶ μετ' ὀλίγα—Καὶ ἡνίκα εἰς τὰς οἰκίας εἰσῄει, καθάπερ θηρίον οὕτως εἰσεπήδα, σύρων, σπαράττων ἄνδρας καὶ γυναῖκας, θορύβου καὶ ταραχῆς πάντα πληρῶν· ἀλλ' ὅμως μετὰ πάντα ἐκεῖνα γέγονε τοιοῦτος, υἱὸς γέγονε· οὐδὲν γὰρ δεῖ πλέον εἰπεῖν. ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱμαρμένης ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προ-

αιρέσεως ἐλευθερίᾳ; ἀκουέτωσαν ταῦτα, καὶ ἐπιστομιζέτωσαν· τὸν γὰρ βουλόμενον γενέσθαι ἀγαθὸν οὐδέν ἐστι τὸ κωλύον, κἂν τῶν πονηροτάτων ἔμπροσθεν ᾖ· καὶ γὰρ πρὸς τοῦτο ἐπιτηδείως μᾶλλον ἔχομεν, ὅσῳ καὶ κατὰ φύσιν ἐστὶν ἡμῶν ἡ ἀρετὴ, καὶ παρὰ φύσιν ἡ πονηρία.

Ἐκ τοῦ προτασσομένου προλόγου τῆς βίβλου τοῦ Ἀποστόλου Παύλου[p]. *Πρῶτος μετὰ τῶν στασιαζόντων ἑωρᾶτο· πανταχῇ σπουδάζων καθαιρεῖν τοὺς τῆς εὐσεβείας λογάδας· πολλάτε ἦν καὶ μεγάλα τὰ παρ' αὐτοῦ κατὰ τῆς ἐκκλησίας γινόμενα, καὶ οὐδὲν εἰς ὑπερβολὴν μανίας ὑπέλιπεν[q]· ἐν τούτῳ γὰρ εὐσεβεῖν καὶ τὰ μέγιστα κατορθοῦν ἐνόμιζε· καθὼς αὐτός τε ἐν ταῖς* Ἐπιστολαῖς *ὁμολογεῖ, καὶ* Λουκᾶς *ἱστορεῖ.* Καὶ μετ' ὀλίγα—*Κομισάμενος δὲ* Παῦλος *παρὰ τῶν ἱερέων ἐπιστολὰς πρὸς τοὺς ἐν* Δαμασκῷ Ἰουδαίους, *ὥρμησε μορμύρων ὥσπερ τις χείμαρρος λάβρος[r] περικλύσειν δοκῶν τοὺς ἐν* Δαμασκῷ *μαθητὰς, καὶ εἰς τὸ τῆς ἀπωλείας αὐτοὺς βάραθρον ἐκπέμψειν. γνοὺς δὲ ὁ* Κύριος *ὅτι ἄδικον μανίαν δικαίᾳ δῆθεν προαιρέσει ἐκέκτητο, ἐν μέσῃ τῇ ὁδῷ ἐπιφανεὶς, ἀπεστέρησε μὲν αὐτὸν τῶν ὀψέων[s] τῷ μεγέθει τοῦ φωτὸς, καὶ εἰς τοσοῦτον μέτεισιν, ὥστε τὸν πάλαι οὐδὲν ὅτι τῶν δεινῶν κατὰ τῆς ἐκκλησίας οὐκ ἐπινοοῦντα, καὶ πάντας τοὺς μαθητὰς ἀπολέσειν ἄρδην προσδοκῶντα, αὐτίκα δὴ τοῦτον καὶ παραχρῆμα ἀγαπητὸν ἑαυτοῦ καὶ πιστότατον ἡγήσασθαι· ἱκέτης γὰρ εὐθὺς τοῦ[t]* Ἰησοῦ, *ὁ πολέμιος γίνεται, καὶ παραύτικα τὸ σύνταγμα τῆς μανίας ἀπορριψάμενος, εἰς πρεσβείαν ἐχώρει, καὶ τὴν εἰς* Χριστὸν *εὐσέβειαν ὡμολόγει.*

Τοῦ Χρυσοστόμου. *Οὕτω γὰρ ἐκαλοῦντο οἱ πιστεύσαντες· ἴσως διὰ τὸ τὴν ὁδὸν τέμνειν τὴν εἰς οὐρανοὺς φέρουσαν.*

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ
Δαμασκῷ, ἐξαίφνης τὲ αὐτὸν περιήστραψε φῶς ἐκ τοῦ
4 οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσε φωνὴν λέγου-
σαν αὐτῷ.

Τοῦ αὐτοῦ. *Διατὶ μὴ ἐν* Ἱεροσολύμοις; *διατί μὴ ἐν Δα-*

[p] Hunc prologum, vulgo Euthalio Diacono attributum, eodem quo hic titulo, invenimus in Cod. Harl. 5588. sæc. xiii. f. 57. [q] ἐνέλειπεν Harl. [r] λαῦρος Cod. [s] τῆς ὄψεως Harl. [t] τῆς Cod. τοῦ Harl.

μασκῷ, ὥστε μὴ ἐξεῖναι ἄλλους ἄλλως αὐτῷ διηγεῖσθαι; ἀλλ' οὗτος ἀξιόπιστος ἦν διηγούμενος, ὁ διὰ τοῦτο ἀπιών. τοῦτο γοῦν λέγει καὶ πρὸς Ἀγρίππαν ἀπολογούμενος· ἡ γὰρ ὑπερβολὴ τοῦ φωτὸς πλήττειν εἴωθε· μέτρα γὰρ ἔχουσιν οἱ ὀφθαλμοί· λέγεται δὲ καὶ φωνῆς ἡ ὑπερβολὴ κωφοὺς ποιεῖν καὶ ἀποπλήγας· ἀλλὰ τοῦτον μόνον ἐπήρωσεν, καὶ ἔσβεσεν αὐτοῦ τὸν θυμὸν τῷ φόβῳ, ὥστε ἀκοῦσαι τὰ λεγόμενα.

Ἀμμωνίου πρεσβυτέρου. Ἑωρακὼς τὸν Ἰησοῦν, καὶ μὴ φέρων τὸ πολὺ τοῦ φωτὸς, ἀπελιθώθη τὸ διορατικὸν τῆς ψυχῆς καὶ τὸ ζωτικόν· διὸ καὶ δοκῶν ἔχειν ὀφθαλμοὺς οὐχ ἑώρα, καὶ ἔχων στόμα οὐκ ἤσθιεν· ἕως οὗ πιστεύσας τῷ Ἀνανίᾳ λέγοντι αὐτῷ τὸν λόγον, ἰάθη· μετὰ γὰρ τὴν πίστιν ἤρξατο βλέπειν· λοιπὸν ἐβαπτίσθη, καὶ οὕτω τροφῆς μᾶλλον τῆς πνευματικῆς μετασχὼν, ἀνέσφηλεν· σημειωτέον δὲ, ὅτι δεῖ πρῶτον βαπτίζειν, καὶ οὕτω μεταδιδόναι τροφῆς· διὸ κακῶς ποιοῦσιν οἱ μετὰ τροφὴν τοὺς τελείους βαπτίζοντες.

5 Σαοὺλ, Σαοὺλ, τί με διώκεις; εἶπε δὲ, τίς εἶ Κύριε; ὁ δὲ, ἐγὼ εἰμὶ Ἰησοῦς, ὃν σὺ διώκεις.

Τοῦ αὐτοῦ. Καὶ οὐδὲν αὐτῷ λέγει· οὐ λέγει πίστευσον, οὐδὲ ὅλως τοιοῦτον οὐδὲν, ἀλλ' ἐγκαλεῖν μονονουχὶ λέγων, τί παρ' ἐμοῦ μέγα ἢ μικρὸν ἠδικημένος ταῦτα ποιεῖς; Καὶ μετ' ὀλίγα—Μὴ νομίσῃς πρὸς ἀνθρώπους εἶναί σοι τὸν πόλεμον. καὶ τὴν φωνὴν τοῦ Παύλου ἤκουσαν οἱ συνόντες αὐτῷ, οὐδένα δὲ ἐθεώρουν πρὸς ὃν ἀπεκρίνατο· τῶν γὰρ ἐλαττόνων αὐτοὺς ἐποίησεν ἀκροατάς· εἰ τῆς φωνῆς ἤκουσαν ἐκείνης, κἂν ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἐθαύμαζον.

Ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ "κλητὸν" ἑαυτὸν ἐκάλεσεν· οὐ γὰρ αὐτὸς εὗρον, φησὶν, ὅπερ ἔμαθον, οὐδὲ οἰκείᾳ κατέλαβον σοφίᾳ· ἀλλὰ διώκων καὶ πορθῶν τὴν ἐκκλησίαν ἐκλήθην· ἐνταῦθα τοῦ μὲν καλοῦντος τὸ πᾶν, τοῦ δὲ κληθέντος οὐδὲν ὡς εἰπεῖν γίνεται, ἢ τὸ ὑπακοῦσαι μόνον Ἰησοῦ Χριστοῦ.

Τοῦ αὐτοῦ. Τέως ὁμολόγησεν ἑαυτὸν δοῦλον.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν νβ ὁμιλίαν. Ὢ φιλανθρωπία δεσπότου, ποῦ κατέβη; Θεὸς ἀνθρώπῳ λέγει, τί με διώκεις; τὸν

πατέρα τὸν ἑαυτοῦ μιμεῖται· καὶ γὰρ ἐκεῖνος τῷ δήμῳ τῷ Ἑβραϊκῷ λέγει· "λαός μου τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; "ἢ τί παρηνόχλησά σοι; ἀποκρίθητί μοι." οὕτω καὶ ὁ υἱὸς αὐτοῦ τῷ Σαύλῳ λέγει· "Σαῦλε τί με διώκεις;" τί οὖν ἐκεῖνος; "τίς "εἶ Κύριε;" εὐθέως τὴν δεσποτείαν ὡμολόγησεν· εἶδες ψυχὴν εὐγνώμονα· "τίς εἶ Κύριε; ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις·" ὢ σοφία δεσπότου· διατί μὴ εἶπεν, ἐγώ εἰμι ὁ Υἱὸς τοῦ Θεοῦ; ἐγώ εἰμι ὁ ἐν ἀρχῇ Λόγος· ἐγώ εἰμι ὁ ἐν δεξιᾷ καθήμενος τοῦ Πατρός· ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων· ὁ τὸν οὐρανὸν τείνας· ὁ τὴν γῆν ἐργασάμενος· ὁ τὴν θάλατταν ἁπλώσας· ὁ τοὺς Ἀγγέλους ποιήσας· ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν· ὁ προὼν καὶ γεννηθείς; διατί μὴ εἶπε τὰ σεμνὰ ἐκεῖνα καὶ μεγάλα καὶ ὑψηλά; ἀλλ' "ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις·" ἀπὸ τῆς κάτω πόλεως, ἀπὸ τοῦ κάτω χωρίου καὶ τοῦ τόπου; διότι ἠγνόει αὐτὸν ὁ διώκων; εἰ γὰρ ᾔδει αὐτὸν, οὐκ ἂν ἐδίωξεν· ἠγνόει ὅτι ἐκ τοῦ Πατρὸς ἦν γεννηθείς· ὅτι δὲ ἀπὸ Ναζαρὲτ ἦν, ᾔδει· εἰ οὖν εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ Υἱὸς τοῦ Θεοῦ· ὁ ἐν ἀρχῇ Λόγος· ὁ τὸν οὐρανὸν ποιήσας, εἶχεν εἰπεῖν, ἄλλος τε ἐκεῖνος, καὶ ἄλλον ἐγὼ διώκω· εἰ εἶπεν αὐτῷ ἐκεῖνα τὰ μεγάλα καὶ λαμπρὰ καὶ ὑψηλὰ, εἶχεν εἰπεῖν, οὐκ ἔστιν οὗτος ὁ σταυρωθείς· ἀλλ' ἵνα μάθῃ ὅτι ἐκεῖνον διώκει τὸν σαρκωθέντα, τὸν μορφὴν δούλου λαβόντα, τὸν μετ' αὐτοῦ συναναστραφέντα, τὸν ἀποθανόντα, τὸν ταφέντα, ἀπὸ τοῦ κάτω χωρίου, λέγει, "ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις·" ὃν οἶδας, ὃν γνωρίζεις, τὸν μετὰ σοῦ ἀναστρεφόμενον· διὰ τοῦτο τὴν δεσποτείαν εὐθέως ὡμολόγησε· κατέβη τοσοῦτον ὁ δεσπότης, ὅσον ὁ δοῦλος ἀναβῆναι ἠδύνατο.

6 Ἀλλ' ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι, ὅτι σε δεῖ ποιεῖν.

Τοῦ αὐτοῦ. Ὅρα πῶς οὐκ εὐθέως πάντα ἐπηγγείλατο, ἀλλὰ προμαλάττει αὐτοῦ τὴν διάνοιαν· οὕτω καὶ τοὺς μαθητὰς ἐκάλεσεν· ἐκ δευτέρου δίδωσιν αὐτῷ χρηστὰς ἐλπίδας, καὶ ὅτι ἀναβλέψει.

Διδύμου. Ἐπεὶ ὁ εἰπὼν τῷ Παύλῳ Ἰησοῦς· "Σαοὺλ, Σαοὺλ τί με διώκεις;" αἴτιος αὐτῷ γέγονε τοῦ μὴ ὁρᾶν, κατηγορούντων

τῶν αἱρετικῶν τοῦ εἰπόντος "τίς ἐποίησε βλέποντα καὶ τυφλόν· οὐκ "ἐγὼ Κύριος ὁ Θεός;" εἰς ἀπορίαν γὰρ αὐτοὺς τὰ τοιαῦτα περιίστησι, διαφόρους θεοὺς λέγοντας· καὶ τοῦ μὲν κατηγοροῦντος ὡς τοῦ μὴ βλέπειν αἰτίου· τὸν δὲ ἕτερον ἀποδεχομένους ἐπὶ τῷ τὸ βλέπειν παρέχειν. ἡμᾶς δὲ τὸν αὐτὸν ὁμολογοῦντας Θεὸν, οὐ θλίψει ταῦτα· μάλιστα εἰδότας, ὅτι προνοητὴς τῶν ὅλων ὑπάρχων, οἶδε τίνι τὸ βλέπειν ὀρέξει καὶ μή· καὶ διατί, καὶ πότε, καὶ πῶς. τὸν γοῦν ἀπὸ γενετῆς[p] τυφλὸν, διὰ τοῦτο οὕτω γεγεννῆσθαί φησιν, ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ· οὐ κακὸν δὲ τὸ αἴτιον τῆς φανερώσεως τῶν ἔργων τοῦ Θεοῦ· διὸ οὐδὲ ἀπεμφαίνει εἰπεῖν ὅτι ὁ Θεὸς τυφλοῖ τινά· καὶ ταῦτα μὲν τοῦ ῥητοῦ συναγορευομένου, δυνατῆς οὔσης καὶ τῆς συναγωγῆς τῷ προσχόντι τῷ, "εἰς κρίμα ἦλθον ἐγὼ εἰς τὸν κοσμὸν τοῦτον, ἵνα οἱ μὴ βλέποντες "βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται·" οὐ γὰρ περὶ αἰσθητῆς ὄψεως ἢ τυφλότητος ταῦτα εἴρηται· μάλιστα διὰ τὸ λεχθὲν πρὸς τοὺς εἰπόντας, "μὴ καὶ ἡμεῖς τυφλοὶ ἐσμέν;" τὸ "εἰ "τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίας."

7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

Διδύμου. Τίς ἡ διαφωνία τῶν ἐν ταῖς Πράξεσιν ἀναγεγραμμένων ἐν τῇ κατὰ Παῦλον ὀπτασίᾳ; ἐν μὲν γὰρ τῇ καθ' ὁδὸν ὀπτασίᾳ ἱστορεῖ ὁ Λουκᾶς, τοὺς μετ' αὐτὸν ὄντας τῆς φωνῆς μὲν ἀκηκοέναι, μηδένα δὲ θεωρῆσαι· ἐν δὲ τῷ διηγεῖσθαι τὸν Παῦλον ἐπὶ τῶν ἀναβαθμῶν τὴν αὐτὴν ὀπτασίαν, λέγει τοὺς μετ' αὐτὸν ὄντας τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι· κατὰ μὲν τὴν ἱστορίαν ὁ Χρυσόστομος πάνυ ἡρμήνευσε τὸν τόπον· ἔφη, ὅτι ἡ πρώτη ἐξήγησις ἡ λέγουσα, τῆς φωνῆς ἤκουον οἱ συνόντες, τῆς Παύλου φωνῆς λέγει ἀκούειν αὐτοὺς τῆς λεγούσης, "τίς εἶ Κύριε;" οὐδένα δὲ ἔβλεπον ἄνθρωπον εἰ μὴ Παῦλον· ἡ δὲ δευτέρα ἐξήγησις ἡ λέγουσα, τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι, φωνῆς λέγει τῆς τοῦ Κυρίου πρὸς τὸν Παῦλον γεγενημένης, μόνον δὲ τὸ φῶς τεθεᾶσθαι.

[p] ἀπογεννητῆς Cod.

8 Ἠγέρθη δὲ Σαῦλος ἀπὸ τῆς γῆς· ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε.

Εὐσεβίου. Παρεδόθη τῇ τυφλότητι ὥσπερ στρατιώτῃ φυλάττεσθαι, μήπως ἐκ πολλῆς τῆς προλήψεως ἄρξηται λέγειν, ὅτι φαντασία τις γέγονε· καὶ τάχα παρήκουσα τὴν φωνήν· καὶ πῶς ἄνωθεν ἔκραξεν, ὃν κάτω ἐγὼ ᾔδειν; ἵν' οὖν μὴ τὰ τοιαῦτα μερίζηται ἡ διάνοια, παρεδόθη τῇ τυφλότητι.

Χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν.

Τοῦ Χρυσοστόμου. Τὸ λάφυρον τοῦ διαβόλου, τὰ σκεύη αὐτοῦ, καθάπερ πόλεως τινὸς μητροπόλεως ληφθείσης· καὶ τὸ δὴ θαυμαστὸν, αὐτοὶ οἱ πολέμιοι καὶ ἐχθροὶ εἰσήγαγον αὐτὸν πάντων ὁρώντων.

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν.

Τοῦ αὐτοῦ. Τυφλὸς ἦν· τί τούτου ἶσον γένοιτο; ἀντίρροπος τῆς ἐπὶ Στεφάνου ἀθυμίας παράκλησις, ἡ Παύλου προσαγωγὴ γίνεται· ἔχουσα μὲν καὶ αὐτόθεν παραμυθίαν τὸ οὕτως αὐτὸν ἀπελθεῖν· λαβοῦσα δὲ καὶ ταύτην· καὶ αἱ Σαμαρειτῶν δὲ κῶμαι προσαχθεῖσαι μεγίστην παρέσχον παράκλησιν· διατί δὲ μὴ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἀλλὰ μετὰ ταῦτα; ἵνα δειχθῇ, ὅτι ὄντως ἀνέστη Χριστός· ὁ γὰρ ἐλαύνων αὐτὸν, καὶ ἀπιστῶν αὐτοῦ τῇ τελευτῇ καὶ τῇ ἀναστάσει, ὁ καὶ τοὺς μαθητὰς διώκων, οὗτος πόθεν ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τῆς ἀναστάσεως ἡ ἰσχύς; ἔστω· ἐκεῖνοι αὐτῷ ἐχαρίζοντο· τί δὴ πρὸς αὐτόν; διατί οὖν μὴ μετὰ τὴν ἀνάστασιν εὐθέως; ἵνα σαφέστερος αὐτοῦ δειχθῇ ὁ πόλεμος· ὁ γὰρ οὕτως μαινόμενος, ὡς καὶ αἵματα ἐκχεῖν, καὶ εἰς δεσμωτήριον ἐμβάλλειν, ἀθρόον πιστεύει· οὐκ ἤρκεσε τὸ μὴ συγγενέσθαι τῷ Χριστῷ, ἀλλὰ δὴ καὶ πολεμηθῆναι σφοδρῶς ὑπ' αὐτοῦ τοὺς πιστούς· οὐδενὶ κατέλιπεν ὑπερβολὴν μανίας· πάντων σφοδρότερος οὗτος ἦν· ἐπειδὴ δὲ τῆς δεσποτείας αὐτοῦ τὰ τεκμήρια καὶ τῆς φιλανθρωπίας εἶδε[q], τότε ἀποκρίνεται, ἵνα μή τις εἴπῃ ὅτι ὑπεκρίνετο· ὁ καὶ αἱμάτων ἐπιθυμῶν, καὶ τοῖς ἱερεῦσι προσελθὼν, καὶ εἰς κινδύνους ἑαυτὸν ῥίπτων, καὶ τοὺς ἔξω ἐλαύνων καὶ τιμωρούμενος, οὕτω δὴ τὴν δεσποτείαν ὁμολογεῖ· διατί δὲ οὐκ

[q] εἶδε suppl. rec. m. in marg.

ἔνδον ἐν τῇ πόλει κατηυγάσθη τῷ φωτὶ, ἀλλὰ πρὸ αὐτῆς; οὐκ ἂν ἐπίστευσαν οἱ πολλοὶ, ἀλλὰ καὶ ἐχλεύασαν· ὅπου γε κἀκεῖ ἀκούοντες ἔλεγον, ὅτι βροντῆς ἐστιν ἄνωθεν ἐνεχθείσης φωνή· οὗτος δὲ ἀξιόπιστος ἦν ἀπαγγέλλων μᾶλλον τὰ αὐτοῦ· καὶ δεδεμένος εἰσήγετο· οὐ περικειμένων αὐτῷ δεσμῶν· καὶ εἷλκον αὐτὸν, τὸν προσδοκήσαντα αὐτοὺς ἕλξειν· καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν· κατεγίνωσκε γὰρ ἑαυτοῦ ἐπὶ τοῖς γινομένοις, ἐξομολογεῖτο, ηὔχετο, παρεκάλει τὸν Θεόν· εἰ δὲ λέγοι τις ἀνάγκης εἶναι τὸ πρᾶγμα· καὶ ὁ Ἐλύμας τὰ αὐτὰ ἔπαθε· πῶς οὖν οὐ μετέστη; τί δὲ ἀναγκαστικώτερον τοῦ σεισμοῦ τοῦ ἐπὶ τῆς ἀναστάσεως; τῶν στρατιωτῶν τῶν ἀπαγγειλάντων; τῶν σημείων τῶν ἄλλων; τοῦ ἰδεῖν αὐτὸν ἀναστάντα; ἀλλ' οὐκ ἔστι ταῦτα ἀναγκαστικὰ, ἀλλὰ διδακτικά· οἱ Ἰουδαῖοι διατί οὐκ ἐπίστευσαν ταῦτα ἀκούοντες; ὅτι ἠλήθευε δῆλον ἦν· οὐ γὰρ ἂν μετέθετο μὴ γενομένου τούτου· ὥστε πάντα πιστεῦσαι ἔδει· τῶν τὴν ἀνάστασιν αὐτοῦ κηρυττόντων οὐκ ἦν οὗτος ἥττων, καὶ ἀξιοπιστότερος ἀθρόον μεταβεβλημένος· οὐ συνεγένετο τινὶ τῶν πιστῶν· ἀλλ' ἐν Δαμασκῷ μετεβάλετο· μᾶλλον δὲ πρὸ τῆς Δαμασκοῦ τοῦτο ἔπαθεν.

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας·
καὶ εἶπε πρὸς αὐτὸν ἐν ὁράματι ὁ Κύριος, Ἀνανία· ὁ δὲ
11 εἶπεν, ἰδοὺ, ἐγὼ, Κύριε· ὁ δὲ Κύριος πρὸς αὐτόν· ἀνα-
στὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν·
καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, τῷ γένει
Ταρσέα.

Ἀμμωνίου πρεσβυτέρου. *Ὅτι καὶ Ἀνανίας Διάκονος ἦν· ὡς καὶ αὐτὸς Παῦλος μαρτυρεῖ ἐν τοῖς Κανόσι· διὰ τὸ σπάνιν εἶναι Πρεσβυτέρων ἐν Σαμαρείᾳ διὰ τὸν γεγονότα διωγμόν.*

Τοῦ Χρυσοστόμου. *Τί δήποτε οὐδένα τῶν ἀξιοπίστων καὶ μεγάλων οὔτε εἵλκυσεν, οὐδὲ μετέστησε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; ὅτι οὐκ ἔμελλε δι' ἀνθρώπων ἐνάγεσθαι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ οὗτος ἐδίδαξε μὲν αὐτὸν οὐδὲν, ἐβάπτισε δὲ μόνον· ἅμα γὰρ φωτισθεὶς ἔμελλεν ἐπίστασθαι πολλὴν τοῦ Πνεύματος χάριν, ἀπὸ τοῦ ζήλου καὶ τῆς προθυμίας τῆς πολλῆς· ὅτι γὰρ οὐ τῶν σφόδρα ἐπισήμων ἦν, δῆλον.*

12 *Ἰδοὺ γὰρ προσεύχεται, καὶ εἶδεν ἐν ὁράματι ἄνδρα Ἀνανίαν ὀνόματι εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.*

Τοῦ αὐτοῦ. *Οὐκ εἶπε πρὸς αὐτὸν, διαλέχθητι καὶ κατήχησον αὐτόν· εἰ γὰρ εἰπὼν ὅτι εὔχεται, καὶ εἶδεν ἄνδρα ἐπιθέντα αὐτῷ τὰς χεῖρας, οὐκ ἔπεισε, πολλῷ μᾶλλον εἰ τοῦτο εἶπε, ὥστε, φησὶν, οὐ διαπιστήσει σοι.*

Ἀμμωνίου. *Σημειωτέον ὅτι ἐκεῖνα τὰ ῥήματα*[r] *λέγεται, ἅπερ κοινωφελῆ ἐστι, καὶ συμβάλλεται εἰς θεοσέβειαν· ὅσα ἔχει τοῦ Κυρίου τὴν παράστασιν ἢ ἀγγέλου· καθ' ὃν ἂν δέ ἐστιν ἴδικὰ, οὐκ ὀφείλει λαλεῖσθαι· πλὴν εἰ καὶ ἰδικὴ τοῦ Σαύλου ἦν ἡ ὠφέλεια· ἀλλ' οὖν ἴασις παράδοξος συμβᾶσα πάλιν εἰς θεοσέβειαν τὸν ἄνθρωπον προσκαλεῖται.*

13 *Ἀπεκρίθη δὲ Ἀνανίας, Κύριε, ἤκουσα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ τοῖς ἁγίοις σου ἐποίησεν ἐν Ἱερουσαλήμ·*

Τοῦ αὐτοῦ. *Τί λέγεις; ὁ Θεὸς λέγει, καὶ σὺ ἀμφιβάλλεις; οὔπω καλῶς ᾔδεισαν τὴν δύναμιν τοῦ Χριστοῦ. Καὶ μετ' ὀλίγα— Εἰ πρὸς αὐτὸν ἀντεῖπε, πολλῷ μᾶλλον εἰ ἄγγελον ἔπεμψε· διὰ τοῦτο οὐδὲ πρὸ τούτου ὁ Φίλιππος ἀκούει τὸ γινόμενον, ἀλλ' ὁρᾷ τὸν ἄγγελον· καὶ τότε τὸ Πνεῦμα προστάττει αὐτῷ κολληθῆναι τῷ ἅρματι· ὅρα δὲ ἐνταῦθα πῶς αὐτοῦ τὸν φόβον ὑποτέμνεται· πηρός ἐστι, φησὶ, καὶ εὔχεται, καὶ σὺ δέδοικας; οὕτω καὶ Μωϋσῆς φοβεῖται· ὥστε τὰ ῥήματα φοβουμένου ἦν καὶ ἀναβαλλομένου, οὐκ ἀπιστοῦντος.*

14 *Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου.*

Τοῦ αὐτοῦ. *Πόθεν τοῦτο δῆλον; εἰκὸς ἦν αὐτοὺς ἐν φόβῳ ὄντας περιεργάζεσθαι· οὐχ ὡς οὐκ εἰδότος τοῦ Χριστοῦ ταῦτα λέγει, ἀλλὰ τούτων ὄντων, πῶς δύναταί, φησι, ταῦτα γενέσθαι; ἐπεὶ καὶ ἐκεῖνοι λέγουσι, "τίς δύναται σωθῆναι;" τοῦτο γεγένηται ἵνα πιστεύσῃ τῷ ἐρχομένῳ· ἐν ὀνείρῳ εἶδε, προεμήνυσεν αὐτῷ· προσεύχεται, φησὶν, μὴ φοβοῦ. Καὶ μετ' ὀλίγα—" Εἶδε," φησὶν,*

[r] In marg. *ὀνείρατα.*

"ἐν ὁράματι ἄνδρα Ἀνανίαν·" διὰ τοῦτο γὰρ ἐν ὁράματι, ἐπειδὴ πηρὸς ἦν· καὶ οὐδὲ τοῦ θαύματος ἡ ὑπερβολὴ εἷλε τὸν μαθητὴν, οὕτως ἐφοβεῖτο· ὅρα δὲ, Παῦλον τυφλὸν ὄντα ἀναβλέψαι οὕτως ἐποίησε.

Τοῦ αὐτοῦ. Ὅρα, φησὶ, τίνι με παραδίδως· φοβοῦμαι μή ποτέ με εἰς Ἱεροσόλυμα ἀπαγάγῃ· τί με εἰς τὸ στόμα ἐμβάλλεις τοῦ λέοντος; φοβεῖται, καὶ ταῦτα λέγει, ἵνα μάθωμεν τὴν ἀρετὴν πάντοθεν τοῦ ἀνδρός· τὸ μὲν γὰρ παρὰ Ἰουδαίων ταῦτα λέγεσθαι θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ τούτους οὕτω φοβεῖσθαι μέγιστον τεκμήριον τῆς τοῦ Θεοῦ δυνάμεως δείκνυται· καὶ φόβος δείκνυται, καὶ ὑπακοὴ μείζων μετὰ τὸν φόβον· ὄντως γὰρ ἰσχύος χρεία.

15 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος, πορεύου, ὅτι σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ.

Τοῦ αὐτοῦ. Οὐ μόνον πιστὸς ἔσται, φησὶν, ἀλλὰ καὶ διδάσκαλος, καὶ πολλῇ χρήσεται τῇ παρρησίᾳ.

Τοῦ αὐτοῦ. Ἐκ περιουσίας τὸν φόβον ἔλυσεν, εἴγε μέλλοι οὕτω προθύμως τὰ ἡμέτερα φρονεῖν, ὡς καὶ πολλὰ πάσχειν· "σκεῦος" δὲ καλεῖται δικαίως, δεικνύντος τοῦ λόγου ὡς οὐκ ἔστι φυσικὴ ἡ κακία· "σκεῦος," φησὶν, "ἐκλογῆς·" τὸ δόκιμον γὰρ ἐκλεγόμεθα. μὴ δὲ νομίσῃ τις ὅτι ἀπιστῶν τοῖς λεγομένοις ταῦτά φησιν, οὐδὲ ἠπατῆσθαι νομίζων τὸν Χριστόν· μὴ γένοιτο· ἀλλὰ φοβούμενος καὶ τρέμων, οὐδὲ προσεῖχε τοῖς λεγομένοις, ἀκούσας τὸ ὄνομα Παύλου.

Τοῦ αὐτοῦ. Ὁ διώκτης καὶ βλάσφημος καὶ ὑβριστὴς, κῆρυξ τῆς οἰκουμένης ἀποδείκνυται.

Διδύμου. Οἱ τὰς φύσεις δογματίζοντες, φασὶ Παῦλον πνευματικὸν ὄντα ἀνεπίδεκτον εἶναι κακίας· κρατύνουσι δὲ τοῦτο αὐτῶν τὸ φρόνημα καὶ ἐκ τῆς προκειμένης λέξεως, εἰπόντος τοῦ Θεοῦ περὶ αὐτοῦ, "ὅτι σκεῦος ἐκλογῆς ἐστι μοι οὗτος·" οὐ γὰρ "ἔσται" γέγραπται, φησὶν ἐκεῖνοι· ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ἡ μαρτυρία αὕτη γέγονεν, ὅτε ἐξ οἰκείας προαιρέσεως πεισθεὶς ὁ ἀνὴρ τῷ χρησμῷ ἀπῆλθεν ἐπὶ τῷ συντυχεῖν τῷ Ἀνανίᾳ· διὸ καὶ ἀκόλουθον τυγχάνει, τὸν τοσαύτην ἐνδειξάμενον μετάνοιαν ἐν ῥοπῇ καιροῦ ὑπάρξαι τοῦ εἶναι ἐκλογῆς σκεῦος· πρὸς τούτοις καὶ μηδὲ φαγεῖν

ἐφ' ὅλας τρεῖς ἡμέρας, δεῖγμα ἦν τῆς σφοδρᾶς μετανοίας καὶ νηστείας· δυνατὸν δὲ εἰπεῖν, ὅτι ὁ Θεὸς ὁ τὰ μέλλοντα γινώσκων ἀκριβῶς ὡς τὰ παρόντα, ἐμαρτύρησε διὰ τὴν μέλλουσαν αὐτοῦ ὑπηρεσίαν, ὡς ἤδη "σκεῦος ἐκλογῆς" ὑπῆρχεν· ἄλλος δὲ λέξει, ὅτι θεοσεβὴς ὢν, ζήλῳ τῷ μετὰ ἀγνοίας ἐδίωκε τοὺς πιστεύοντας τῷ Σωτῆρι, ὡς ἀποστάτας τοῦ Θεοῦ καὶ τοῦ νόμου αὐτοῦ. καὶ ἐπεὶ θεϊκῇ πως προθέσει τοῦτο ἔπραττεν, εἰ καὶ πεπλανημένως, εἰς τὴν πρόθεσιν αὐτοῦ σκοπήσας ὁ χρηματίσας εἶπε, "τί με διώκεις;" εὐθέως γὰρ ἐπήκουσε τῷ καλοῦντι, καὶ κατάλληλα τῇ κλήσει ἔπραξεν· ἐπαύσαντο δὲ ἂν τῆς ἀπάτης οἱ τὰς φύσεις φρονοῦντες, εἰ ἐπιστήσαντες ἦσαν τοῦ ἐκλογῆς εἶναι αὐτὸν σκεῦος· τοῦ ἐκλεγομένου οὐ φύσιν ἀλλὰ βίον σκοποῦντος.

Ταῦτα, οὔπω τῆς χάριτος παρούσης, ἐμαρτύρησεν ὁ ταῖς καρδίαις ἐμβατεύων ἡμῶν· μὴ οὖν σφάλλωμεν ἑαυτοὺς, ἀδύνατον εἶναι λέγοντες γενέσθαι κατὰ Παῦλον τινά· τῆς μὲν γὰρ χάριτος καὶ τῶν σημείων ἕνεκεν οὐκέτι Παῦλος ἕτερος ἔσται λοιπὸν, τῆς δὲ ἀκριβείας τοῦ βίου τῶν βουλομένων ἕκαστος τοιοῦτος γένοιτο ἄν· εἰ δὲ μὴ εἰσὶ, παρὰ τὸ μὴ βούλεσθαι μόνον.

Οὕτως ἐπιδώσει ἡ διδασκαλία· ὥσπερ ἐξέπληττε τούτῳ, οὕτω κἀκείνῳ.

16 Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ
ὀνόματός μου παθεῖν.

Ἅμα καὶ ἐντρεπτικῶς· εἰ ἐκεῖνος πάντα πείσεται ὁ οὕτω μεμηνὼς, σὺ δὲ οὐδὲ βαπτίσαι αὐτὸν θέλεις; καλῶς ἔχει, φησὶν, ἄφες αὐτὸν πεπληρῶσθαι· διὰ τοῦτο ταῦτα λέγει, τυφλός ἐστιν ὅλος· τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἵνα πάλιν δήσῃ; μὴ φοβηθῇς τὸ μέλλον· τῇ γὰρ ἀνοίξει οὐ καθ' ὑμῶν χρήσεται· πρὸς τὸ ἵνα ἀναβλέψῃ ταῦτα εἴρηται· οὐ γὰρ μόνον, φησὶν, οὐδὲν ἐργάσεται εἰς ὑμᾶς δεινὸν, ἀλλὰ καὶ πείσεται πολλά· τὸ δὴ θαυμαστὸν, ὅτι τὸ πρότερον πείσεται, καὶ τότε ἐμβήσεται εἰς τοὺς κινδύνους.

17 Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ
ἐπιθεὶς εἰς αὐτὸν τὰς χεῖρας, εἶπε, Σαοὺλ ἀδελφὲ, ὁ Κύ-
ριος ἀπέσταλκέ με Ἰησοῦς, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ

ἢ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς Πνεύματος Ἁγίου.

Εὐθέως αὐτὸν οἰκειοῦται τῷ ὀνόματι· "Ἰησοῦς," φησιν, "ὁ ὀφθείς "σοι ἐν τῇ ὁδῷ·" καὶ μὴν τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Χριστὸς, ἀλλ' ἀπὸ τοῦ Πνεύματος ἔμαθεν· ἵνα ἀναβλέψῃς, φησί. Καὶ μετ' ὀλίγα—Ταῦτα λέγων τὰς χεῖρας ἐτίθει· ἀνέβλεψε δὲ παραχρῆμα· τινὲς φασὶ, πηρώσεως εἶναι σημεῖον τοῦτο· διατί μὴ ἐπήρωσεν αὐτοῦ τοὺς ὀφθαλμούς· τοῦτο παραδοξότερον ἦν, ὅτι ἀνεῳγμένων οὐκ ἔβλεπεν· ὅπερ ἔπαθεν ἐπὶ τοῦ νόμου, ἕως τὸ ὄνομα ἐπετέθη τοῦ Ἰησοῦ.

Ἀμμωνίου. Καὶ ἡ ἴασις διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως γίνεται, ὡς κατάγοντος θείαν δύναμιν ἰατικὴν τοῦ σχήματος ἐπὶ τῆς χειροτονίας, καὶ τῆς ἐπὶ τῶν βαπτισθέντων χειροθεσίας.

Τοῦ Χρυσοστόμου. Οὐκ εἶπεν ὁ πηρώσας, ἀλλ' "ὁ ὀφθείς σοι·" ὅρα καὶ τοῦτον οὐκ ἀλαζονικόν· ἀλλ' ὥσπερ ὁ Πέτρος ἔλεγεν ἐπὶ τοῦ χωλοῦ· "τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐλαβείᾳ "πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν·" οὕτω καὶ οὗτος, "Ἰησοῦς ὁ "ὀφθείς σοι·" τῶν χειρῶν ἐπικειμένων ταῦτα ἐφθέγγετο· διπλῆ πήρωσις λύεται.

Τοῦ αὐτοῦ. Καὶ μὴν οὐκ ὤφθη· ἀλλὰ διὰ πραγμάτων ὤφθη· καὶ εὐθέως ἐπήγαγε, θέλων συσκιάσαι τὴν κατηγορίαν· "ὅπως ἀνα"βλέψῃς, καὶ πλησθῇς Πνεύματος Ἁγίου." οὐχὶ ἐλέγξαι ἦλθον τὸ γεγενημένον, ἀλλὰ δοῦναι τὴν δωρεάν· ἐμοὶ δοκεῖ καὶ τοῦτον καὶ τὸν Κορνήλιον, τούτων λεγομένων τῶν ῥημάτων, τοῦ Πνεύματος μετασχεῖν.

18 Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ
19 λεπίδες, ἀνέβλεψέ τε, καὶ ἀναστὰς ἐβαπτίσθη, καὶ λα-
βὼν τροφὴν ἐνίσχυσεν.

Τοῦ αὐτοῦ. Ὅρα καὶ ἐξησθενηκὼς ἦν ἀπὸ τῆς ὁδοιπορίας, ἀπὸ τοῦ φόβου, καὶ τοῦ λιμοῦ, καὶ τῆς ἀθυμίας· βουλόμενος οὖν αὐτοῦ ἐπιτεῖναι τὴν ἀθυμίαν, ἐτύφλωσε τὸν ἄνθρωπον, πρὶν ἢ ἐλθεῖν τοῦτον· καὶ ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι τὴν πήρωσιν, διὰ τοῦτο αἱ λεπίδες· οὐκ ἐδεήθη διδασκαλίας ἑτέρας, ἀλλὰ τὸ συμβὰν γέγονε διδασκαλία.

Τοτ αττοτ. Ἰδὼν δὲ ὁ τῆς ἀληθείας ἐξεταστὴς Θεὸς σωφρονισθέντα τὸν ἄνδρα, καὶ βελτίω ἐκ τῶν κακῶν γεγονότα· οὐχ ἑτέρως αὐτὸν ἢ οὕτως ἀπαλλαγήσεσθαι τῆς τιμωρίας ὁ Κύριος ἔφη.

Τοτ αττοτ. Διατί λαβὼν τροφὴν ἐνισχύθη; ὅτι οἱ τοιοῦτοι παρειμένοι γίνονται· οὐκ ἠνέσχετο πρότερον μετασχεῖν τροφῆς, ἕως ὅτε μεγάλων ἔτυχε τῶν δωρεῶν, ὥστε πιστεῦσαι ἐκεῖνον· καὶ οὐ λέγει, Ἰησοῦς ὁ σταυρωθεὶς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ σημεῖα ποιῶν, ἀλλὰ τί; "ὁ ὀφθείς σοι·" ἀπὸ τῶν ἐκείνῳ γνωρίμων· ἐπεὶ καὶ ὁ Χριστὸς οὐδὲν πλέον προσέθηκεν, οὐδὲ εἶπεν, ἐγώ εἰμι Ἰησοῦς ὁ σταυρωθεὶς, ὁ ἐγερθεὶς, ἀλλὰ τί; "ὃν σὺ διώκεις." οὐκ εἶπεν, ὁ δεδιωγμένος· ἵνα μὴ δόξῃ ὡς ἐπενθουσιᾶν καὶ ἐπεγγελᾶν.

* Περὶ ἰάσεως καὶ βαπτίσματος Παύλου διὰ Ἀνανίου κατὰ ἀποκάλυψιν Θεοῦ, παρρησίας τε αὐτοῦ καὶ συντυχίας τῆς διὰ Βαρνάβα πρὸς τοὺς Ἀποστόλους.

Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθη-
20 τῶν ἡμέρας τινάς· καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκή-
ρυσσε τὸν Ἰησοῦν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

Ὅρα εὐθέως διδάσκαλος ἦν ἐν ταῖς συναγωγαῖς· οὐκ ᾐσχύνετο τὴν μεταβολὴν, οὐκ ἐδέδοικε ἐν οἷς ἦν λαμπρὸς πρότερον, ταῦτα καταλύων· ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς· καὶ εὐθέως ἐκ προοιμίων θανατῶν ὁ ἄνθρωπος ἦν πρὸς φόνους παρεσκευασμένος· ὁρᾷς οἷον σημεῖον ἐναργές· καὶ τούτῳ αὐτῷ πάντας ἐξέπληττεν· καὶ ὧδε γάρ, φησιν, εἰς αὐτὸ ἐλήλυθε.

Τοτ ἁγίοτ Εἰρηναίοτ ἐπισκόποτ Λοτγδοτνων. Παῦλος μετὰ τὸ ἐκ τοῦ οὐρανοῦ λαλῆσαι αὐτῷ τὸν Κύριον, καὶ ἐπιδεῖξαι, ὅτι τὸν ἴδιον δεσπότην ἐδίωκε, διώκων τοὺς μαθητὰς αὐτοῦ· καὶ πέμψας Ἀνανίαν πρὸς αὐτὸν καὶ ἀναβλέψαι καὶ βαπτισθῆναι, ἐν ταῖς συναγωγαῖς, φησὶν, ἐν Δαμασκῷ ἐκήρυσσε μετὰ πάσης παρρησίας "τὸν Ἰησοῦν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ," ὁ Χριστός· τουτέστι τὸ μυστήριον, ὃ λέγει κατὰ ἀποκάλυψιν ἐγνωρίσθαι αὐτῷ· ὅτι ὁ παθὼν ἐπὶ Ποντίου Πιλάτου, οὗτος Κύριος τῶν πάντων, καὶ βασιλεὺς καὶ Θεὸς καὶ κριτής ἐστιν.

Τοτ Χρτσοστομοτ. Οὐχ ὅτι ἀνέστη, οὐ τοῦτο· οὔτε ὅτι ζῇ·

ἀλλὰ τί; εὐθέως ἀκριβῶς τὸ δόγμα ἐξέθετο· "ὅτι οὗτός ἐστιν "ὁ Υἱὸς τοῦ Θεοῦ."

21 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ ἔλεγον, οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο, καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς;

Τοῦ Χρυσοστόμου. *Καὶ τόδε θαυμαστότερον· "ὅτι καὶ ὧδε "εἰς τοῦτο ἐλήλυθεν" οὐκ ἔχομεν εἰπεῖν, ὅτι τοῖς Ἀποστόλοις πρότερον συνεγένετο.*

22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνεν τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ,

Τοῦ αὐτοῦ. *Ἅτε νομομαθὴς ὢν ἐπεστόμιζεν αὐτούς, καὶ οὐκ εἴα φθέγγεσθαι· ἐνόμισαν ἀπηλλάχθαι τῆς ἐν τοῖς τοιούτοις διαλέξεως ἀπαλλαγέντες Στεφάνου, καὶ Στεφάνου σφοδρότερον εὗρον ἕτερον.*

Συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

Τοῦ αὐτοῦ. *Τουτέστιν ὅτι μετ' ἐπιεικείας διδάσκων. Καὶ ὅρα οὐκ ἔλεγον, ὅτι σὺ εἶ ὁ πορθῶν· τί μεταβέβλησαι; ᾐσχύνοντο γάρ· ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον· εἶπε γὰρ ἂν πρὸς αὐτούς, ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει· ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται.*

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν.

Τοῦ αὐτοῦ. *Ἐπὶ τὸν ἰσχυρότερον λογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι· οὐκέτι συκοφάντας, καὶ κατηγόρους, καὶ ψευδομάρτυρας ἐπιζητοῦντες, οὐκέτι ἀνέχονται τούτων, ἀλλὰ τί; λοιπὸν αὐτοὶ δι' ἑαυτῶν· ἐπειδὴ γὰρ εἶδον ἐπιτεινόμενον τὸ κήρυγμα, οὐδὲ δικαστήριον καθίζουσιν.*

24 Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετετηροῦντο δὲ καὶ τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέλωσι.

Τοῦ Χρυσοστόμου. *Τοῦτο γὰρ ἁπάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων, τῶν πεντακισχιλίων, τῶν*

τετρακισχιλίων, πάντων ἁπλῶς· καὶ ὅρα αὐτὸν οὐ χάριτι σωζόμενον, ἀλλ' ἀνθρωπίνῃ σοφίᾳ· οὐ καθάπερ ἐκεῖνοι, ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν, χωρὶς σημείου λάμποντος.

25 **Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν αὐτὸν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι.**

Τοῦ αὐτοῦ. Ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. ὅτι οὖν τοιοῦτον κίνδυνον διαφυγὼν, ἄρα φεύγει; οὐδαμῶς· ἀλλ' ἀπέρχεται ἔνθα μειζόνως αὐτοὺς ἐξῆψεν· ἐπειδὴ ἀκριβῶς ἐπίστευσε· καὶ γὰρ ἄπιστον ἦν· διὰ τοῦτο μεθ' ἡμέρας ἱκανὰς τοῦτο γίνεται· τί ποτε τοῦτό ἐστιν; εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως παραινούντων· ἐπειδὴ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ· καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως· μόνον δὲ αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ' αὐτοῦ· καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς Ἀποστόλοις ἐν Ἱεροσολύμοις· αὐτοὶ μὲν οὖν αὐτὸν ἐξέπεμψαν, ὡς ὀφείλοντα τῇ φυγῇ τὴν σωτηρίαν πορίσασθαι· αὐτὸς δὲ τοὐναντίον πεποίηκεν· εἰς τοὺς μαινομένους μᾶλλον ἐπήδησε· τοῦτό ἐστι πεπυρῶσθαι· τοῦτο ἀναζεῖν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Κορινθίους β ἐπιστολῆς ὑπομνήματος. Εἰ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ' ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἐρᾷ σωτηρίας· διὸ καὶ πολλάκις τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι· καὶ οὐδὲ παρῄτειτο καὶ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν, ἡνίκα ἀπῄτει καιρός.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας. Διὰ τοῦτο τείχους ἐχαλᾶτο καὶ διεσώζετο, καὶ φυγὰς ἦν, ὁ μετὰ ταῦτα μυρίων θαυμάτων ἐργάτης, τεράτων τε καὶ δυνάμεων, ὡς αὐτός που γράφων φησί· καὶ ἡ πεῖρα ἐδίδαξεν· ἔδει γὰρ αὐτὸν τέως δοκιμασθῆναι τοῖς πάθεσι, καὶ καθάπερ ἐν χαλκείῳ τυπτέσθαι ταῖς πρώταις προσβολαῖς, ἵν' ἐφ' ἑαυτῷ πληρώσῃ τὴν θείαν μαρτυρίαν τοῦ προηγορευκότος Χριστοῦ· "ὅτι σκεῦος ἐκλογῆς ἔστι μοι οὗτος· τοῦ "βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν Ἰσ-"ραὴλ," καὶ τὰ ἑξῆς.

26 **Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες, ὅτι ἐστὶ μαθητής.**

Τοῦ Χρυσοστόμου. Ἄξιον ἐνταῦθα διαπορῆσαι πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας φησὶν, ὅτι οὐκ ἀπῆλθον πρὸς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν καὶ Δαμασκόν· καὶ μετὰ τρία ἔτη εἰς Ἱεροσόλυμα· καὶ ὅτι ἱστορῆσαι Πέτρον· ἐνταῦθα δὲ τοὐναντίον φησί. καὶ "οὐδένα "τῶν Ἀποστόλων εἶδον·" νυνὶ δὲ φησὶν, ἤγαγεν αὐτὸν πρὸς τοὺς Ἀποστόλους· ἢ τοίνυν τοῦτο φησὶν, ὅτι οὐκ ἀπῆλθον ὥστε ἀναθέσθαι· τί γὰρ λέγει; "οὐ προσανεθέμην, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα·" ἢ εἰ μὴ τοῦτο, ὅτι ἡ ἐπιβουλὴ ἡ ἐν Δαμασκῷ μετὰ τὸ ἐλθεῖν αὐτὸν ἀπὸ Ἀραβίας γέγονε· ἢ εἰ μὴ τοῦτο, πάλιν ἡ ἄνοδος μετὰ τὸ ἐλθεῖν ἀπὸ Ἀραβίας. αὐτὸς γοῦν οὐκ ἀπῆλθε πρὸς τοὺς Ἀποστόλους, ἀλλὰ τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι· ἅτε διδάσκαλος ὢν καὶ οὐ μαθητής· οὐ διὰ τοῦτο ἀπῆλθον, φησὶν, ἵνα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους ἀπέλθω· οὐδὲν γοῦν παρ' αὐτῶν ἔμαθον· ἢ ταύτην τὴν ἄνοδον οὐ λέγει, ἀλλ' ἀφίησιν ὥστε εἶναι οὕτως· ὅτι ἀπῆλθον εἰς Ἀραβίαν, εἶτα ἦλθον εἰς Δαμασκὸν, εἶτα εἰς Ἱεροσόλυμα, εἶτα εἰς Συρίαν· ἢ εἰ μὴ τοῦτο πάλιν, ὅτι ἀνῆλθον εἰς Ἱεροσόλυμα, εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη, εἶτα εἰς Ἀραβίαν, εἶτα εἰς Δαμασκὸν πάλιν, εἶτα εἰς Καισαρείαν· καὶ τὸ διὰ δεκατεσσάρων ἐτῶν, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα· ἢ εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν· ὁ γὰρ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. ὅρα πως οὐκ ἔστι φιλότιμος, οὐδὲ διηγεῖται τὴν ὄψιν ἐκείνην· ἀλλ' "ἐπειρᾶτο," φησὶ, "κολλᾶσθαι τοῖς μαθηταῖς·" οἱ δὲ "ἐφοβοῦντο αὐτὸν," καὶ ἀπὸ τούτου πάλιν τὸ θερμὸν Παύλου δείκνυται· οὐκ ἀπὸ Ἀνανίου, οὐδὲ ἀπὸ τῶν θαυμαζόντων αὐτὸν ἐκεῖ, ἀλλ' ἀπὸ τῶν ἐν Ἱεροσολύμοις· οὐ γὰρ ἦν ὄντως προσδοκίας ἀνθρωπίνης ἐκεῖ.

Τοῦ αὐτοῦ. "Ἐπειρᾶτο," φησὶ, "κολλᾶσθαι τοῖς μαθηταῖς·" οὐκ ἀναισχύντως προσῆλθεν, ἀλλ' ὑπεσταλμένως· μαθηταὶ πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν· ἦν γὰρ ἡ εἰκὼν τῶν μαθητῶν δήλη. ὅρα πῶς ἐφοβοῦντο τοὺς κινδύνους· πῶς ἔτι τὸ δέος αὐτοῖς ἐνήκμαζεν· ἐμοὶ δοκεῖ ὁ Βαρνάβας ἄνωθεν εἶναι αὐτῷ φίλος· ὅρα πῶς οὐδὲν τούτων φησὶν αὐτός· οὐδ' ἂν εἰς τοὺς ἄλλους ἐξήνεγκεν, εἰ μή τις ἀνάγκη γέγονεν αὐτῷ.

27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν[q] ἤγαγε πρὸς τοὺς

[q] ἐπιλεγόμενος αὐτοῦ Cod.

Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ.

Τοῦ αὐτοῦ. Βαρνάβας ἐπιεικὴς ἄνθρωπος ἦν· καὶ ὅρα αὐτὸν οὐ πρὸς τοὺς Ἀποστόλους ἀπιόντα διὰ τὸ μετριάζειν, ἀλλὰ πρὸς τοὺς μαθητὰς, ἅτε μαθητὴν ὄντα διὰ τὸ μετριάζειν· οὐκ ἐνομίζετο ἀξιόπιστος εἶναι. Καὶ μετ᾽ ὀλίγα—Υἱὸς δὲ παρακλήσεως οὗτος λέγεται, ὅθεν καὶ εὐπρόσιτος γέγονε τῷ ἀνδρί· χρηστὸς σφόδρα ἦν· καὶ τοῦτο καὶ ἐκ τοῦ παρόντος καὶ ἐκ τοῦ κατὰ Ἰωάννην δῆλον γέγονεν· ὅθεν οὗτος οὐκ ἐφοβήθη· γοργὸς γὰρ ἦν ὁ ἀνήρ· εἰκὸς αὐτὸν καὶ ἐν Δαμασκῷ ἀκηκοέναι τὰ κατ᾽ αὐτόν.

28 Καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος
εἰς Ἱερουσαλὴμ, παρρησιαζόμενος ἐν τῷ ὀνόματι Ἰησοῦ
29 τοῦ Κυρίου, ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλλη-
νιστάς·

Τοῦ Χρυσοστόμου. Οἱ μὲν οὖν μαθηταὶ ἐφοβοῦντο αὐτὸν, οἱ δὲ Ἀπόστολοι οὐκ ἐπίστευον αὐτῷ· διὰ τοῦτο αὐτῶν ἐκεῖθεν λύει τὸ δέος· "ἐλάλει," φησὶ, "καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς·" τοὺς Ἑλληνιστὶ, φησὶ, φθεγγομένους· καὶ τοῦτο σφόδρα σοφῶς· ἐκεῖνοι γὰρ οἱ ἄλλοι, οὐδὲ ἰδεῖν αὐτὸν ἠθέλησαν οἱ βαθεῖς Ἑβραῖοι.

30 Οἱ δὲ ἐπετήρουν ἀνελεῖν αὐτόν. ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν.

Τοῦ αὐτοῦ. Τῆς σφοδρότητος καὶ τῆς κατὰ κράτος νίκης τεκμήριον τοῦτο· καὶ τῷ σφόδρα λυπεῖσθαι τῷ γεγονότι· φοβηθέντες λοιπὸν μὴ ταυτὸν γένηται, οἷον ἐπὶ Στεφάνου, ἔπεμψαν αὐτὸν εἰς Καισαρείαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσὸν, ἅμα καὶ κηρύττοντα καὶ ἐν ἀσφαλείᾳ μᾶλλον ἐσόμενον, ἅτε ἐν οἰκείᾳ[r] πατρίδι. ὅρα δὲ πῶς οὐ πάντα χάριτι γίνεται, ἀλλὰ καὶ συγχωρεῖ αὐτοῖς ὁ Θεὸς, καὶ οἰκείᾳ σοφίᾳ οἰκονομεῖν πολλὰ, καὶ ἀνθρωπίνως· εἰ γὰρ ἐπ᾽ αὐτοῦ τοῦτο γέγονε, πολλῷ μᾶλλον ἐπ᾽ αὐτῶν, ἵνα τῶν ῥαθύμων τὴν πρόφασιν ἐκκόψῃ.

[r] οἰκία Cod.

31 Ἡ μὲν οὖν ἐκκλησία καθ' ὅλης τῆς Ἰουδαίας καὶ
Γαλιλαίας καὶ Σαμαρείας εἶχεν εἰρήνην, οἰκοδομουμένη
καὶ πορευομένη τῷ φόβῳ τοῦ Κυρίου,

Τοῦ αὐτοῦ. Τουτέστιν ηὔξησε καὶ τὴν εἰρήνην πρὸς ἑαυτήν· ταύτην τὴν ὄντως εἰρήνην· οὐ γὰρ ἂν αὐτοὺς ὁ πόλεμος ἐκάκωσεν ὁ ἔξωθεν.

Καὶ τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπλη-
θύνετο.

Τοῦ αὐτοῦ. Παρεκάλει δὲ αὐτοὺς τὸ Πνεῦμα, καὶ διὰ τῶν θαυμάτων, καὶ διὰ τῶν ἔργων· καὶ χωρὶς δὲ τούτων καὶ καθ' ἑαυτὸν ἕκαστος.

ΚΕΦ. ΙΔ.

Περὶ Αἰνέα[s] παραλυτικοῦ ἰαθέντος ἐν Λύδδῃ διὰ Πέτρου.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων, κατελ-
θεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.

Τοῦ αὐτοῦ. Καθάπερ γάρ τις στρατηγὸς περιήει τὰς τάξεις, ἐπισκοπῶν, ποῖον εἴη συγκεκροτημένον μέρος· ποῖον ἐν κόσμῳ· ποῖον τῆς αὐτοῦ δεῖται παρουσίας· ὅρα πανταχοῦ αὐτὸν ἐπιτρέχοντα· πρῶτον ὅτε ἑλέσθαι δεῖ τὸν Ἀπόστολον οὗτος πρῶτος· ὅτε θεραπεῦσαι τὸν χωλόν· ὅτε δημηγορῆσαι, αὐτὸς πρὸ τῶν ἄλλων ἐστίν· ὅτε πρὸς τοὺς ἄρχοντας, οὗτος· ὅτε πρὸς Ἀνανίαν· ὅτε ἀπὸ τῆς σκιᾶς αἱ ἰάσεις ἐγένοντο, αὐτὸς ἦν. καὶ θέα· ἔνθα μὲν γὰρ ἦν κίνδυνος, οὗτος· καὶ ἔνθα οἰκονομία· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες· οὐκ ἀπαιτεῖ τιμὴν μείζονα· ὅτε θαυματουργῆσαι ἔδει, αὐτὸς προπηδᾷ· καὶ ἐνταῦθα πάλιν οὗτος πονεῖ καὶ ταλαιπωρεῖ.

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν[t] ὀνόματι, ἐξ ἐτῶν
ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμέ-
34 νος. καὶ εἶπεν αὐτῷ ὁ Πέτρος, Αἰνέα[u], ἰᾶταί σε ὁ Κύριος
Ἰησοῦς Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ· καὶ
35 εὐθέως ἀνέστη· καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες
Λύδδαν καὶ τὸν Σαρωνᾶν, οἵτινες ἐπέστρεψαν πρὸς
Κύριον.

[s] ἐνέα Cod. [t] ἐνέαν Cod. [u] ἐνέα Cod.

Τοῦ Χρυσοστόμου. Διατί μὴ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρὸς, μηδὲ ἠρώτησεν εἰ βούλοιτο θεραπευθῆναι; μάλιστα μὲν οὖν καὶ πρὸς πολλῶν παράκλησιν ἐγένετο τὸ θαῦμα· ἄκουε οὖν τὸ κέρδος ὅσον· "καὶ εἶδον αὐτὸν," φησι, "πάντες οἱ κατοικοῦντες Λύδδαν," καὶ τὰ ἑξῆς. ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ· καλῶς ἔλεγχον δίδωσι τοῦ σημείου· οὐ γὰρ δὴ τῶν νοσημάτων ἀπηλλάττοντο μόνον, ἀλλὰ καὶ τὴν ὑγείαν παρεῖχον καὶ τὴν ἰσχύν· καὶ τότε οὔπω ἦσαν τεκμήρια τῆς οἰκείας παρασχόντες δυνάμεως· ὥστε οὐκ εἰκότως ἀπῄτειτο τὴν πίστιν ὁ ἀνὴρ, ἐπειδὴ οὐδὲ τὸν χωλὸν ἀπῄτησαν· καθάπερ οὖν ὁ Χριστὸς ἀρχόμενος τῶν σημείων οὐκ ἀπῄτει πίστιν, οὕτως οὐδὲ οὗτοι· ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν πρότερον ἐγένετο· "ἵνα ἐρχομένου Πέτρου κἂν ἡ "σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν." πολλὰ γὰρ ἐγίνετο ἐκεῖ σημεῖα· ἐνταῦθα δὲ τοῦτο πρῶτον ἐπιβαίνει· τὰ μὲν γὰρ τῶν σημείων ὑπὲρ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγίνετο· τὰ δὲ καὶ ὑπὲρ τῆς τῶν πιστευόντων παρακλήσεως.

Διδύμου. Πολλὴν διαφορὰν ἔχει τὸ πραχθὲν ὑπὸ Πέτρου εἰς τὸν ἐπὶ ὅλα ὀκτὼ ἔτη διὰ νόσον χαλεπὴν κατακείμενον, πρὸς τὸ ὑπὸ Ἰησοῦ γενόμενον, εἰς τὸν ὅλα τριάκοντα καὶ ὀκτὼ ἔτη ἐπὶ σκίμποδος μείναντα διὰ πάρεσιν ἀνίατον. ὁ μὲν γὰρ Πέτρος εἰπὼν, "Αἰνέα ἰᾶταί σε Ἰησοῦς ὁ Χριστὸς, ἀνάστα, στρῶσον σεαυτῷ," τὸ σημεῖον εἰργάσατο· Ἰησοῦς δὲ φήσας, "ἔγειρε, ἆρον τὸν κρά-"βαττόν σου καὶ περιπάτει," οἷα Θεὸς τὸ τεράστιον πεποίηκεν. εἶχε δὲ παραλλαγὴν πολλὴν τὰ πρὸς ἑκατέρους εἰρημένα· τῷ μὲν γὰρ ἐλέχθη, "ἀνάστα, καὶ ἆρον τὸν κράβαττον καὶ περιπάτει·" ἐμφαίνει γὰρ ἡ πρόσταξις ἰσχὺν πολλὴν σὺν ὑγείᾳ βεβαίᾳ ἐγγεγονέναι τῷ εὐεργετουμένῳ· μάλιστα ὅτι ἐπιφέρεται "ἀνάστας "οὖν ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει." τῷ δὲ, "ἀνάστα, "στρῶσον σεαυτῷ." οὐ γὰρ τοσαύτη ἐμφαίνεται ἰσχὺς τοῦ δυνηθέντος στρῶσαι μετὰ πολλὴν νόσον, ὅσον τοῦ τὸν κράβαττον αἴροντος καὶ περιπατοῦντος[s]· ἐσημειωσάμεθα δὲ ταῦτα, προφάσει τῆς ἀναγωγῆς, ἀλλ' οὐ συγκρίνοντες τὸν Ἰησοῦν Πέτρῳ· ὁ μὲν γὰρ ὡς Θεὸς ἐποίει, ὁ δὲ πιστεύων εἰς Θεόν. φησὶ γὰρ, "ἰᾶταί "σε Ἰησοῦς Χριστός·" ὡς ἑκάτερα ταῦτα Χριστοῦ εἶναι ἔργα.

[s] περιπατοῦντας Cod.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά· ἣ διερμηνευομένη λέγεται Δορκάς.

Τοῦ Χρυσοστόμου. *Δείκνυσιν ὅτι φερώνυμος ἦν· οὕτως ἐγρηγορυῖα καὶ νήφουσα ὥσπερ δορκάς· πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, ὡς πολλάκις πρὸς ὑμᾶς εἴπομεν.*

Διδύμου. *Σημειωτέον ὅτι καὶ μέχρι γυναικῶν φθάνει τὸ τῶν μαθητριῶν ὄνομα καὶ ἡ ἀξία τῆς ἐπωνυμίας· ἀπέστειλαν δὲ δύο ἄνδρας πρὸς αὐτόν· μᾶλλον ἡ πίστις τῶν πασχόντων τὰς ἰάσεις ἐργάζεται· ἰδοὺ γὰρ καὶ ὧδε οἱ πιστεύσαντες, ὅτι διὰ τῆς τοῦ* Πέτρου *παρουσίας δύναται ἀναστῆναι νεκρὸς, ἐπέτυχον τοῦ σκόπου· πλὴν οὐχ οἱαδήποτε πίστις συμβάλλεται, ἀλλ' ἡ εἰς τοὺς ὄντας ἁγίους.*

Αὕτη πλήρης ἦν ἔργων ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

Τοῦ Χρυσοστόμου. *Οὐχὶ ἐλεημοσύνης μόνον, ἀλλὰ καὶ ἀγαθῶν ἔργων, ὅσα ἐποίει, μετ' αὐτῶν, φησιν, οὖσα· πολλὴ ἡ ταπεινοφροσύνη· οὐχ ὥσπερ ἡμεῖς, ἀλλὰ καὶ κοινῇ πάντες ἦσαν· καὶ ἐποίει καὶ εἰργάζετο.*

Διδύμου. *Ἐπεὶ τινὲς ὀκνηρῶς ἔχοντες περὶ τελείας ἀρετῆς ἀνάληψιν, φασὶ μὴ δυνατὸν κατορθοῦσθαι ἀνθρώπῳ βίον ἄληπτον· ἐλεγκτέον αὐτοὺς ἐκ τῆς προκειμένης γραφῆς μαρτυρούσης, ὡς ἄρα ἡ* Δορκὰς *"πλήρης πάντων ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει," ὑπῆρχε· ἀκολουθεῖ γὰρ τὸν οὕτω κατορθοῦντα, βίον ἔχειν ἀκηλίδωτον· πλήρης δὲ ἐλεημοσυνῶν ὧν ἐποίει, ἥτις εὑρίσκεται· ὅταν διὰ τὸ κοινωνικὸν καὶ* Θεοῦ *ἐντολὴν ποιῇ αὐτὰς, καὶ μὴ ὅπως θηρεύσῃ τὸν ἀπὸ τῶν ἀνθρώπων ἔπαινον. τὸ αὐτὸ ἐρεῖς καὶ περὶ τῶν ἄλλων ἀγαθῶν, ὧν πλήρης ἡ ἐπαινουμένη ἄνθρωπος ὑπῆρχεν.*

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ ἔθηκαν ἐν τῷ ὑπερῴῳ.

Ὅρα πανταχοῦ τὰ σημεῖα γινόμενα· ἡμεῖς δὲ αὐτοῖς οὕτω πιστεύομεν ὡς νῦν ὁρωμένοις· οὐχ ἁπλῶς ἀπέθανεν ἡ Ταβιθὰ, *ἀλλ' ἐν ἀρρωστίᾳ γενομένη· καὶ οὐκ ἐκάλεσε* Πέτρον, *ἕως ὅτε ἐτελεύτα· εἶτα ἀποστείλαντες ἔλεγον μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.* Καὶ

μετ' ὀλίγα—Οὐδαμοῦ κοπετὸς, οὐδαμοῦ θρῆνος· ὅρα πῶς διακαθαίρεται τὰ πράγματα· "λούσαντες," φησὶν, "ἔθηκαν ἐν ὑπερῴῳ·" τουτέστι τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν.

Διδύμου. *Διατί περιέμειναν ἀποθανεῖν; διατί μὴ ἐσκύλη Πέτρος καὶ πρὸ τούτου; ἀνάξιον ἡγοῦντο λοιπὸν φιλοσοφοῦντες, ὑπὲρ τῶν τοιούτων τοὺς μαθητὰς σκύλλειν, καὶ τοῦ κηρύγματος παρασπᾶν· ἐπεὶ καὶ διὰ τοῦτο λέγει, ὅτι ἐγγὺς ἦν, εἶπον ἐν τάξει παρέργου τοῦτο ᾔτουν.*

* *Τὰ περὶ Ταβιθὰ τῆς φιλοχήρου, ἣν ἤγειρεν ἐκ νεκρῶν ὁ Πέτρος διὰ προσευχῆς ἐν Ἰόππῃ.*

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκού-
σαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄν-
δρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν
39 ἕως αὐτῶν. ἀναστὰς δὲ ὁ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν
παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστη-
σαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι
χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορ-
κάς.

Τοῦ Χρυσοστόμου. *Οὐ παρακαλοῦσιν, ἀλλ' ἐπιτρέπουσιν, ἵνα τὴν σωτηρίαν αὐτῇ χαρίσηται· ὅρα ἐλεημοσύνης πόση γίνεται προτροπή.*

Τοῦ αὐτοῦ ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς. *Ἀπιόντας ἡμᾶς τῶν ἐντεῦθεν, οὐκ ἔνι λαθεῖν τὸν πλοῦτον· πολλάκις δὲ, οὐδ' ἐνταῦθα μένοντας, κατασχεῖν· παρὸν οὕτω πλουτεῖν, ὡς μὴ μόνον ἐνταῦθα ἀλλὰ καὶ ἐκεῖ φαίνεσθαι εὐπορωτάτους· ὁ γὰρ καὶ τὰ χωρία καὶ τὰς οἰκίας καὶ τὸ χρύσιον ἐπὶ τῆς γῆς περιφέρων, ὅπου περ ἂν φανῇ, μετὰ τοῦ πλούτου φαίνεται τούτου· καὶ πῶς ἔνι τοῦτο γενέσθαι φησίν; ἔνι καὶ μετὰ πλείονος εὐκολίας· ἂν γὰρ εἰς τὸν οὐρανὸν αὐτὰ μεταθῇς διὰ τῆς τῶν πενήτων χειρὸς, ἅπαντα εἰς τὴν σαυτοῦ ψυχὴν μεταθήσεις· κἂν θάνατος ἐπέλθῃ, λοιπὸν οὐδείς σε αὐτὰ ἀφαιρήσεται· ἀλλ' ἀπελεύσῃ κἀκεῖ πλουτῶν· τοιοῦτον εἶχεν ἡ Ταβιθὰ θησαυρόν· διὰ τοῦτο οὐχ ἡ οἰκία αὐτὴν ἐκήρυττεν, οὐδὲ οἱ τοῖχοι, οὐδὲ οἱ λίθοι, οὐδὲ οἱ κίονες,*

ἀλλὰ σώματα χηρῶν ἐνδεδυμένα, καὶ δάκρυα ἐκχεόμενα, καὶ θάνατος δραπετεύων, καὶ ζωὴ ἐπανιοῦσα· τοιαύτας καὶ ἡμεῖς κατασκευάσωμεν ἑαυτοῖς ἀποθήκας· τοιαύτας καὶ ἡμεῖς κατασκευασῶμεν οἰκίας· οὕτω καὶ τὸν Θεὸν συνεργὸν ἕξομεν, καὶ αὐτοὶ αὐτοῦ συνεργοὶ ἐσόμεθα· αὐτὸς μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τοὺς πενομένους· σὺ δὲ παραχθέντας καὶ γενομένους[u] οὐκ ἐᾷς διαφθαρῆναι τῷ λιμῷ καὶ τῇ λοιπῇ ταλαιπωρίᾳ, θεραπεύων, διορθούμενος, πάντοθεν ἀνέχων τοῦ Θεοῦ τὸν ναόν· οὗ τί γένοιτ᾽ ἂν ἴσον καὶ εἰς ὠφελείας καὶ εὐδοξίας λόγον.

Ἐξ ἀνεπιγράφου· Ἐντεῦθεν δείκνυται ὅσον ἐλεημοσύνη μετὰ πίστεως συμβάλλεται, ὅτι καὶ τὴν ὧδε καὶ τὴν αἰώνιον προξενεῖ ζωήν.

40 Ἐκβάλλων δὲ ἔξω πάντας ὁ Πέτρος.

Τοῦ Χρυσοστόμου. Τί δήποτε πάντας ἐκβάλλει; ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι, μηδὲ ταραχθῆναι.

Καὶ θεὶς τὰ γόνατα, προσηύξατο.

Τοῦ αὐτοῦ. Οὐ πάντα μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐποίουν· τοῦτο δὲ αὐτοὺς ὠφέλει· οὐ γὰρ δὴ μόνον τῆς τῶν ἄλλων ἐφρόντιζεν ὁ Θεὸς σωτηρίας, ἀλλὰ καὶ τῆς αὐτῶν· ὁ γὰρ τῇ σκιᾷ τοσούτους θεραπεύων, πῶς τοσαῦτα νῦν ποιεῖ; ἔστι δὲ ὅπου καὶ ἡ πίστις τῶν προσιόντων συνήργει· ταύτην πρώτην νεκρὰν ἀνίστησιν.

Τοῦ αὐτοῦ. Ὅρα τὴν ἐπιτεταμένην εὐχήν.

Καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθά, ἀνά-
στηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς· καὶ ἰδοῦσα
41 τὸν Πέτρον, ἀνεκάθισε· δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν
αὐτήν.

Τοῦ αὐτοῦ. Ὅρα κατὰ μέρος τὴν ζωὴν, εἶτα τὴν δύναμιν εἰσαγομένην· τὴν μὲν διὰ τοῦ ῥήματος, τὴν δὲ διὰ τῆς χειρός· ὅρα πῶς αὐτὴν καθάπερ ἐξ ὕπνου ἐγείρει· πρῶτον ἤνοιξε τοὺς ὀφθαλμούς· εἶτα ἀπὸ τῆς ὄψεως ἀνεκάθισεν· εἶτα ἀπὸ τῆς χειρὸς τὴν δύναμιν ἔλαβεν· ὅρα τὸν καρπὸν οὐ πρὸς ἐπίδειξιν ὄντα· διὰ τοῦτο καὶ βάλλει πάντας ἔξω· τὸν διδάσκαλον κἀν τούτῳ μιμούμενος.

[u] γενομένας Cod.

Φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν.

Τοῦ αὐτοῦ. *Τοῖς μὲν εἰς παράκλησιν, ὅτι παρέλαβον τὴν ἀδελφὴν, ἢ ὅτι θαῦμα εἶδον· ταῖς δὲ, εἰς*[u] *προστασίαν.*

42 *Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευον ἐπὶ τὸν Κύριον.*

Τοῦ αὐτοῦ. *Σημειωτέον ὅτι οὐ μόνοις τοῖς ἀπίστοις ἀλλὰ καὶ τοῖς ἁγίοις ἐγίνετο σημεῖα οἰκονομικῶς· ἵνα ἄλλοι πάλιν πιστεύσωσιν· ἰδοὺ γὰρ μετὰ τὸ σημεῖον τοῦτο πάλιν πολλοὶ ἐπίστευσαν· ὡς εἶναι πάλιν τὰ σημεῖα τοῖς ἀπίστοις, οἳ οὐκ ἄλλως ἐπίστευσαν, εἰ μὴ πάλιν εἶδον σημεῖα· τῶν ἁγίων καὶ δίχα τοῦ σημείου πιστευόντων, ὅτι δυνατός ἐστιν ὁ τοῦ Θεοῦ δοῦλος ἀναστῆσαι ἀμελητὶ νεκρόν· ἐπεὶ πῶς αὐτὸν μετεστείλαντο;*

43 *Ἐγένετο δὲ ἡμέρας ἱκανὰς*[x] *μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.*

Ὅρα τὸ ἄτυφον τοῦ Πέτρου· ὅρα τὸ ἐπιεικές· πῶς οὐ παρὰ ταύτῃ μένει, οὐδὲ παρὰ ἄλλῳ τινὶ τῶν ἐπισήμων, ἀλλὰ παρὰ βυρσεῖ· διὰ πάντων εἰς ταπεινοφροσύνην ἐνάγων, οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιεὶς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι· ἐδέοντο γὰρ αὐτοῦ τῆς διδασκαλίας οἱ διὰ τὰ σημεῖα πιστεύσαντες.

ΚΕΦ. ΙΕ.

Περὶ Κορνηλίου ὅσα πρὸς αὐτὸν ὁ ἄγγελος εἶπε, καὶ ὅσα πάλιν Πέτρῳ οὐρανόθεν περὶ κλήσεως ἐθνῶν ἐρρέθη.

1 *Ἀνὴρ δέ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς.*

Τοῦ Χρυσοστόμου. *Οὗτος οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ τῶν ὑπὸ τὸν νόμον, ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν· ὅρα δύο πιστεύοντας· ὡς τὸν εὐνοῦχον τὸν ἐπὶ τῆς Γάζης, καὶ τοῦτον· ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους· καὶ ὅρα πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν. ἀλλὰ μὴ νομίσῃς ὅτι διὰ τὰ ἀξιώματα τίθησιν, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ· θαυμαστότερον γὰρ ὅταν ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὢν, τοιοῦτος ᾖ· τοῦτό τε ἐκείνου ἐγκώμιον, τοσαύτην ἀποδημίαν στέλλεσθαι, καὶ τὸ μηδὲ καιροῦ καλοῦντος·*

[u] *εἰς* om. Cod. [x] *τινάς* Cod.

καὶ τὸ ἐν ὁδῷ ἀναγινώσκειν, καὶ ἐπὶ ὀχήματος φερόμενον, καὶ τὸ τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα.

Πρῶτος οὗτος ἐξ ἀπίστων ἐθνῶν μετετέθη.

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ.

Τοῦ αὐτοῦ. Ἵνα μὴ νομίσῃς ὅτι διὰ τὸ ἀξίωμα ταῦτα γίνεται, ὅτε Παῦλον ἔδει προσαχθῆναι, οὐδαμοῦ ἄγγελος ἀλλ' αὐτὸς ὁ Κύριος· καὶ οὐ πέμπει αὐτὸν πρὸς μέγαν τινὰ, ἀλλὰ πρὸς εὐτελῆ· ἐνταῦθα δὲ τοὐναντίον τὸν κορυφαῖον ἄγει, καὶ οὐκ αὐτοὺς πέμπει, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ εἰδὼς πῶς κεχρῆσθαι δεῖ τοῖς τοιούτοις. "ἀνὴρ," φησὶν, "εὐσεβὴς καὶ φοβούμενος "τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ·" ἀκούσωμεν ὅσοι τῶν οἰκείων ἀμελοῦμεν· οὗτος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο.

Σευήρου ἐπισκόπου Ἀντιοχείας ἐκ τοῦ πρὸς Κωνστάντιον ἀποϋπατον[y] ἐπιστολῆς. Θεοσεβῶς μὲν βιοῦς, τὴν δὲ τῆς θεοσεβείας θύραν ἀγνοῶν Ἰησοῦν τὸν μέγαν Θεὸν, τὸν ἐν εὐαγγελίοις μεγαλοφώνως βοήσαντα· "ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν "τις εἰσέλθῃ σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ "νομὴν εὑρήσει·" καὶ δὴ καὶ ἀπέστελλεν αὐτῷ τῶν οἰκείων λειτουργῶν ἄγγελον ἕνα, πρὸς τὸ τῆς ἀληθείας φῶς ποδηγήσαντα, καὶ ὑποσημανοῦντα τὴν τῆς σωτηρίας ὁδόν.

Ἰσιδώρου Πηλουσιώτου. Οὐδὲν ὀνίνησι νηστεία τοὺς ὑγιέσι μὴ προσέχοντας ὅροις· ὅσῳ γὰρ τοῦ σώματος ἡ ψυχὴ προτερεύει, τοσοῦτον πολιτείας δόγματα προκρίνεται εὐσεβείας.

Ποιῶν ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός.

Τοῦ Χρυσοστόμου. Μέγα καὶ τοῦτο τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχὰς, καὶ δίκαιον εἶναι ἐν ἀρχῇ τοιαυτῇ· διὰ τοῦτο τὸν ἄνδρα ποιεῖ γνώριμον καὶ δῆλον, ἵνα μήτις εἴπῃ ὅτι ψεύδεται τῶν γραφῶν ἡ ἱστορία· "ἐκ σπείρης," φησὶ, "τῆς καλουμένης Ἰταλικῆς·" σπεῖρα δέ ἐστιν ὃ καλοῦμεν νυνὶ νούμερον.

3 Εἶδεν ἐν ὁράματι φανερῷ, ὡς περὶ ὥραν ἐνάτην τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε.

[y] ἀπὸ ὕπατον Cod.

Διατί βλέπει τὸν ἄγγελον; καὶ τοῦτο εἰς πληροφορίαν Πέ*τρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τῶν ἄλλων τῶν ἀσθενεστέρων· ἐνάτῃ ὥρα, ὅτε φροντίδων ἠφίετο καὶ ἐν ἡσυχίᾳ ἦν· ὅτε ἐν εὐχαῖς ἦν καὶ κατανύξει.*

Τοῦ Χρυσοστόμου. *Καὶ τὰ δόγματα καὶ ὁ βίος αὐτῷ διόρθωτο.*

Τοῦ αὐτοῦ. *Ὅρα τὸν ἄγγελον οὐκ εὐθέως λέγοντα ἃ λέγει, ἀλλὰ πρότερον αἴροντα αὐτοῦ τὴν διανοίαν καὶ μετεωρίζοντα. ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο, ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον· εἶτα καὶ τὰ ῥήματα τὸν φόβον ἔλυσεν· ὁ φόβος διήγειρεν· ὁ ἔπαινος τοῦ φόβου τὸ τραχὺ κατεμάλαξεν.*

4 Ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπε, τί ἐστι, κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἔμπροσθεν τοῦ Θεοῦ.

Τοῦ αὐτοῦ. *Ὅρα μέχρι ποῦ προβαίνει ἡ ἐλεημοσύνη· τὸν οὐρανὸν τοῦ οὐρανοῦ· καὶ αὐτῷ παρίσταται τῷ θρόνῳ τῷ βασιλικῷ.* Καὶ μετ' ὀλίγα—Καὶ *ἡ μὲν αἰσθητὴ εὐωδία οὐδὲ τὸ πολὺ διατέμνει τοῦ ἀέρος· αὕτη δὲ αὐτὰς ἀνοίγει τῶν οὐρανῶν τὰς ἀψίδας· καὶ σὺ μὲν σιγᾷς, τὸ δὲ ἔργον βοᾷ· καὶ γίνεται θυσία αἰνέσεως, οὐ δαμάλεως σφαττομένης οὐδὲ δέρματος καιομένου, ἀλλὰ ψυχῆς πνευματικῆς τὰ παρ' ἑαυτῆς εἰσφερούσης· φιλανθρωπίας γὰρ πάσης τοιαύτη θυσία εὐδοκιμώτερα.*

Σευηριανοῦ Γαβάλων. *Ἐπειδὴ εἶδεν ὁ τῆς ἀληθείας ὀφθαλμὸς, ὁ μέγας κριτὴς, ὅτι καλὰ μὲν τὰ ἔργα, νεκρὰ δέ ἐστι, πίστιν οὐκ ἔχοντα· ἀποστέλλει βραβεύοντα τοῖς ἔργοις ἄγγελον· ὥστε τοὺς καλῶς ἀθλοῦντας στεφανῶσαι τῇ πίστει, ὡς φησὶν ὁ ἄγγελος·* "Κορνήλιε, *αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου* "*ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ* Θεοῦ." *εἰ τοίνυν εἰσηκούσθη ἡ δέησις, καὶ αἱ ἐλεημοσύναι ἀνέβησαν, τί μοι τὸ λεῖπον εἰς δικαιοσύνην; ἀλλὰ πέμψον εἰς* Ἰόππην, *καὶ μετακάλεσαι* Σίμωνα *τὸν ἐπικαλούμενον* Πέτρον, *ὃς ἐλθὼν λαλήσει σοι ῥήματα, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου· οὐκοῦν οὐκ εἶχε τὰ ἔργα σωτηρίαν· εἰ γὰρ ἐξ ὧν κηρύσσει* Πέτρος *σώζεται, οὐκ εἶχεν*

οὐδέπω ἐκ τῶν ἔργων τὴν σωτηρίαν, ἕως αὐτῷ τοῖς ἔργοις ἐβράβευσεν ἡ πίστις· διὰ τοῦτο καὶ Πέτρος ἐλθὼν ἐκ τῆς Ἰόππης, καὶ θεασάμενος τοῦ Θεοῦ τὴν χάριν ἐκχυθεῖσαν ἐν τοῖς τότε νενομισμένους ἀλλοφύλοις, ἐπιγνώμων γενόμενος τῆς τοῦ Θεοῦ κρίσεως λέγει, "ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν." οὐκ εἶπεν, ἐν παντὶ ἔθνει ὁ ποιῶν δικαιοσύνην σώζεται, ἀλλὰ "δεκτός ἐστι·" τούτεστι ἄξιος γίνεται τοῦ δεχθῆναι· δεῖ τοίνυν προλάμπειν τῶν ἔργων τὴν πίστιν, καὶ ἀκολουθεῖν τῇ πίστει τὰ ἔργα· μήτε τὴν πίστιν ὑβριζέτω τῇ ἀκαρπίᾳ· μήτε τὰ ἔργα ὑβριζέτω τῇ ἀπιστίᾳ.

Ἀμμωνίου. Σημειωτέον ὅτι ἐκτενῶς καὶ καθαρῶς συνειδότι, δεόμενος τοῦ Θεοῦ καὶ ποιῶν ἐλεημοσύνας, οὐ μένει οὕτως, ἀλλ' ὁ Θεὸς, δι' ὀπτασίας ἀγγέλου ἢ ἀνθρώπου θεοσεβοῦς, δείκνυσι τὴν ἀληθῆ πίστιν, δι' ἧς τις σώζεται· ὥστε οὖν ἐν ᾧ τις ἀγνοεῖ τόδε ἢ τόδε τὸ πρᾶγμα, εἰ Θεῷ ἀρέσκον ἐστὶν ἢ οὐ, ὀφείλει ἐκτενῶς δεηθῆναι τοῦ Θεοῦ, καὶ ἀποκαλύπτεται αὐτῷ τὸ ἀληθές· μάλιστα δὲ εἰ περὶ τὴν πίστιν ἀπορεῖ, τὸ πῶς δεῖ φρονεῖν ἢ τίνι πιστεῦσαι· διότι πολλαὶ εἰσὶν αἱρέσεις ἐν τοῖς δοκοῦσιν εἶναι Χριστιανοῖς. οὕτως λέγουσι καὶ τὸν ἐν ἁγίοις πατέρα καὶ ἐπίσκοπον Γρηγόριον, δι' ὀπτασίας νύκτωρ κατηχηθῆναι τὸ μυστήριον τῆς Τριάδος ὅπως δεῖ φρονεῖν.

Ταύτας ζητῶμεν τὰς ἀρετὰς, αἳ μετὰ τῆς ἡμετέρας σωτηρίας καὶ τοὺς πλησίον τὰ μέγιστα ὠφελῆσαι δυναιντ' ἄν· τοιοῦτον ἐλεημοσύνη· τοιοῦτον εὐχή· μᾶλλον δὲ καὶ αὐτὴ παρ' ἐκείνης δυνατὴ καὶ ὑπόπτερος γίνεται· "αἱ εὐχαὶ γάρ σου," φησὶν, "καὶ αἱ ἐλεημοσύναι ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ·" οὐκ εὐχὴ δὲ μόνον, ἀλλὰ καὶ νηστεία ἐνταῦθα τὰ νεῦρα ἔχει· κἂν νηστεύῃς χωρὶς ἐλεημοσύνης, οὐδὲ νηστεία τὸ πρᾶγμα λογίζεται, ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χείρων ὁ τοιοῦτος· καὶ τοσούτῳ χείρων, ὅσῳ τρυφῆς ὠμότης χαλεπώτερον· καὶ τί λέγω νηστείαν; κἂν σωφρονῇς καὶ παρθενεύῃς, ἐκτὸς ἕστηκας τοῦ νυμφῶνος, ἐλεημοσύνην οὐκ ἔχων.

5 Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι
6 Σίμωνά τινα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται

παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν ἡ οἰκία παρὰ θάλασσαν. οὗτος λαλήσει σοι τί σε δεῖ ποιεῖν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσι· οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἄλλα καὶ ἀπὸ τοῦ τόπου δηλοῖ τὸν ἄνδρα.*

ΤΟΥ ΑΥΤΟΥ. *Ἴδετε πῶς τὰ ἀνακεχωρημένα τῶν πόλεων ἐδιώκων οἱ Ἀπόστολοι ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας. τί οὖν εἰ συνέβη καὶ ἄλλον εἶναι; ἴδου ἔστι ἄλλο σημεῖον τὸ παρὰ θάλασσαν οἰκεῖν· οὐκ εἶπε διατί· ἵνα μὴ ἐκλύσῃ αὐτὸν ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι.*

7 *Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,*

ΤΟΥ ΑΥΤΟΥ. *Ὁρᾷς οὐχ ἁπλῶς ταῦτα φησὶν, ὅτι οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν.*

8 *Καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.*

ΑΜΜΩΝΙΟΥ. *Σημειωτέον ὅτι οὐκ ἐμποδίζει ἡ στρατεία πρὸς θεοσέβειαν· κἀκεῖνο δὲ, ὅτι οὐκ ἀτάκτους οὐδὲ ἀσεβεῖς, ἀλλὰ θεοσεβεῖς ἔπεμψε πρὸς τὸν Πέτρον ὁ Κορνήλιος· καὶ ὅτι καὶ τοῦτο δεῖγμα ἦν τῆς αὐτοῦ ὁσιότητος, τὸ συγκολλᾶσθαι καὶ ἔχειν ἐγγὺς ἑαυτοῦ θεοσεβεῖς ἄνδρας, διὰ τὸ "μετὰ ὁσίου ὅσιος ἔσῃ," καὶ τὰ ἑξῆς.*

ΤΟΥ ΑΥΤΟΥ. *Ὅρα τὸ ἄτυφον· οὐ γὰρ εἶπε, καλέσατέ μοι Πέτρον, ἀλλ' ὥστε καὶ πεῖσαι ἐξηγήσατο ἅπαντα· τοῦτο οἰκονομικῶς· οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι· διὰ τοῦτο ἐξηγήσατο· οὕτω μέτριος ἦν ὁ ἀνήρ· καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρὸς καταγομένου παρὰ βυρσεῖ.*

9 *Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων αὐτῶν καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἐνάτην.*

ΤΟΥ ΑΥΤΟΥ. *Ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ Πνεῦμα· οὔτε θᾶττον οὔτε βραδύτερον τοῦτο ποιεῖ γενέσθαι.*

Τουτέστι κατ' ἰδίαν καὶ ἐν ἡσυχίᾳ, ὡς ἐν ὑπερῴῳ.

10 **Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ αὐτῶν, ἐγένετο ἐπ᾽ αὐτὸν ἔκστασις,**

Τί ἐστιν ἔκστασις; μᾶλλον πνευματική τις ὡσανεὶ θεωρία γέγονεν αὐτῷ τοῦ σώματος· ὡσανεὶ εἴποι τις, ἐξέστη ἡ ψυχή.

Ἐξ ἈΝΕΠΙΓΡΆΦΟΥ. *Ἡ ἔκστασις δηλοῖ καὶ τὴν ἐπὶ θαυμασμῷ ἔκπληξιν, καὶ τὸ ἔξω τῶν αἰσθητῶν γενέσθαι, ἐπὶ τὰ πνευματικὰ ποδηγούμενον. ἀμέλει ἐκστὰς Πέτρος ἀπήγγειλεν ἃ εἶδε καὶ ἤκουσε. καὶ προσέτι τίνος ἦσαν σύμβολα· οὐκ ἄρα κατὰ τοὺς Φρύγας οἱ προφῆται ὑπὸ τοῦ Πνεύματος κατεχόμενοι ἐν παραφροσύνῃ εἰσὶν, ἀγνοοῦντες τί μὲν φθέγγονται, τί δὲ πράττουσι· δείκνυται δὲ τῷ κορυφαίῳ τῶν Ἀποστόλων διὰ τῆς ὀθόνης τὸ καθαρὸν τῆς Ἐκκλησίας διὰ τῶν τεσσάρων ἀρχῶν· τῶν εὐαγγελίων τὸ σωτήριον κήρυγμα, τὸ συνέχον τὴν Ἐκκλησίαν εἰς μίαν ἑνότητα πίστεως· διὰ δὲ τῶν θεωρηθέντων, τὸ ἐκ παντὸς ἔθνους διὰ τοῦ βαπτίσματος πεπληρῶσθαι τὴν Ἐκκλησίαν ἁγίων ἅμα καὶ ἁμαρτωλῶν.*

ΔΙΔΎΜΟΥ. *Οἱ τὰς φύσεις εἰσάγοντες ἑτερόδεκτοι, φασὶν ἀνεπιδέκτους εἶναι σωτηρίας τοὺς ἀνθρώπους ἐκείνους τοὺς διὰ φαυλότητα ἤθους, κύνας καὶ χοίρους καλουμένους· οἷς τὸ ἅγιον διδόναι καὶ τοὺς μαργαρίτας τοὺς θείους ἀπεῖπεν ὁ σωτήρ· πρὸς τούτοις τοὺς φύσει κακοὺς λέγουσι τοὺς εἰρημένους λύκους ἅρπαγας καὶ ἀλώπεκας, καὶ πάντας ἁπαξαπλῶς τοὺς ὀνόμασιν ἀλόγων ζώων δηλουμένους· ἐλεγκτέον οὖν αὐτοὺς ὡς οὐδεὶς ἐκείνων κατὰ φύσιν, ἀλλὰ κατὰ πρόθεσίν ἐστι κακὸς, ἐκ τῆς ἐγκειμένης ὀπτασίας. τὸν γὰρ Πέτρον διδάξαι βουλόμενος ὁ Θεὸς μηδένα ἄνθρωπον παραιτεῖσθαι ὡς κοινὸν ἢ ἀκάθαρτον ὄντα, σκεῦος ἐμφερές τι ὀθόνης ἐκ τοῦ οὐρανοῦ τέσσαρσιν ἀρχαῖς καθῆκεν ἐπὶ τῆς γῆς· ἐν ᾧ ὑπῆρχε πάντα τὰ γένη τῶν ἀλόγων ζώων· ἀφ᾽ ὧν θύσας φαγεῖν ὁ Πέτρος προσετάττετο· ὁ δὲ ἀκμὴν ἐμμένων ἐν τῇ Ἰουδαϊκῇ συνηθείᾳ, αἰσθητὰ νομίσας τὰ ὁρώμενα, παρῃτήσατο εἰπὼν, κοινὸν ἢ ἀκάθαρτον μηδέποτε βεβρωκέναι· ταῦτα αὐτοῦ εἰρηκότος, ὁ χρησμὸς πρὸς αὐτόν· "ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου·" ἀφ᾽ οὗ καὶ γνῶσιν λαβὼν, ὡς περὶ ἠθῶν ἀνθρώπων τούτων εἰρημένων, εἶπε δεδειχέναι αὐτῷ τὸν Θεὸν, ὡς οὐδεὶς κατὰ φύσιν ἀκάθαρτος ἀνθρώπων· διὸ καὶ ἀναντιρρήτως ἀπαντῆσαι πρὸς τὸν Κορνήλιον, ὠφελη-*

θῆναι θέλοντα σὺν παντὶ τῷ οἴκῳ τὴν εὐαγγελικὴν διδασκαλίαν· ὅθεν ἐπιδέδεικται τὰ τετράποδα καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ ἀναφορὰν ἔχοντα εἰς τὰς ἀνθρώπων καταστάσεις ὑπὸ Θεοῦ χαρισθέντα· οὐ διὰ φύσιν ἀντιπράττουσαν, τὸ ἅγιον ἢ τοὺς μαργαρίτας κεκώλυται κυσὶν ἢ χοίροις διδόναι· ἀλλὰ διὰ προαίρεσιν χειρίστην ἣν καταλεῖψαι δυνατὸν, μηκέτι κύνα ἢ χοῖρον ὄντα. ἡ Συροφοινίκισσα γοῦν γυνὴ διὰ πίστιν ἐκ κυνὸς ἄνθρωπος γέγονεν· ὅθεν καὶ τὸν ἄρτον τῶν τέκνων παρέσχεν αὐτῇ ὁ Ἰησοῦς.

"Ἐγένετο δὲ ἐπ' αὐτόν," φησιν, "ἔκστασις, καὶ θεωρεῖ τὸν οὐ-"ρανὸν ἀνεῳγμένον." Οἱ γυναικῶν παραπαιουσῶν ἑλόμενοι εἶναι μαθηταὶ, οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῆς Φρυγίας, φασὶ τοὺς προφήτας κατεχομένους ὑπὸ τοῦ Ἁγίου Πνεύματος μὴ παρακολουθεῖν ἑαυτοῖς παραφερομένοις κατὰ τὸν τῆς προφητείας καιρόν. δοκοῦσι δὲ ἀπόδειξιν ἔχειν ταύτης τῆς κακοδοξίας ἐκ τῆς προκειμένης γραφῆς λεγούσης ἐξεστακέναι τὸν Πέτρον· ἀλλ' ἴστωσαν οἱ ἠλίθιοι, οἱ ἀληθῶς παραπαίοντες, ὡς πολλὰ σημαίνει ἡ λέξις αὕτη. δηλοῖ γὰρ καὶ τὴν ἐπὶ θαυμασμῷ ἔκπληξιν· καὶ τὸ ἔξω τῶν αἰσθητῶν γενέσθαι, ποδηγούμενον ἐπὶ τὰ πνευματικά· καὶ τὸ παρακόπτειν· ὅπερ οὐ λεκτέον οὔτε ἐπὶ Πέτρου, οὔτε τῶν προφητῶν· ἀλλὰ τὰ ἄλλα ἐκ τῆς λέξεως σημαινόμενα· ἀμέλει γοῦν ὁ ἐκστὰς Πέτρος παρηκολούθει, ὡς ἀπαγγέλλειν ἃ εἶδε καὶ ἤκουσε, καὶ τίνος σύμβολα τὰ δειχθέντα ἦν. Ταῦτα καὶ περὶ τῶν προφητῶν πάντων ἐρεῖς παρακολουθούντων οἷς ἔλεγον τὰ θεωρούμενα· σοφοὶ γὰρ ἦσαν νοοῦντες ἀπὸ τοῦ ἰδίου στόματος ἃ προέφερον· τοῦ Κυρίου μετὰ τὴν ἀνάστασιν φανερῶς ἐντειλαμένου μαθητεῦσαι πάντα τὰ ἔθνη[z]· ἢ πῶς οἱ ἐν Ἱεροσολύμοις Ἀπόστολοι ἀκούσαντες τὰ κατὰ τὸν Κορνήλιον, διεκρίνοντο πρὸς τὸν Πέτρον· πάνυ μὲν οὖν ἐδεῖτο τῆς περὶ τῶν ἐθνῶν θείας ἀποκαλύψεως ὁ τῶν Ἀποστόλων ἔξαρχος Πέτρος ὁ πανάγιος· οὐ γὰρ ἐγίνωσκεν ὅτι περιτομῆς καὶ ἀκροβυστίας οὐκ ἔστι διαστολὴ κατὰ τὴν πίστιν· οὔτε μὴν ᾔδει σαφῶς ὅτι δίχα τῆς κατὰ νόμον φαινομένης λατρείας μαθητευθῆναι τὰ ἔθνη ὁ Κύριος εἶπεν, ἕως οὗ τῆς ἀπορρήτου βουλῆς αὐτοῦ καὶ ἀποκαλύψεως ἐφανέρωσε τὸ μυστήριον· διά τε τοῦ κατὰ τὴν σινδόνα

[z] In marg. sec. m. πῶς ἐδεῖτο ὁ Πέτρος τὸ κυϑ᾽ τοῦ Κορνηλίου ἀποκαλύψεως τὰ ἔθνη.

παραδείγματος πείσας, διά τε τῆς ἴσως τὴν πίστιν δοθείσης καὶ τοῖς ἔθνεσι χάριτος τοῦ Ἁγίου Πνεύματος, ὡς οὐκ ἔστιν ἐν Χριστῷ διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὅπερ καὶ οἱ ἐν Ἱεροσολύμοις ἀγνοοῦντες Ἀπόστολοι διεκρίνοντο πρὸς αὐτὸν, ἕως ἔμαθον καὶ αὐτοὶ τὸν ἐν ἀποκρύφοις πλοῦτον τῆς ἐπὶ πάντας ἀνθρώπους θείας χρηστότητος. θείας γὰρ ζωῆς καὶ καινῆς λατρείας παρὰ τὴν νομικὴν εἰσαγωγὴν, καὶ ψυχῆς ἑκουσίως σώματος ἑαυτὴν ἀπολυούσης καταγνώμην[u] *ὑπῆρχε διδαχῇ, καὶ ἄλλης ἀρχὴ θειοτέρας γενέσεως ὑποτύπωσις ἡ τοῦ κηρύγματος χάρις· καὶ διὰ τοῦτο τῆς τοῦ προστάξαντος ἔχρῃζον ἐφ' ἑκάστῳ λόγῳ διδαχῆς οἱ ταύτην πιστευθέντες τὴν διακονίαν· εἰ δέ τῳ*[x] *μὴ δοκῶ τοῦ δέοντος εἶναι περιεργότερος, πᾶς λόγος θείας ἐντολῆς δεῖται πάντως τοῦ ἐπ' αὐτῷ πρὸς ἐνέργειαν ὁρισθέντος τρόπου διδαχῆς καὶ ἀποκαλύψεως· οὐ γάρ ἐστι τὸ παράπαν τὸ διαγινῶσκον τόν τινος λόγου τρόπον χωρὶς τοῦ φαμένου τὸν λόγον ἀποκαλύψεως· ὅπερ εἰδὼς καὶ ὁ πανεύφημος Πέτρος, λαβὼν ἤδη παρὰ τοῦ Κυρίου τὸν περὶ τῶν ἐθνῶν τοῦ κηρύγματος λόγον, οὐκ ἐνεχείρησεν· ἀναμένων διδαχθῆναι παρὰ τοῦ δόντος τὸν λόγον, τοῦ λόγου τὸν τρόπον.*

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον σκεῦός τι, ὡς ὀθόνην μεγάλην,

Τοῦ Χρυσοστόμου. *Σύμβολον τῆς οἰκουμένης ἁπάσης ὁ ἄνθρωπος ἀκρόβυστος ἦν· οὐδὲ γὰρ κοινὸν εἶχε πρὸς Ἰουδαίους· ἔμελλον αὐτοῦ κατηγορεῖν ἅπαντες ὡς παραβάτου· τοῦτο πάνυ αὐτοῖς προσίστατο· ὅρα οὖν τί οἰκονομεῖται, ἵν' ἔχῃ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, ὅ τι καὶ ἀντεῖπε· πάνυ γὰρ αὐτοὺς ἔδει τὸν νόμον φυλάττειν. εἰς ἔθνη ἐπέμπετο· ἵνα οὖν μὴ καὶ οὗτοι αὐτοῦ κατηγορήσωσιν, ὅρα πόσα οἰκονομεῖται· ἵνα γὰρ μὴ δόξῃ φαντασιά τις εἶναι, εἶπον*[y]*, φησὶ, "μηδαμῶς Κύριε."*

Εὐαγρίου. *Αἱ τέσσαρες ἀρχαὶ τὰ τέσσαρα στοιχεῖα δηλοῦσι, καὶ τὸ φανὲν σκεῦος τὸν παχύτερον κόσμον σημαίνει· καὶ τὰ διάφορα ζῶα τῆς τῶν ἀνθρώπων ἐστὶ καταστάσεως σύμβολα.*

12 Τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς· ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα· καὶ τὰ θηρία,

[u] Sic. [x] εἰδέτω Cod. [y] Sic.

καὶ τὰ ἑρπετὰ τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

Τέσσαρσιν εὐαγγελίοις δεδεμένην τὴν Ἐκκλησίαν, ἐν ᾗ ὑπῆρχε πάντα τὰ ἔθνη.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτὸν, ἀναστὰς, Πέτρε, θῦ-
14 σον καὶ φάγε. ὁ δὲ Πέτρος εἶπε, μηδαμῶς, Κύριε· ὅτι
οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον.

Ἴσως ἐπὶ γόνατα κείμενος εἶδε τὴν ὀπτασίαν· ἐμοὶ δοκεῖ καὶ κήρυγμα τοῦτο ὅτι θεῖον ἦν τὸ γενόμενον· τό τε ἄνωθεν ἰδεῖν, τό τε ἐν ἐκστάσει γενέσθαι, καὶ τὸ φωνὴν ἐκεῖθεν ἥκειν, καὶ τὸ τρὶς ὁμολογῆσαι ὅτι ἀκάθαρτα ἦν, καὶ τὸ ἐκεῖθεν ἥκειν, καὶ τὸ ἐκεῖ ἀνασπασθῆναι μέγα δεῖγμα καθαρότητος. διατί δὲ καὶ τοῦτο γίνεται; διὰ τοὺς μετὰ ταῦτα, οἷς μέλλει ἐξηγεῖσθαι· ἐπεὶ αὐτὸς ἤκουσεν, ὅτι "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε·" εἰ γὰρ καὶ περιτομῆς ἐδεήθη καὶ θυσίας ὁ Παῦλος, πολλῷ μᾶλλον τότε, ἐν ἀρχῇ τοῦ κηρύγματος ἀσθενεστέρων ὄντων αὐτῶν.

ΤΟΥ ΑΓΙΟΥ ἘΠΙΦΑΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΠΡΟΥ ΕΚ ΤΟΥ Α ΒΙΒΛΙΟΥ ΤΩΝ ΠΑΝΑΡΙΩΝ ΚΑΤΑ ἘΒΙΩΝΑΙΩΝ. *Εὑρεθήσεται ἐκ δύο τρόπων τῆς ἀληθείας ἡ σύστασις· εἰ μὲν γὰρ ἐροῦσι κατὰ πάντων τῶν βρωμάτων διεξεληλυθέναι λόγον τὸν ἅγιον Πέτρον, καὶ λέγειν ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον, ὡς καὶ βόας καὶ αἶγας, καὶ πρόβατα καὶ ὄρνις κοινὰ λέγεσθαι παρ' αὐτῷ, εὐθὺς ἐλεγχθήσονται ἐκ τῆς προτέρας αὐτοῦ ἀναστροφῆς· μετὰ γὰρ τὸ γῆμαι, καὶ τέκνα κεκτῆσθαι, καὶ πενθερὰν ἔχειν, συνέτυχε τῷ Σωτῆρι ἐξ Ἰουδαίων ὁρμωμένος· Ἰουδαῖοι δὲ καὶ σάρκας ἐσθίουσι, καὶ κρεωφαγία παρ' αὐτοῖς οὐκ ἔστι βδελυκτὴ, οὐδὲ ἀπηγόρευται· ἄρα οὖν αὐτοῦ βεβρωκότος ἀπ' ἀρχῆς, εἰ καὶ εὐθέως τοῦ συναντῆσαι τῷ Σωτῆρι εἴποιμεν, δειχθήσεται ὅτι οὐδὲν ἡγήσατο κοινὸν τῶν οὐ κοινῶν λεγομένων· καὶ γὰρ οὐ κατὰ πάντων ἀπεφήνατο τὸ κοινὸν καὶ ἀκάθαρτον, ἀλλὰ περὶ ὧν ἔλεγεν ὁ νόμος κοινῶν καὶ ἀκαθάρτων· πάλιν δὲ τούτου δειχθέντος, ὅτι οὐ περὶ πάντων κρεῶν ἔλεγεν ὡς κοινῶν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ κοινῶν τε καὶ ἀκαθάρτων, ὁ Θεὸς τῆς ἁγίας Χριστοῦ Ἐκκλησίας τὸν χαρακτῆρα παραδοὺς, ἔλεγεν αὐτῷ μηδὲν κοινὸν ἡγεῖσθαι· πάντα γὰρ αὐτῷ ἐστι καθαρὰ*

μετὰ εὐχαριστίας καὶ εὐλογίας Θεοῦ λαμβανόμενα· ἀλλ' εἰ καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν τὸ αἴνιγμα, ἵνα μὴ ἡγήσηται τοὺς ἐν ἀκροβυστίᾳ κοινοὺς ἢ ἀκαθάρτους, ὅμως ὁ λόγος τοῦ Πέτρου *οὐ περὶ ἀνθρώπων εἶχε τὴν ἔμφασιν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ ἀπηγορευμένων, ὡς καὶ παντὶ σαφὲς ἂν εἴη.*

Ἀμμωνίου. Μᾶλλον *ἢ πάντα ἀκάθαρτα ἦν ἐν τῷ σκεύει τῷ ὀθονοειδεῖ, ἢ δεικτικῶς ἡ φωνὴ αὐτῷ ἐσήμανεν ἐκ τῶν ἀκαθάρτων φαγεῖν· ἢ καὶ κοινῷ ὀνόματι ἀορίστως εἰποῦσα ἡ φωνὴ, ἀναστὰς, φάγε ὃ δοκεῖ σοι ἐκ τῶν φαινομένων, ἐποίησε τὸν* Πέτρον *εἰπεῖν, " μηδαμῶς* Κύριε, *ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινόν·" " τοῦτο δὲ " ἐγένετο ἐπὶ τρίς."*

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτὸν,

Τοῦ Ἁγίου Κυρίλλου ἐκ τοῦ δευτέρου τεύχους τῶν κατὰ Ἰουλιανοῦ. Τοῦ *θεσπεσίου* Πέτρου *ἐπὶ τοῖς* Ἰουδαίοις *ἔθεσιν ἐμφιλοχωρεῖν ἐθέλοντος, καὶ οἷον ὀκνοῦντος ἰέναι πρὸς τὰ βελτίω, διὰ τὸ ἡττῆσθαι*[y] *δεινῶς τῇ περὶ τοὺς τύπους αἰδοῖ, καθίησι τὴν ὀθόνην ἐξ οὐρανοῦ* Θεὸς, *ἐγγεγραμμένων αὐτῇ τῶν ζώων, ἃ ταῖς τοῦ νόμου ψήφοις αἰνιγματώδως μὲν, ὡς ἔφην, πλὴν ὡς βέβηλα κατεκρίνετο· καὶ δὴ καὶ σφάττειν ἐκέλευε, καὶ εἴπερ ἕλοιτο ποιεῖσθαι τροφήν· ἀλύοντος δὲ καὶ οὕτω τοῦ μαθητοῦ, καὶ δὴ καὶ λέγοντος* Ἰουδαϊκῶς, *" μηδαμῶς* Κύριε, *ὅτι οὐδέποτε ἔφαγον πᾶν " κοινὸν καὶ ἀκάθαρτον·" οὐδὲ εἰσῆλθεν εἰς τὸ στόμα μου πᾶν κρέας βέβηλον· φωνὴ κατεδόθη, μονονουχὶ καὶ ἐπιπλήττοντος αὐτῷ τοῦ* Θεοῦ, *λέγοντός τε σαφῶς, " ἃ ὁ* Θεὸς *ἐκαθάρισε, σὺ μὴ κοίνου·" εἶτα συνῆκεν εὐθὺς, ὡς ἐνειστήκει καιρὸς τοῦ μεταπλάττεσθαι δεῖν πρὸς ἀλήθειαν τὰς σκιάς. ἡ δέ γε τῶν τύπων εἰς ἀλήθειαν μεταφοίτησις, ἀποπεραίνει μᾶλλον αὐτοὺς, καὶ οὐ καθάπερ οἴονταί τινες εἰκῆ τεθειμένους ἀποφήνειεν ἄν· οὐκοῦν οὐ ποτὲ μὲν ὁ νομοθέτης καθαρὸν οἶδε τὸν σῦν, ἤγουν τὰ ἕτερα, ποτὲ δὲ οὐχί· ἀλλ' οἶδεν εὖ γεγονότα· οὐκοῦν εἰ καὶ μὴ πρόσεστιν ὑσὶ τὸ μαρυκᾶσθαι τυχὸν, ἀλλ' οὖν οὐκ ἀκάθαρτον· ἐδώδιμον δὲ μᾶλλον ἐστὶ τὸ ζῶον κατὰ μίαν· εἰ δέ τινας κατ' οὐδένα τρόπον, τόγε ἧκον εἰς ἰδίαν φύσιν· τύποι γὰρ, ὡς ἔφην, ὁ νόμος, καὶ σκιαὶ μέχρι καιροῦ διορθώσεως ἐπικείμεναι.*

y διάτο τὸηττῆσθαι Cod.

Τοῦ Χρυσοστόμου. Δοκεῖ μὲν πρὸς αὐτὸν λέγεσθαι ἡ φωνὴ, τὸ δὲ πᾶν πρὸς Ἰουδαίους λέγεται· εἰ γὰρ ὁ διδάσκαλος ἐπιτιμᾶται, πολλῷ μᾶλλον οὗτοι· ἡ οὖν γῆ τουτέστιν ἡ σινδὼν, τὰ δὲ ἐν αὐτῇ θηρία οἱ ἐξ ἐθνῶν· τὸ δὲ "θῦσον καὶ φάγε," ὅτι κἀκείνοις δεῖ προσιέναι· τὸ δὲ τρίτον τοῦτο γενέσθαι τὸ βάπτισμα.

Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

Εἰρηναίου. Τοῦ Πέτρου τὴν ἀποκάλυψιν ἰδόντος, ἐν ᾗ ἡ οὐράνιος εἶπεν αὐτῷ φωνὴ, "ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου·" τοῦθ' ὅτι διὰ τοῦ νόμου μεταξὺ καθαρῶν καὶ ἀκαθάρτων διαστείλας ὁ Θεὸς, οὗτος κεκαθάρικε τὰ ἔθνη διὰ τοῦ αἵματος τοῦ παιδὸς αὐτοῦ, ὃν καὶ ὁ Κορνήλιος ἐσέβετο.

Τοῦ Χρυσοστόμου. Πολλὴ ἡ τόλμα· διατί ἀντεῖπε; ἵνα μή τις εἴπῃ ὅτι ἐπείραζεν ὁ Θεὸς ὥσπερ ἐπὶ τοῦ Ἀβραάμ· διὰ τοῦτο φησὶν, οὐχὶ ἀντιλέγων· ὥσπερ οὖν καὶ πρὸς τὸν Φίλιππον ἔλεγε "πόσους ἄρτους ἔχετε" οὐχ ἵνα μάθῃ, ἀλλὰ πειράζων αὐτόν· καὶ μὴν αὐτός ἐστιν ὁ περὶ καθαρῶν καὶ ἀκαθάρτων διαλεχθεὶς ἀνθρώπῳ· ἀλλὰ καὶ ἐκεῖ τετράποδα ἦν, καὶ οὐδὲ οὕτως ᾔδει.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

Ἀμμωνίου. Τὸ τῆς Τριάδος δείκνυσιν αὐτῷ τὸ ἀληθὲς τῆς ὀπτασίας· ὥσπερ καὶ ἡ εἰς Τριάδα πίστις τὴν ἀληθῆ θεοσέβειαν παρίστησιν.

17 Ὡς δὲ ἐν αὐτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν, ἰδοὺ, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ὑπὸ τοῦ Κορνηλίου,

Τοῦ Χρυσοστόμου. Εὐκαίρως ἔρχονται οἱ ἄνδρες τὴν ἀπορίαν λύοντες· ἐπεὶ καὶ τὸν Ἰωσὴφ πρότερον εἴασε θορυβηθῆναι ὁ Χριστὸς, καὶ τότε τὸν ἄγγελον πέμπει· εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γενομένη· οὔτε πρὸ τούτου, ἀλλὰ περὶ τὸν καιρὸν καθ' ὃν ἠρώτησαν εἰ ἐκεῖ ἐξενίζετο.

Διερωτήσαντες τὴν οἰκίαν τοῦ Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα·

Τοῦ αὐτοῦ. Ἅτε ὡς εὐτελῆ οἰκίαν κάτωθεν ἐπυνθάνοντο, τοὺς γείτονας ἠρώτων.

18 Καὶ φωνήσαντες ἐπυνθάνοντο, εἰ Σίμων ὁ ἐπικαλού-
19 μενος Πέτρος ἐνθάδε ξενίζεται. τοῦ δὲ Πέτρου διανοου-
μένου περὶ τοῦ ὁράματος, εἶπε τὸ Πνεῦμα αὐτῷ,

Τοῦ αὐτοῦ. Καὶ πάλιν τοῦτο ἀπολογία Πέτρου πρὸς τοὺς μαθητὰς, ἵνα μάθωσιν ὅτι καὶ διεκρίθη καὶ ἐπαιδεύθη μὴ διακρίνεσθαι.

Ἀμμωνίου. Σημειωτέον ὅτι οὐ δεῖ τινὰ ἑαυτῷ αὐθεντεῖν καὶ καινοτομίας εἰσάγειν ἐν τῇ πίστει· ὅπου μετὰ ὀπτασίαν ὁ Πέτρος τοσοῦτον διηπόρει, ὥστε καὶ Πνεῦμα αὐτὸν προτρέψασθαι· δεῖ οὖν καὶ θείας προτροπῆς ἐν τοῖς δοκοῦσι παρὰ κανόνα γίνεσθαι, ὡς καὶ ἄνω ἐπὶ τοῦ βαπτίσματος Φιλίππου σεσημείωται· ὃν εἶπον διάκονον ὄντα μὴ δύνασθαι δίχα ἀνάγκης βαπτίζειν.

20 Ἰδοὺ, ἄνδρες τρεῖς ζητοῦσί σε· ἀλλὰ ἀναστὰς κατά-
βηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· ὅτι
ἐγὼ ἀπέσταλκα αὐτούς.

Τοῦ Χρυσοστόμου. Πολλὴ τοῦ Πνεύματος ἡ ἐξουσία· ὃ γὰρ ποιεῖ ὁ Θεὸς, τοῦτο λέγεται τὸ Πνεῦμα ποιεῖν· ὁ μὲν γὰρ ἄγγελος οὐχ οὕτως· ἀλλὰ πρῶτον εἶπεν, "αἱ εὐχαί σου καὶ ἐλεημο- "σύναι σου·" ἵνα δείξῃ ὅτι ἐκεῖθεν ἀπέσταλται· τὸ δὲ Πνεῦμα οὐχ οὕτως· ἀλλ' ὅτι "αὐτοὺς ἐγὼ ἀπέσταλκα."

Τοῦ αὐτοῦ. Καὶ οὐκ εἶπε, διὰ γὰρ τοῦτο ὅραμά σοι ὤφθη· ἀλλ' "ἐγὼ αὐτοὺς ἀπέσταλκα·" οὕτω δεῖ τῷ Πνεύματι πείθεσθαι, εὐθύνας οὐκ ἀπαιτοῦντα· ἀρκεῖ πρὸς πᾶσαν πληροφορίαν τὸ ἀκοῦσαι παρ' αὐτοῦ· τόδε ποίησον· τόδε πίστευσον· μηδὲν πλέον.

21 Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοὺς ἀπεσταλ-
μένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτὸν, εἶπεν, ἰδοὺ ἐγώ
εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία, δι' ἣν πάρεστε;

Τοῦ αὐτοῦ. Εἶδε στρατιώτην· εἶδεν ἄνθρωπον· οὐκ ἐφοβήθη λοιπὸν, ἀλλὰ πρότερον ὁμολογήσας αὐτὸς εἶναι καὶ ζητήσας, τότε τὴν αἰτίαν πυνθάνεται· ἵνα μὴ νομισθῇ διὰ τοῦτο τὴν αἰτίαν πυνθάνεσθαι, ὡς δὴ θέλων ἑαυτὸν κατακρύψαι· ἵνα ἂν μὲν εὐθέως κατεπείγει, καὶ συνεξέλθῃ· ἂν δὲ μὴ, ἵνα ξενίσῃ εἰς τὸν οἶκον αὐτούς.

22 Οἱ δὲ εἶπον, Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος

καὶ φοβούμενος τὸν Θεὸν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων.

Τοῦ αὐτοῦ. Λέγουσι τὰ ἐγκώμια, ὥστε πεῖσαι, ὅτι καὶ ἄγγελος ὤφθη αὐτῷ· ὅρα πόθεν ἡ ἀρχὴ γίνεται τῶν ἐθνῶν· ἀπὸ ἀνδρὸς εὐσεβοῦς ἀξίου φανέντος ἀπὸ τῶν ἔργων· εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως σκανδαλίζονται, εἰ μὴ τοῦτο ἦν· τί οὐκ ἂν ἐγένετο; ὅρα πόση ἀσφάλεια, ὥστε μηδὲν αὐτοὺς παθεῖν δεινόν.

Ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου, μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.

Τοῦ αὐτοῦ. Μὴ καταφρονήσῃς· οὐχ ὡς καταφρονῶν ἔπεμψεν, ἀλλ᾽ ἐκελεύσθη οὕτως.

* Ὅτι μετασταλεὶς ὁ Πέτρος ἦλθε πρὸς Κορνήλιον.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε.

Τοῦ αὐτοῦ. Μετὰ παρρησίας λοιπὸν καὶ συνδιαιτᾶται, καὶ ἦλθον σὺν αὐτῷ ἄλλοι.

Τῇ ἐπαύριον ἀναστὰς ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς·
24 καί τινες τῶν ἀδελφῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ·
καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν.

Τοῦ Χρυσοστόμου. Καλῶς πρότερον φιλοφρονεῖται τοὺς ἄνδρας, ἅτε ἀπὸ καμάτου ὄντας, καὶ οἰκειοῖ ἑαυτῷ· καί τινες ἔρχονται μετ᾽ αὐτοῦ· καὶ τοῦτο οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅταν ἀπολογεῖσθαι δέῃ Πέτρον.

Τοῦ αὐτοῦ. Ἐπίσημος ἦν ὁ ἀνὴρ, καὶ ἐν ἐπισήμῳ πόλει τυγχάνων· διὰ τοῦτο πάντα γίνεται· καὶ ἀπὸ τῆς Ἰουδαίας ἀρχὴν λαμβάνει τὸ πρᾶγμα· οὐχὶ ἐν ὕπνῳ ὤφθη, ἀλλ᾽ ἐγρηγορότι· ἐν ἡμέρᾳ, περὶ ὥραν ἐνάτην οὕτως αὐτῷ προσεῖχεν.

Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς, συγκελεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ τοὺς ἀναγκαίους φίλους.

Τοῦ αὐτοῦ. Τοῦ φίλου τοῦτο θεοσεβοῦς, ἐν τοῖς τοιούτοις ἀγαθοῖς πάντων ποιεῖσθαι κοινωνοὺς τοὺς ἀναγκαίους φίλους· εἰκότως οἷς ἐθάρρει ἀεὶ περὶ τοιούτων ὄντος αὐτῷ τοῦ ἀγῶνος· φοβούμενος τοῖς ἄλλοις ἐγχειρίσαι. ἐμοὶ δὲ καὶ φίλοι καὶ συγγενεῖς παρ᾽ αὐ-

τοῦ δοκοῦσιν εὐωχεῖσθαι· ὅρα πῶς ἐπίστευσεν ὅτι πάντως ἥξει ὁ Πέτρος.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν.

Τοῦ αὐτοῦ. Τοῦτο καὶ τοὺς ἄλλους παιδεύων, καὶ τῷ Θεῷ εὐχαριστῶν, καὶ τὸ ταπεινὸν αὐτοῦ ἐνδεικνύμενος.

26 Ὁ δὲ Πέτρος ἤγειρεν αὐτὸν λέγων, ἀνάστηθι, καὶ
27 ἐγὼ αὐτὸς ἄνθρωπός εἰμι· καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε·
καὶ εὑρίσκει συνεληλυθότας πολλούς.

Τοῦ αὐτοῦ. Ὅρα πῶς πρὸ τῶν ἄλλων τοῦτο αὐτοὺς παιδεύουσι, μηδὲν μέγα περὶ αὐτὸν φαντάζεσθαι.

Ἀμμωνίου. Εἰ ὁ Πέτρος ὁ τοσοῦτος οὐκ ἠνέσχετο τοῦ προσπεσόντος αὐτῷ, ἴσον ἑαυτὸν ποιῶν τῷ Κορνηλίῳ, καὶ ταῦτα ἔτι ὄντι ἐθνικῷ, τί δεῖ εἰπεῖν περὶ τῶν λοιπῶν ἀνθρώπων;

28 Ἔφη τε πρὸς αὐτούς, Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσεύχεσθαι ἀλλοφύλῳ.

Τοῦ Χρυσοστόμου. Ὅρα εὐθέως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλέγεται· καὶ δείκνυσιν ὅτι μεγάλα αὐτοῖς ἐχαρίσατο ὁ Θεός· καὶ ὅρα πῶς ὁμοῦ καὶ μεγάλα φθέγγεται, καὶ μετριάζει· οὐ γὰρ εἶπεν, ἄνθρωποι, μηδενὶ καταξιοῦντες κολλᾶσθαι ἤλθομεν πρὸς ὑμᾶς, ἀλλάγε, ὑμεῖς ἐπίστασθε, ὁ Θεὸς τοῦτο ἐκέλευσε παράνομον εἶναι κολλᾶσθαι ἢ προσεύχεσθαι ἀλλοφύλῳ.

Καί μοι ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον.

Εἰρηναίου. Διὰ τῶν λόγων τούτων σημαίνων ὅτι οὐκ ἂν ἐπεπορεύετο πρὸς αὐτούς, εἰ μὴ κεκέλευστο· ἴσως γὰρ οὐδὲ τὸ βάπτισμα οὕτως εὐχερῶς ἔδωκεν αὐτοῖς, εἰ μὴ τοῦ Πνεύματος τοῦ Ἁγίου ἐπαναπαύοντος[z] αὐτοῖς, προφητεύοντας αὐτοὺς ἀκηκόει· καὶ διὰ τοῦτο ἔλεγε· "μή τις τὸ ὕδωρ κωλῦσαι δύναται τού-

[z] Incertæ scripturæ est vox, et fors. ἐπαναγέντος scripsit librarius.

"τους, οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς;" πείθων ἅμα τοὺς συμπαρόντας καὶ σημαίνων, ὅτι εἰ μὴ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτοὺς ἐπαναπέπαυτο, ἦν ὁ κωλύσων αὐτοὺς τοῦ βαπτίσματος.

Τοῦ Χρυσοστόμου. Ἵνα μηδεὶς οὕτω τὴν χάριν ἔχῃ, ταῦτά φησιν· ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν.

Ἀμμωνίου. Σημειωτέον ὅτι αὐτὸς ὁ Θεὸς ἐπέτρεψε τῷ Χριστιανῷ λαῷ, μηδένα ἄνθρωπον κοινὸν ἢ ἀκάθαρτον λέγειν, ἀλλὰ συνεῖναι αὐτοῖς· ἅτε ἐλπίδα ἔχοντες τοῦ πιστεύειν μάλιστα εἰς τὸν Χριστόν.

29 Διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς.

Ἵνα μὴ νομίσωσιν ὅτι παρανομία ἦν τὸ πρᾶγμα, μὴ δὲ νομίσῃ ἐπειδὴ ἄρχων ἦν διὰ τοῦτο ὑπήκουσεν· ἀλλὰ τὸ πᾶν τῷ Θεῷ λογίσωνται. οὐ μόνον κολλᾶσθαι ἀλλ' οὐδὲ προσέρχεσθαι ἐξῆν.

Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με.

Τοῦ αὐτοῦ. Ἤδη τὸ πᾶν ὁ Πέτρος ἤκουσε καὶ παρὰ τῶν στρατιωτῶν, ἀλλὰ πρῶτον βούλεται αὐτοὺς ὁμολογῆσαι, καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει· ἤκουσε γὰρ παρὰ τῶν στρατιωτῶν.

30 Καὶ ὁ Κορνήλιος ἔφη· ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας, ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου.

"Τὴν ἐνάτην ὥραν," φησὶ, "προσευχόμενος," τί ἐστι τοῦτο; ἐμοὶ δοκεῖ καιροὺς οὗτος ὡρικέναι ἑαυτῷ βίου ἀκριβεστέρου· καὶ ἔν τισιν ἡμέραις· διὰ γὰρ τοῦτο εἶπεν "ἀπὸ τετάρτης ἡμέρας·" ὅρα πόσον ἐστὶν εὐχή· ὅτε ἐπέδωκεν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ὁ ἄγγελος. αὕτη μία ἡμέρα, καὶ ἣν ἀπῆλθον οἱ πεμφθέντες παρὰ Κορνηλίου, μία· καὶ ἣν ἦλθον, μία· καὶ τετάρτη ἐφάνη ὡσεὶ τρίτην ὥραν μεθ' ἣν προσηύξατο.

[a] Καὶ ἰδοὺ, ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ,
31 καὶ φησί.

Τοῦ Χρυσοστόμου. Οὐ λέγει ἄγγελος· οὕτως ἐστὶν ἄτυφος.

[a] Καὶ ὁ Πέτρος ἐμφανὴς γενόμενος νύκτωρ τοῖς ἀδελφοῖς ὑπεχώρησεν. Male hoc loco hunc sectionis titulum ponit Codex.

Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημο-
32 σύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ· πέμψον οὖν
εἰς Ἰόππην καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται
Πέτρος· οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, παρὰ
33 θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι. ἐξαυτῆς οὖν
ἔπεμψα πρὸς σέ· σύ τε καλῶς ἐποίησας παραγενόμενος.

ΤΟΥ̃ ΧΡΥΣΟΣΤΌΜΟΥ. Ἵνα δείξῃ ἑαυτὸν ἄξιον ὄντα· ἐπειδὴ εἶπεν, "ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν Ἰουδαίῳ κολλᾶσθαι, ἢ συνεύ-"χεσθαι ἀλλοφύλῳ·" οὐκ ἔστι τοῦτο κενοδοξίας· "πάντες ὑμεῖς "ἐπίστασθε," φησὶ, καὶ τὴν ἐκείνων κατεγγυῆται γνώμην.

Νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Κυρίου.

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃. Ὅρα ὅση πίστις· ὅρα ὅση εὐλάβεια· ᾔδει ὅτι οὐδὲν ἀνθρώπινον εἶπε Πέτρος· ὅτι ὁ Θεὸς ἔδειξέ μοι, φησί· λέγει λοιπὸν οὗτος, "πάρεσμεν ἀκοῦσαι τὰ προστεταγμένα σοι ὑπὸ τοῦ "Κυρίου."

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃. Οὐχὶ ἐνώπιον ἀνθρώπου ἀλλὰ τοῦ Θεοῦ· οὕτω δεῖ προσέχειν τοῖς τοῦ Θεοῦ δούλοις· εἴδετε διάνοιαν διεγηγερμένην· εἴδετε πῶς ἄξιος ἦν πάντων τούτων.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα αὐτοῦ εἶπεν· ἐπ' ἀλη-
θείας καταλαμβάνομαι.

ΕἸΡΗΝΑΊΟΥ ἘΠΙΣΚΌΠΟΥ ΛΟΥΓΔΟΎΝΩΝ. Τρανῶς σημαίνει ὅτι ὃν πρότερον Θεὸν ἐφοβεῖτο ὁ Κορνήλιος, τὸν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν κατηχεῖτο, δι' ὧν[b] καὶ τὰς ἐλεημοσύνας ἐποίει, οὗτος ἐπ' ἀληθείας ἐστὶ Θεός· ἔλειπε δὲ αὐτῷ ἡ τοῦ Υἱοῦ γνῶσις.

Ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς,

ΤΟΥ̃ ΧΡΥΣΟΣΤΌΜΟΥ. Τουτέστιν ἄν τε ἀκρόβυστος ᾖ, ἄν τε ἐμπερίτομος[c]· τί οὖν φησι; δεκτὸς αὐτῷ ἐστιν ὁ ἐν Περσίδι; ἂν ᾖ ἄξιος· ταύτῃ δεκτός ἐστι τῷ καταξιωθῆναι τῆς πίστεως· τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον οὐ περιεῖδε· τί οὖν ἂν εἴποι τις περὶ τῶν θεοσεβῶν τῶν περιοφθέντων; οὐκ ἔστι τινὰ περιοφθῆναί ποτε· ὁ δὲ λέγει τοῦτό ἐστιν, ὅτι οὐδένα ἀπωθεῖται.

[b] Sic. [c] ἐνπερίτομος Cod.

Τοῦ Αὐτοῦ. Τουτέστιν οὐ προσώπων ποιότητα, ἀλλὰ πραγμάτων ἐξετάζει διαφοράν.

Τοῦ Αὐτοῦ. Ὡς ὅταν λέγῃ Παῦλος, "ὅταν γὰρ ἔθνη τὰ μὴ "νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ," καὶ δόγμα τίθησι καὶ πολιτείαν· εἰ γὰρ μάγους οὐ περιεῖδεν, οὐδὲ Αἰθίοπα, οὐδὲ λῃστὴν, οὐδὲ πόρνην, πολλῷ μᾶλλον τοὺς ἐργαζομένους δικαιοσύνην καὶ βουλομένους πάντως.

Τοῦ Αὐτοῦ. Προσίεται γὰρ ἅπαντας τοὺς τῶν ἀγαθῶν ἐπιτηδευμάτων ἐργάτας ὁ φιλαρέτας ἡμῶν Χριστός.

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζό-
μενος δικαιοσύνην, δεκτός αὐτῷ ἐστι.

Ἐὰν προσδράμῃ τῷ βαπτίσματι τῷ θείῳ, ἀποστὰς τῆς προτέρας πλάνης, ἤγουν τῆς προλαβούσης.

Τοῦ Χρυσοστόμου. Τὴν πᾶσαν φησὶν ἀρετὴν ἐν τάξει ἀπερριμμένων εἶναι.

Ἀμμωνίου. Πρὸ τοῦ οὖν δέξασθαι [b] τὸν δικαιοπραγοῦντα διὰ τῆς εἰς ἑαυτὸν πίστεως ὁ Χριστὸς εἰς τὴν Ἐκκλησίαν, καὶ πιστεύσῃ [c] τοῖς θείοις καὶ ἀληθινοῖς δόγμασιν, ἀπρόσδεκτος ὢν, οὐκ εἰσέρχεται εἰς τὴν τῶν οὐρανῶν βασιλείαν.

36 Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγε-
λιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, οὗτός ἐστι πάν-
37 των Κύριος· ὑμεῖς οἴδατε τὸ ῥῆμα τὸ γενόμενον καθ'
ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ
τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης.

Τοῦ Χρυσοστόμου. Ταῦτα λέγει καὶ διὰ τοὺς παρόντας· ἵνα καὶ ἐκείνους πείσῃ· διὰ τοῦτο ἀναγκάζει τὸν Κορνήλιον εἰπεῖν· καὶ δίδωσιν αὐτοῖς τοῖς υἱοῖς Ἰσραὴλ τὸ ἐξαίρετον.

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν αὐτὸν ὁ Θεὸς
Πνεύματι Ἁγίῳ καὶ δυνάμει.

Ἐξ ἀνεπιγράφου. Ἐπειδὴ ἐκένωσεν ἑαυτὸν, καὶ παραπλησίως

[b] δέξαι prim. man. corr. postea δέξασθαι. [c] Prim. man. πιστεύσῃ dein corr. aliq. πιστεύσει. Leg. κἂν πιστεύσῃ.

ἡμῖν μέτεσχεν αἵματος καὶ σαρκός· καὶ ταῦτα ἅπερ ἔχει κατὰ φύσιν ὡς Θεὸς, λαμβάνειν λέγεται διὰ τὸ ἀνθρώπινον· δέχεται γὰρ οὐχ ἑαυτῷ, μᾶλλον δὲ καθ' ὃ Θεὸς Λόγος ἐστίν· ἴδια γὰρ ἦν αὐτοῦ· ἀλλ' ἡμῖν ὡς ἐν ἀπαρχῇ δι' ἑαυτοῦ.

Διδύμου. Ἰστέον ὡς ἡ τάξις ἡ κατὰ τὴν ἐπαγγελίαν τῆς προφορᾶς, οὐ πάντως ἕπεται τῇ τῶν σημαινομένων πραγμάτων ἁρμονίᾳ· εἰ καί ποτε συμπίπτει τοῦτο· διὸ καὶ[d] πραττόμενον ἐν τῇ προφορᾷ τῆς δυνάμεως τοῦ Θεοῦ εὑρίσκεται τὸ Πνεῦμα, οὐ δεῖ νομίζειν ὅτι οὕτω καὶ τὰ σημαινόμενα ἔχει· ἅμα γὰρ καὶ ἀδιαίρετον φρονοῦντες εἶναι τὴν Τριάδα, οὐδὲ περὶ οὐσιώδους διαφορᾶς ἐννοοῦμεν· τῷ μὴ ἐκ διαφόρων συμπληροῦσθαι τὸν Πατερὰ καὶ τὸν Υἱὸν, ἢ τὸ Ἅγιον Πνεῦμα· διὸ κἂν λέγηται ὁ Ναζωραῖος Ἰησοῦς, ὁ ἐκ τῆς παρθένου κυηθεὶς, κεχρίσθαι Πνεύματι Ἁγίῳ καὶ δυνάμει, οὐχ ἕτερόν τι ἐκ τῆς λέξεως μανθάνομεν, ἢ ὅτι Πνεύματος Ἁγίου καὶ τῆς τοῦ Θεοῦ δυνάμεως ἐπισκιασάσης αὐτῇ, ἵνα τέκῃ τὸν Ἐμμανουήλ· φαμὲν οὖν τὸ κυηθὲν μὴ ἐξ ἀνδρὸς, ἀλλ' ἐκ Πνεύματος Ἁγίου, καὶ τῆς τοῦ Ὑψίστου δυνάμεως γεγονέναι.

Ὡς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

Τοῦ Χρυσοστόμου. Ἐντεῦθεν δείκνυσι πολλὰς πηρώσεις διαβολικὰς, καὶ διαστροφὴν σωμάτων ὑπ' ἐκείνου γεγενημένας, ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν. Ἦν γὰρ καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων δι' ἀπιστίας πεδήσας ὁ Σατανᾶς, καὶ τὰ σώματα λωβησάμενος, κατὰ τὸ, "ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ὁλοκληρία."

39 Ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ· καὶ ἡμεῖς μάρτυρες πάν-
των ὧν ἐποίησεν ἐν τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν
Ἱερουσαλήμ· ὃν καὶ ἀνεῖλον, κρεμάσαντες ἐπὶ ξύλου·
40 τοῦτον ὁ Θεὸς ἤγειρεν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐ-
τὸν ἐμφανῆ γενέσθαι.

Τοῦ Χρυσοστόμου. Πάλιν τὰ ταπεινά. Καὶ μεθ' ἕτερα—Ὅτε ἔδειξεν ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται, τότε λέγει ὅτι ἀνῃρέθη· ἵνα μή τι ἄτοπον φαντασθῇς. ὁρᾷς αὐτοὺς οὐδαμῶς κρύπτοντας τὸν

[d] Leg. vid. κἂν.

σταυρόν· ἀλλὰ μετὰ τῶν ἄλλων τιθέντας, καὶ τὸν τρόπον, "ὃν καὶ "ἀνεῖλον," φησὶ, "κρεμάσαντες ἐπὶ ξύλου."

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν,

Τοῦ αὐτοῦ. Καίτοι γε αὐτοὺς αὐτὸς ἐξελέξατο· ἀλλὰ καὶ τοῦτο ἀνατίθησι τῷ Θεῷ, "τοῖς προκεχειροτονημένοις" φησίν· ὅρα πόθεν τὴν ἀνάστασιν βεβαιοῦται· διατί μηδὲν ἀναστὰς ἐποίησε σημεῖον, ἀλλ' ἔφαγε καὶ ἔπιεν; ὅτι αὐτὴ ἡ ἀνάστασις μέγα σημεῖον ἦν· ταύτης δὲ οὐδὲν οὕτω σημεῖον ὡς τὸ φαγεῖν καὶ πιεῖν. "διαμαρτύρασθαι" φησὶ, φοβερῶς· ἵνα μὴ ἔχωσιν εἰς ἄγνοιαν καταπεσεῖν· καὶ οὐκ εἶπεν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· ἀλλ' ὃ μᾶλλον αὐτοὺς ἐφόβει, ἡ καιρία κατασκευὴ ἡ ἀπὸ τῶν προφητῶν· μεγάλην γὰρ δόξαν εἶχον ἐκεῖνοι. ὅτε τῷ φόβῳ κατέσεισε, τότε ἐπάγει τὴν συγχώρησιν, οὐ παρ' αὐτοῦ λεγομένην, ἀλλὰ παρὰ τῶν προφητῶν.

Οἵ τινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ, μετὰ τὸ
42 ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· καὶ παρήγγειλεν ἡμῖν κήρυξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Ἀναστασίαν διάκονον ἐπιστολῆς. Καὶ μὴν καὶ καινὴν βρῶσιν συνέφαγεν, οὐ κατὰ τὴν προτέραν τάξιν ἣν συνήσθιεν αὐτοῖς καὶ συνέπιε πρὸ τῆς ἀναστάσεως. τότε γὰρ κατὰ πάντα χωρὶς ἁμαρτίας ὁμοιωθεὶς ἡμῖν, ἤσθιε καὶ ἔπινε καθάπερ ἡμεῖς· ἑκὼν ἐνδιδοὺς τῇ σαρκὶ τὴν τῆς τροφῆς χρείαν ἐπιζητεῖν· διὸ καὶ τὸ τῆς πεινῆς βουλόμενος προσείκατο πάθος· μετὰ δέ γε τὴν ἀνάστασιν οὐκέτι κατὰ χρείαν ἔφαγε καὶ ἔπιεν, ἀλλὰ μόνον πιστούμενος καὶ ἐπιδεικνὺς τοῖς οἰκείοις μαθηταῖς· καὶ τοῖς μετὰ ταῦτα δεῖ κεινῶν πιστεύειν μέλλουσι τὴν ἀληθῆ φύσιν τοῦ σώματος· ὃ καὶ πέπονθεν ἑκὼν καὶ ἀνέστη θεοπρεπῶς, πανταχόθεν ἀπελαύνων τὴν τῆς ἐπαράτου δοκήσεως καὶ φαντασίας ὑπόνοιαν. ταύτην οὖν καὶ καινὴν βρῶσιν καὶ πόσιν ἐκάλεσε τὴν μετὰ τὴν ἀνάστασιν γενομένην αὐτῷ μετὰ τῶν μαθητῶν, οὐ κατὰ τὴν προτέραν συνήθειαν.

43 Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ αἵματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

Ἐξ ἀνεπιγράφου. Ὅσοι, φησὶ, προφῆται ἐλάλησαν περὶ ἁμαρτιῶν ἀφέσεως, ἐν τούτῳ τῷ Ἰησοῦ εἶπαν αὐτὰς ποιεῖσθαι· οὕτω καὶ Ἡσαΐας τὸ αὐτοῦ εἰσφέρον πρόσωπον λέγει, "ἐγώ εἰμι "ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ τὰς ἀνομίας σου."

Διδύμου. Εἴ τις μετανοῶν ἐφ' οἷς ἔπραξε κακοῖς, πιστεύσας εἰς τὸ ὄνομα Κυρίου, ἄφεσιν δέχεται τῶν ἡμαρτημένων ἐφ' οἷς γνησίως μετέγνω· πάντες δὲ οἱ προφῆται, ὧν φέρεται διδασκαλία πρὸς τὸν λαὸν τῶν Ἑβραίων, περὶ μετανοίας καὶ πίστεως τῆς εἰς τὸν Πατέρα εἰρήκασι· ἀκολούθως καθόλου δέξεται πάντας τοὺς προφήτας μαρτυρεῖν ἄφεσιν ἁμαρτιῶν δίδοσθαι τῷ πιστεύοντι εἰς τὸν Κύριον.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἔπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

Τοῦ Χρυσοστόμου ἐκ τῆς πρὸς Τιμόθεον β' ἐπιστολῆς ὁμιλίας β'. Ἐπεπήδησεν εὐθέως τὸ Πνεῦμα ἐπὶ Κορνήλιον, ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, καὶ τὴν πίστιν εἰσήνεγκεν· οὕτως τὸ πᾶν τῆς πίστεώς ἐστιν.

Τοῦ αὐτοῦ. Θέα τοῦ Θεοῦ τὴν οἰκονομίαν· οὐκ ἀφῆκεν ἀπαρτισθῆναι τὸν λόγον, οὐδὲ ἐκ προστάγματος Πέτρου γενέσθαι τὸ βάπτισμα· ἀλλ' ἐπειδὴ τὴν διάνοιαν αὐτῶν ἔδειξαν θαυμαστὴν οὖσαν, καὶ τῆς διδασκαλίας ἀρχὴ γέγονε, καὶ ἐπίστευσαν ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτημάτων, τότε ἐπῆλθε τὸ Πνεῦμα. τοῦτο δὲ γίνεται προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ Θεοῦ· καὶ οὐχ ἁπλῶς Πνεῦμα ἐπῆλθεν, ἀλλὰ καὶ γλωσσαῖς ἐλάλουν· ὅπερ ἐξέπληττε τοὺς συνελθόντας· πάνυ ἐπαχθῶς εἶχον πρὸς τὸ πρᾶγμα· διὸ πανταχοῦ τοῦ Θεοῦ τὸ πᾶν γίνεται· καὶ ὁ Πέτρος σχεδὸν ἁπλῶς πάρεστι· παιδευόμενος ὅτι δεῖ αὐτοὺς ἅψασθαι τῶν ἐθνῶν· καὶ ὅτι δι' αὐτῶν δεῖ γενέσθαι τοῦτο. ὅπου γὰρ μετὰ τοσαῦτα, καὶ ἐν Καισαρείᾳ καὶ ἐν Ἱεροσολύμοις ἀμφισβήτησις γίνεται, τί ἂν ἐγένετο, εἰ μὴ ταῦτα παρη-

κολούθησε; καὶ διὰ τοῦτο μεθ' ὑπερβολῆς γίνεται· καὶ ὁ Πέτρος λαβὼν ἀφορμὴν, ὅρα πῶς ἀπολογεῖται· "μήτι τὸ ὕδωρ δύναταί "τις κωλῦσαι," καὶ τὰ ἑξῆς· ὅρα ποῦ τὸ πρᾶγμα ἀνήνεγκε, πῶς ὤδινεν ἐξενεγκεῖν τοῦτο· οὕτως τῆς γνώμης ταύτης ἦν· "μήτι "τὸ ὕδωρ," φησι, "κωλῦσαι δύναταί τις;" σχεδὸν γὰρ ὥσπερ ἐπεμβαίνοντός ἐστι τοῖς κωλύουσι, τοῖς λέγουσιν ὅτι οὐ χρὴ τοῦτο γενέσθαι· τὸ πᾶν γέγονέ, φησι, τὸ ἀναγκαιότερον· τὸ βάπτισμα γέγονεν ὃ ἡμεῖς ἐβαπτίσθημεν.

Κυρίλλου. Ἐάν τις ἀμφιβάλλοι πάλιν, πρὸ τοῦ βαπτισθῆναι τοὺς ἀμφὶ τὸν Κορνήλιον, πῶς ἠξιώθησαν τοῦ Ἁγίου Πνεύματος, ἴστω διὰ τὴν κρίσιν τοῦ Πέτρου καὶ τῶν ἐκ περιτομῆς τὸ τοιοῦτον γεγενῆσθαι.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Σόλωνα ἐπίσκοπον ἐπιστολῆς τῆς κατὰ Εὐχιτῶν. Διά τοι τοῦτο καὶ παρὰ τὰς ἀρχὰς τοῦ κηρύγματος, ὅτε κατήγγελον οἱ Ἀπόστολοι τὸ Εὐαγγέλιον, οἱ τυγχάνοντες τοῦ ἁγίου βαπτίσματος εἰς ἀπόδειξιν τοῦ Πνεῦμα Ἅγιον εἰληφέναι, καὶ γλώσσαις ἐλάλουν καὶ προεφήτευον· ὅτε γὰρ ἤκμαζε τὰ τῆς ἀπιστίας, τότε κατὰ τὸ χρειῶδες ἤνθει τὰ θαύματα· τῆς δὲ πίστεως πλατυνθείσης οὐ δεῖ σημείων· οὐ γὰρ πρὸς ἐπίδειξιν γίνεται τὰ παρὰ τοῦ Θεοῦ, πρὸς σωτηρίαν δὲ καὶ θεραπείαν, καὶ τὴν τῶν μετεχόντων εὐεργεσίαν.

Ἀμμωνίου. Σημειωτέον ὅτι οὐκ ἄλλως ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ τὸν Κορνήλιον καὶ τοὺς σὺν αὐτῷ, καίτοι μαρτυρηθέντας εἶναι θεοσεβεῖς καὶ δικαίους, εἰ μὴ προκατηχηθέντας τὸν τῆς πίστεως λόγον, ἤκουσαν καὶ ἐπίστευσαν· ὡς καὶ ἔνθεν δῆλον εἶναι, ὅτι ὁ ἐθνικὸς, κἂν πάνυ δίκαιος ᾖ, οὐδέποτε μεταλαμβάνει τῆς τοῦ Πνεύματος δωρεᾶς, ἀμέτοχος ὢν καὶ ἄγνωστος τῆς ἀληθινῆς πίστεως.

45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ, ὅσοι συνῆλ-
θον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁγίου
46 Πνεύματος ἐκκέχυται· ἤκουον γὰρ αὐτῶν λαλούντων
γλωσσαῖς, καὶ μεγαλυνόντων τὸν Θεόν.

Τοῦ Χρυσοστόμου. Ὅπου γε καὶ τοῖς πεπιστευκόσιν ἐκ περιτομῆς, παράδοξον τὸ πρᾶγμα ἐδόκει εἶναι· καὶ ἐνεκάλουν τῷ

Πέτρῳ πρὸς αὐτοὺς ἀπὸ Καισαρείας ἀπελθόντι· καὶ μετὰ τὸ μαθεῖν τὴν οἰκονομίαν τὴν τοῦ Θεοῦ, ἔτι καὶ οὕτως ἐθαύμαζον, πῶς "καὶ εἰς τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος ἐκκέχυται·" τὸ γὰρ ἐκπλήττεσθαι ἐνεδείκνυτο, ὡς οὐκ ἄν ποτε τοῦτο ἐγένετο τὸ παράδοξον.

47 *Τότε ἀπεκρίθη Πέτρος, μήτι τὸ ὕδωρ δύναταί τις κωλῦσαι τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς;*

Τοῦ Αὐτοῦ. *Πρὸς τοὺς λεπτολογεῖν ἐθέλοντας καὶ πολυπραγμονεῖν τὰ θεῖα μυστήρια, καὶ ζητοῦντας ἃ μὴ δεῖ, καὶ λέγοντας διατί ὁ Φίλιππος οὐ κατήγαγε τὸ Πνεῦμα; πάλιν γὰρ οὐ μέλλει αὐτοῖς εἰπεῖν, διατί πρὸ τοῦ κατελθεῖν τοὺς περὶ τὸν Κορνήλιον καὶ βαπτισθῆναι ὕδατι, ἐπέπεσεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα. πρὸς οὓς δεῖ εἰπεῖν, ὅτι τῇ τοῦ Θεοῦ κρίσει ταῦτα γίνεται, καὶ οὐδεὶς δύναται κωλῦσαι τὸ Πνεῦμα κατελθεῖν, καὶ πρὸ τοῦ βαπτισθῆναι ὕδατι ἐκεῖνον, ἐφ' ὃν συνορᾷ τὸ Πνεῦμα ἐπιπεσεῖν, ὡς ὁ Πέτρος ἐμαρτύρει. οὕτως οὖν καὶ ἐπὶ τοῦ Φιλίππου[d] νοητέον· ὅτι οὐκ εὐδόκησεν ὁ Θεὸς ἐπιβαλεῖν τοῖς ὑπ' αὐτοῦ βαπτισθεῖσι Πνεῦμα, κατὰ τὸν καιρὸν καθ' ὃν ἐλούσαντο ὕδατι· καὶ ὑπερβαίνει τὸν ἄνθρωπον ἀναζητεῖν τὴν τοῦ Θεοῦ γνώμην, ἣν μαθεῖν ἀδύνατον κατὰ τὸ εἰρημένον· "τίς ἔγνω νοῦν Κυρίου;"*

48 *Προσέταξε δὲ αὐτοὺς βαπτισθῆναι, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ· τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.*

Τοῦ Χρυσοστόμου. *Μετὰ τὸ ἀπολογήσασθαι, τότε αὐτοὺς προσέταξε βαπτισθῆναι, παιδεύων αὐτοὺς διὰ τῶν πραγμάτων· τοσοῦτον ἀπεχθῶς εἶχον οἱ Ἰουδαῖοι· διὰ τοῦτο πρότερον ἀπολογεῖται, καίτοι τῶν πραγμάτων βοώντων· καὶ τότε προσέταξεν.*

Διδύμου. *Ὁ βαπτιζόμενος εἰς τὸ ὄνομα Ἰησοῦ, εἰς τὴν Τριάδα βαπτίζεται· ὡς ὁ λαμβάνων ἐκ τοῦ Θεοῦ τὴν δωρεὰν, ἐν Τριάδι αὐτὴν ἔχει βεβαιουμένην· ὅθεν οὐ φοβητέον ἐκ τῶν τοιούτων ῥημάτων τὴν Σαβελλίου γνώμην· Τριάδα γὰρ τιθέμεθα, ἀλλ' οὐ τριώνυμον ὑπόστασιν μίαν.*

[d] *φίλιππον* Cod.

Τοῦ Χρυσοστόμου. Καὶ τίς ἦν τοῦ ὕδατος χρεία, τοῦ Ἁγίου Πνεύματος ἐπιπεσόντος αὐτοῖς; καὶ ταύτην ἤδη λοιπὸν ὁρῶ τὸ μυστήριον ἐκκαλύπτων ἡμῖν τὸ ἀποκεκρυμμένον· θεῖα τελεῖται ἐν αὐτῷ σύμβολα· τάφος καὶ νέκρωσις· καὶ ἀνάστασις καὶ ζωή. ὥσπερ εὔκολον ἡμῖν βαπτίσασθαι καὶ ἀνανεῦσαι· οὕτως εὔκολον τῷ Θεῷ θάψαι τὸν παλαιὸν ἄνθρωπον, καὶ ἀναδεῖξαι τὸν νέον. τρίτον δὲ τοῦτο γίνεται, ἵνα μάθῃς ὅτι δυνάμει Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος τὰ πάντα ἐκεῖ πληροῦται. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουσον τοῦ Παύλου λέγοντος· "συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον·" καὶ πάλιν, "ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη·" καὶ πάλιν, "σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ."

Τοῦ αὐτοῦ. Τότε εἰκότως καὶ θαρρούντως λοιπὸν ἐπιμένει.

1 Ἤκουσαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

Τοῦ αὐτοῦ. Ὅρα πῶς οὐκ οἰκείως πρὸς αὐτὸν διέκειντο· εἶδες τὸν ζῆλον οἷον εἶχον ὑπὲρ τοῦ νόμου; οὐ τὸ ἀξίωμα Πέτρου ᾐδέσθησαν· οὐ τὰ γενόμενα σημεῖα· οὐ τὸ κατόρθωμα ὅσον ἦν τὸ δέξασθαι τὸν λόγον· ἀλλ' ὑπὲρ τῶν μικρῶν ἐκείνων διεκρίνοντο· εἰ γὰρ μηδὲν τούτων ἦν, οὐκ ἤρκει τὸ κατόρθωμα· ἀλλ' οὐκ ἀπολογεῖται οὕτω Πέτρος, συνετὸς γὰρ ἦν· μᾶλλον δὲ οὐ τῆς συνέσεως αὐτοῦ ἦν, ἀλλὰ τοῦ Πνεύματος τὰ ῥήματα· καὶ δείκνυσι διὰ τῆς ἀπολογίας, ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν· ἐπ' αὐτὸν γὰρ ἔρριψε τὸ πᾶν.

2 Ὅτε δὲ ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο
3 πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, λέγοντες ὅτι εἰσῆλθε πρὸς
ἄνδρας ἀκροβυστίαν ἔχοντας, καὶ συνέφαγεν αὐτοῖς.

Τοῦ Χρυσοστόμου. Μετὰ τοσαῦτα διεκρίνοντο οἱ ἐκ περιτομῆς, οὐχ οἱ Ἀπόστολοι· μὴ γένοιτο· ἐσκανδαλίζοντο δέ, φησίν, οὐ μικρῶς· καὶ ὅρα τί προβάλλονται· οὐ λέγουσι, διατί κατήγγειλες; ἀλλά, διατί συνέφαγες; ὁ δὲ Πέτρος οὐ πρὸς τοῦτο ἵσταται τὸ ψυχρόν· ψυχρὸν γὰρ ὄντως ἦν· ἀλλὰ πρὸς ἐκεῖνο τὸ μέγα· ὅτι εἰ Πνεύματος μετέλαβον, φησί, πῶς τούτου μεταδοῦναι οὐκ ἦν;

ΚΕΦ. Ις.

Ὡς Πέτρος καθεξῆς καὶ τὰ ἕκαστα τῶν γεγονότων διηγήσατο τοῖς Ἀποστόλοις διακριθεῖσι πρὸς αὐτὸν, τὸ τηνικάδε Βαρνάβαν ἐκπέμψας πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς.

4 Ἀρξάμενος δὲ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέ-
5 γων, ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ
εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθό-
νην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρα-
6 νοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ· εἰς ἣν ἀτενίσας κατενόουν,
καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ
ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

Τοῦ αὐτοῦ. Οὐ τῆς συνέσεως Πέτρου ἦν τὰ ῥήματα, ἀλλὰ τοῦ Πνεύματος. καὶ δείκνυσι διὰ τῆς ἀπολογίας ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν· ἐπ' αὐτὸν γὰρ ἔρριψε τὸ πᾶν· ἐν ἐκστάσει γὰρ αὐτὸς φησὶν, ἐποίησεν· "ἐγὼ ἐν Ἰόππῃ ἤμην·" τὸ σκεῦος αὐτὸς ἔδειξεν, ἐγὼ καὶ ἀντεῖπον· καὶ πάλιν αὐτὸς εἶπε, καὶ οὐδὲ οὕτως ἤκουσα· τὸ Πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ οὕτως ἀπελθὼν οὐκ ἐπέδραμον· εἶπον ὅτι ὁ Θεὸς ἔπεμψε, καὶ οὐδὲ οὕτως ἐβάπτισα μετὰ ταῦτα· ἀλλὰ πάλιν ὁ Θεὸς τὸ πᾶν εἰργάσατο· ὁ Θεὸς αὐτὸς ἐβάπτισεν, οὐκ ἐγώ.

Τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου Κύπρου ἀπὸ τοῦ Παναρίου κεφαλαίου κη'. Κήρινθος ὁ αἱρετικὸς παρεκίνει[e] περὶ τοῦ Πέτρου ἐπανελθόντος εἰς Ἱερουσαλὴμ τὰ πλήθη τῶν ἐκ περιτομῆς, λέγων, ὅτι εἰσῆλθε πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας· ἐποίησε δὲ τοῦτο ὁ Κήρινθος πρὶν ἢ ἐν τῇ Ἀσίᾳ κήρυξαι τὸ αὐτοῦ κήρυγμα, καὶ ἐμπεσεῖν εἰς τὸ περισσότερον τῆς αὐτοῦ ἀπωλείας βάραθρον· διὰ γὰρ τὸ εἶναι αὐτὸν ἐμπερίτομον δῆθεν, ἀντιδικίας ἕνεκα τῶν ἐν ἀκροβυστίᾳ πιστῶν διὰ τῆς περιτομῆς τὴν πρόφασιν ἐθηράσατο· τοῦ δὲ καὶ δόντος[f] τῷ Πέτρῳ τὸν πρὸς αὐτὸν καὶ τοὺς αὐτοῦ ἔλεγχον ποιήσασθαι, φανερὰ γίνεται ἡ τοῦ Κηρίνθου ἄνοια· ἕως τότε γὰρ ἐδίσταζεν ὁ ἅγιος, ἕως ὅτε ὁ Κύριος ἐναργῶς ἔδειξεν αὐτῷ, ἃ διὰ τῶν λόγων καὶ τύπων αὐτὸν ἐδίδασκεν· εὐθὺς γὰρ αὐτοῦ ἀνοίξαντος τὸ στόμα, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ

[e] παρεκείνη Cod. [f] κύδοντος Cod.

Κορνήλιον, καὶ ἰδὼν ὁ Πέτρος εἶπε· “ μήτι τὸ ὕδωρ δύναταί τις “ κωλῦσαι,” καὶ τὰ ἑξῆς· τὸ πᾶν δὲ τοῦτο μυστήριον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον· ὅπως ὅ τε ἅγιος Πέτρος καὶ πᾶς τις γνώσεται, ὅτι οὐκ ἐξ ἀνθρώπων ἡ τῶν ἐθνῶν σωτηρία, ἀλλ' ἐκ Θεοῦ ὑπῆρχεν.

7 Καὶ ἤκουσα φωνῆς λεγούσης μοι, ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ὡσανεὶ ἔλεγεν· ἱκανὸν μὲν ἦν καὶ τοῦτο πεῖσαι, τὸ θεάσασθαι τὴν σινδόνα· πλὴν ἀλλὰ καὶ φωνὴ προσετίθει.*

8 Εἶπον δὲ, μηδαμῶς, Κύριε· ὅτι κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.

ΤΟΥ ΑΥΤΟΥ. *Ὁρᾷς ὅτι τὸ ἐμὸν ἐποίησα· φησιν, ὅτι οὐδέποτε ἔφαγον, πρὸς τοῦτο ὃ ἔλεγον ἐκεῖνοι, ὅτι εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς· τοῦτο δὲ πρὸς Κορνήλιον οὐ λέγει· οὐ γὰρ ἦν ἀνάγκη.*

9 Ἀπεκρίθη δὲ ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

ΤΟΥ ΑΥΤΟΥ. *Ὅρα πῶς ἀπολογεῖται, καὶ οὐκ ἀξιοῖ τῷ τοῦ διδασκάλου ἀξιώματι κεχρῆσθαι· ὅσῳ γὰρ ἐπιεικέστερον φθέγγεται, τοσούτῳ μᾶλλον αὐτοὺς χειροῦται· οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου κοινὸν ἢ ἀκάθαρτον· καὶ ταῦτα ἀπολογίας ἦν.*

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς, καὶ ἀνεσπάσθη πάλιν ἅ-
11 παντα εἰς τὸν οὐρανόν. καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες
ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ
12 Καισαρείας πρός με· εἶπε δέ μοι τὸ Πνεῦμα, συνελθεῖν
αὐτοῖς, μηδὲν διακρίνοντα·

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ὁρᾷς ὅτι Πνεύματος ἡ νομοθεσία.*

Ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός·

ΤΟΥ ΑΥΤΟΥ. *Οὐδὲν ταπεινότερον ὅταν τῶν ἀδελφῶν τὴν μαρτυρίαν ἐπάγηται.*

13 Ἀπήγγειλε δὲ ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ
αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ, ἀπόστειλον εἰς Ἰόπ-

πην, καὶ μεταπέμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέ-
14 τρον, ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ
καὶ πᾶς ὁ οἶκός σου.

Τοῦ αὐτοῦ. Οὐκ εἶπε τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα, ὅτι εἶπε τῷ Κορνηλίῳ, "αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου," καὶ τὰ ἑξῆς, ἀλλὰ τί φησι; "λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ "συ καὶ πᾶς ὁ οἶκός σου·" τοῦτο εἰκότως πρόκειται· καὶ οὐδὲν λέγει περὶ τῆς ἐπιεικείας τοῦ ἀνδρός· τοῦ Πνεῦματος πέμψαντός, φησι, τοῦ Θεοῦ κελεύσαντος διὰ τοῦ ἀγγέλου, ἐκεῖθεν καλέσαντος, ἐντεῦθεν ὠθοῦντος, λύοντος τὴν διάκρισιν τῶν πραγμάτων τί ποιῆσαι ἔδει; ἀλλ' οὐ λέγει τούτων οὐδέν, ἀλλ' ἀπὸ τοῦ ὑστέρου ἰσχυρίζεται· ὃ καὶ κατ' αὐτὸ ἀναμφισβήτητον ἦν τεκμήριον.

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα
τὸ Ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ.

Τοῦ αὐτοῦ. Καὶ οὐκ ἀρκεῖται τοῦτο, ἀλλὰ καὶ ῥήματος ἀναμιμνήσκει τοῦ Κυρίου.

16 Ἐμνήσθην δὲ τοῦ ῥήματος τοῦ Κυρίου, ὡς ἔλεγεν,
Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτίσθησεσθε
ἐν Πνεύματι Ἁγίῳ.

Τοῦ αὐτοῦ. Ὅτι οὐδὲν καινότερον γέγονεν, ἀλλ' ὅπερ προεῖπεν· ἀλλ' οὐκ ἔδει βαπτίσαι· ἀλλ' ἀπήρτιστο τὸ βάπτισμα· καὶ οὐ λέγει ἐκέλευσα αὐτοὺς βαπτισθῆναι· ἀλλὰ τί; δείκνυσιν αὐτὸν οὐδὲν ποιήσοντα· ὅπερ ἐσχήκαμεν, φησὶν, ἡμεῖς, ἔλαβον ἐκεῖνοι.

17 Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς
καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν,

Τοῦ αὐτοῦ. Ἵνα μειζόνως αὐτῶν ἐμφράξῃ τὰ στόματα, διὰ τοῦτο προσέθηκε "τὴν ἴσην δωρεάν·" ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς ἔλαττον ἔχειν· "πιστεύσασι," φησὶ, "τὴν ἴσην δωρεὰν ἔδωκε·" καὶ οὐ λέγει ὑμῖν, ἀλλ' "ἡμῖν·" τί ἀναξιοπαθεῖτε ὅταν ἡμεῖς κοινωνοὺς αὐτοὺς λέγωμεν;

Ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

Τοῦ Χρυσοστόμου. Βαβαὶ πόση ἀπολογία· οὐ γὰρ εἶπε,

ταῦτα οὖν εἰδότες ἡσυχάζετε; ἀλλὰ τί; δέχεται αὐτῶν τὴν ὁρμὴν, καὶ ἐγκαλοῦσιν ἀπολογεῖται[e], "τίς ἤμην δυνατὸς κωλῦσαι τὸν "Θεόν;" οὐκ ἠδυνάμην κωλῦσαι· σφόδρα ἐντρεπτικῶς καὶ βαρέως· ὅθεν λοιπὸν φοιβηθέντες ἡσύχαζον, καὶ ἐδόξαζον τὸν Θεόν.

Τοῦ Αὐτοῦ. Ὁρᾷς ὅτι ἀπὸ τῆς δημηγορίας τοῦ Πέτρου τὸ πᾶν γέγονε, καλῶς ἀπαγγείλαντος τὰ γεγενημένα.

Κυρίλλου. Οἰκονομία τις ἐγένετο διὰ τὴν πολλὴν τῶν ἐκ περιτομῆς πιστευσάντων διάκρισιν, πρὸ τοῦ βαπτίσματος καταξιωθῆναι τοὺς περὶ τὸν Κορνήλιον τοῦ Πνεύματος· ἵνα τὴν ἀντίρρησιν τῶν ἀγανακτούντων παύσῃ· ὅθεν δὲ καὶ εἰκότως περὶ τῶν ἀντιλεγόντων εἴρηται, "ἀκούσαντες δὲ ἡσύχασαν."

18 Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες, ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν εἰς ζωὴν ἔδωκεν.

Τοῦ Χρυσοστόμου. Ἐταπεινώθησαν ἀπὸ τούτων τῶν λόγων· ἐντεῦθεν ἀνεῴχθη θύρα πρὸς τὰ ἔθνη λοιπόν.

Ἀμμωνίου. Ὅτι ἡ εἰς Χριστὸν πίστις, μετάνοιαν ἔχουσα ἐπὶ τοῖς πρώην πραχθεῖσιν αὐτοῖς ἢ δογματισθεῖσιν, εἰς ζωὴν ἄγοι.

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας,

Τοῦ Χρυσοστόμου. Οὐ μικρὸν κατόρθωμα ὁ διωγμὸς γέγονε· "τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν·" οὐκ ἂν εἴγε ἐπίτηδες ἐσπούδασαν στῆσαι τὴν Ἐκκλησίαν, ἄλλο τι[f] ἐποίησαν, ἢ τοῦτο διέσπειραν τοὺς διδασκάλους· ὅρα ποῦ τὸ κήρυγμα ἐξετάθη· "διῆλθον," φησιν, "ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀν"τιοχείας·" οὐδενὶ μέντοι ἐλάλουν εἰ μὴ μόνοις Ἰουδαίοις.

Μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.

Τοῦ Αὐτοῦ. Ὁρᾷς ὅτι οἰκονομικῶς τοσαῦτα γέγονε περὶ Κορνηλίου· τοῦτο δὲ καὶ εἰς ἀπολογίαν τοῦ Χριστοῦ, καὶ εἰς κατηγορίαν τῶν Ἰουδαίων· ὅτε γὰρ Στέφανος ἀνῃρέθη, ὅτε Παῦλος δὶς

[e] ἀπολογεῖτε Cod. [f] ἀλλ' ὅτι Cod.

ἐκινδύνευσεν, ὅτε οἱ Ἀπόστολοι ἐμαστίχθησαν, ὅτε πολλάκις ἠλάθησαν, τότε τὰ ἔθνη ἐδέχθησαν, τότε Σαμαρεῖται· ὃ καὶ Παῦλος φησί· "ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· "ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς, ἰδοὺ "στρεφόμεθα εἰς τὰ ἔθνη·" περιήεσαν οὖν καὶ ἔθνεσι διαλεγόμενοι.

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἑλληνιστὰς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. Ἴσως διὰ τὸ μὴ εἰδέναι Ἑβραϊστὶ, Ἕλληνας αὐτοὺς ἐκάλουν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς ὁ
22 πιστεύσας ἐπέστρεψε πρὸς τὸν Κύριον. ἠκούσθη δὲ
ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱερουσαλὴμ
περὶ αὐτῶν·

Τοῦ αὐτοῦ. Τουτέστι τὰ σημεῖα εἰργάζοντο· ὁρᾷς διατί καὶ νῦν ἡ τῶν σημείων ἀνάγκη γέγονεν, ἵνα πιστεύσωσιν.

Καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας.

Τοῦ αὐτοῦ. Διατί μὴ Παύλῳ γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; οὔπω τοῦ ἀνδρὸς ᾔδεισαν τὴν ἀρετήν· οἰκονομεῖται δὲ Βαρνάβαν παραγενέσθαι. ἐπειδὴ καὶ πλῆθος ἦν καὶ οὐδεὶς ὁ κωλύων, εἰκότως ἐβλάστησεν ἡ πίστις· καὶ μάλιστα ὅτι οὐδένα ἐνταῦθα ὑπέμειναν πειρασμὸν, καὶ Παῦλος κηρύττει.

Εὐσεβίου Καισαρείας ἐκ τοῦ α' τόμου τῆς Ἐκκλησιαστικῆς Ἱστορίας. Λέγεται εἷς τῶν[g] ἑβδομήκοντα Βαρνάβας γεγονέναι· τούτων δὲ τῶν ἑβδομήκοντα εἶναι φασὶ καὶ Σωσθένην τὸν ἅμα Παύλῳ Κορινθίοις ἐπιστείλαντα, καὶ Ματθίαν δὲ τὸν ἀντὶ Ἰούδα τοῖς Ἀποστόλοις συγκαταλεγέντα· καὶ Θαδδαῖον δὲ ἕνα τῶν αὐτῶν εἶναι φασίν.

23 Ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ·

[g] τὸν Cod.

Τοῦ Χρυσοστόμου. Καθάπερ γὰρ γῆ λιπαρὰ, τὸν λόγον ἐδέξατο αὕτη ἡ πόλις, καὶ πολὺ τὸν καρπὸν ἐπεδείξατο.

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως. καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

Διδύμου. Οὐ ταὐτόν ἐστι Θεὸν μόνον ἀγαθὸν εἶναι, καὶ ἄνδρα ἀγαθὸν ὑπάρχειν. ὁ μὲν γὰρ κατ᾽ οὐσίαν ἀγαθὸς τυγχάνει· ἀρχὴ καὶ πηγὴ ὢν τῶν ἀγαθῶν· ὁ δὲ ἀνὴρ οὐ κατ᾽ οὐσίαν τυγχάνει, ἀλλ᾽ ἐν ἀναλήψει ἀρετῆς ἔχει τοῦτο αὐτό· ἀλλ᾽ οὐχ ἁπλῶς ἀνὴρ ἀγαθὸς εἰς τοῦτο λήψῃ καὶ τὸ, "εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ."

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον,

Τοῦ Χρυσοστόμου. Πολύχρηστος ἦν ὁ ἀνὴρ καὶ ἀφελὴς καὶ συγγνωμονικός· ἦλθεν ἐπὶ τὸν ἀθλητὴν, ἐπὶ τὸν στρατηγὸν, ἐπὶ τὸν μονάχον, ἐπὶ τὸν λεόντα· οὐκ ἔχω τί εἴπω, ὅσα ἐὰν εἴπω· ἐπὶ τὸν κύνα τὸν θηρευτικὸν, τὸν λεόντας ἀναιροῦντα· ἐπὶ τὸν ταῦρον τὸν ἰσχυρόν· ἐπὶ τὴν λαμπάδα τὴν φαιδράν· ἐπὶ τὸ στόμα τὸ τῇ οἰκουμένῃ ἀρκοῦν. ὄντως διὰ τοῦτο ἐνταῦθα ἐχρηματίσθησαν καλεῖσθαι Χριστιανοὶ, ὅτι Παῦλος ἐνταῦθα τοσοῦτον ἐποίησε χρόνον.

26 Καὶ εὑρὼν ἤγαγεν εἰς Ἀντιόχειαν. ἐγένετο δὲ αὐτοῖς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν,

Οὐ μικρὸν τῆς πόλεως ἐγκώμιον τοῦτο πρὸς ἅπαντας στῆναι δύναται, ὅτι τοῦ στόματος ἐκείνου τοσοῦτον ἀπήλαυσε χρόνον πρώτη τῶν ἄλλων ἀπασῶν· διὸ καὶ πρώτως ἐνταῦθα τοῦ ὀνόματος ἠξιώθησαν. ὁρᾷς Παύλου τὸ κατόρθωμα, εἰς ὅσον ἐπῆρεν ὕψος. ὥσπέρ τι σημεῖον τὸ ὄνομα· ἔνθα τρισχίλιοι, ἔνθα πεντακισχίλιοι ἐπίστευσαν, ἔνθα τοσοῦτον πλῆθος, οὐδὲν τοιοῦτον γέγονεν· ἀλλ᾽ οἱ τῆς ὁδοῦ ἤκουον, ἐνταῦθα Χριστιανοὶ ὠνομάσθησαν. Καὶ μετ᾽ ὀλίγα—Ἔδει καὶ τὸν τῆς ἐλεημοσύνης ἐνταῦθα φυτευθῆναι καρπόν· καὶ ὅρα πῶς ἀναγκαίως οὐδεὶς τῶν περιφανῶν αὐτοῖς γίνεται διδάσκαλος.

Χρηματίσαι τε πρώτως ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας. Χριστιανὸς γὰρ ὄνομα πολυθεΐας ἀντίπαλον.

Ἀμμωνίου. Σημειωτέον ὅτι μᾶλλον διὰ τοῦτο ἡ Ἀντιόχεια θρόνου ἠξιώθη ἀρχοντικοῦ· ἐπειδὴ ἐκεῖ πρῶτον ἐχρημάτισαν οἱ πιστοὶ Χριστιανοί.

ΚΕΦ. ΙΖ.

Προφητεία[h] Ἀγάβου περὶ λιμοῦ οἰκουμένης, καὶ καρποφορίας πρὸς τοὺς ἐν Ἀντιοχείᾳ ἀδελφούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν.

Τοῦ Χρυσοστόμου. Εἰ δέ φησιν ὁ Χριστὸς, ὅτι "ὁ νόμος καὶ "οἱ προφῆται ἕως Ἰωάννου," περὶ ἐκείνων φησὶ τῶν προφητῶν τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων.

28 Ἀναστὰς δέ τις ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ Πνεύματος, λιμὸν μέγαν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

Τοῦ αὐτοῦ. Κυπρίους ἔσχον διδασκάλους καὶ Κυρηναίους καὶ Παῦλον· ἀλλ' οὗτος ὑπερέβαινεν αὐτούς· ἐπεὶ καὶ Παῦλος Ἀνανίαν καὶ Βαρνάβαν ἔσχε διδασκάλους· ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο λιμὸς γέγονεν, ὅτι Χριστιανισμὸς εἰσῆλθεν, ὅτι δαίμονες ἀπέστησαν, προλέγει τὸ Πνεῦμα τὸ Ἅγιον· ἀλλὰ τοῦτο οὐδὲν θαυμαστόν· καὶ γὰρ ὁ Χριστὸς προεῖπεν· οὐ διὰ τοῦτο, ἐπειδὴ ἐξ ἀρχῆς τοῦτο γεγενῆσθαι ἔδει, ἀλλὰ διὰ τὰ κακὰ τὰ εἰς τοὺς Ἀποστόλους γενόμενα· καὶ ἐμακροθύμησεν ὁ Θεός. ὡς δὲ ἐνέκειντο, λιμὸς μέγας γίνεται, μηνύων τοῖς Ἰουδαίοις τὰ ἐσόμενα κακά· εἰ δι' αὐτοὺς ἦν, πάντως ἔδει καὶ ὄντα παύσασθαι· τί ἠδίκησαν Ἕλληνες, ἵνα καὶ αὐτοὶ τῶν κακῶν μετέχωσιν; εὐδοκιμῆσαι γὰρ αὐτοὺς μᾶλλον ἐχρῆν· ὅτι τὸ αὐτῶν ἐποίουν, ἀνῄρουν, ἐκόλαζον, ἐτιμωροῦντο, πάντοθεν ἐδίωκον· καὶ ὅρα πότε γίνεται ὁ λιμός· ὅτε καὶ οἱ ἐθνικοὶ λοιπὸν προσετέθησαν. ἀλλ' εἰ διὰ τὰ κακὰ, φησὶν, ἔδει τούτους ὑφεξαιρεθῆναι, διατί ὁ Χριστὸς τοῦτο προλαβὼν εἶπεν, ὅτι "θλίψιν ἕξετε" ὡσανεὶ λόγοις ὅτι ἔδει μηδὲ μαστίζεσθαι.

[h] προφητείας Cod. et mox καρποφορίας.

29 Τῶν δὲ μαθητῶν καθὼς εὐπορεῖτό τις, ὥρισαν ἕκα-
στος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν
30 τῇ Ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν, ἀποστείλαντες
πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύ-
λου.

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτοῖς καὶ τὸν λιμὸν αἴτιον σωτηρίας, ἐλεημοσύνης ἀφορμὴν, πολλῶν πρόξενον ἀγαθῶν· ὁρᾷς ἅμα πιστεύοντας, ἅμα καρποφοροῦντας· οὐ τοῖς αὐτῶν μόνον ἀλλὰ καὶ τοῖς πόρρω.

Ἀμμωνίου. Ὥστε οὖν καὶ Πρεσβυτέρων εἶχον ἀξίαν οἱ Ἀπόστολοι· καὶ ἐν ἄλλῳ δὲ κεφαλαίῳ σεσημείωται.

ΚΕΦ. ΙΗ.

Κατασφαγὴ Ἰακώβου τοῦ Ἀποστόλου.

1 Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ
βασιλεὺς τὰς χεῖρας κακῶσαι τινὰς τῶν ἀπὸ τῆς ἐκ-
κλησίας.

Τοῦ Χρυσοστόμου. Καλῶς λέγει ὅτι Ἡρώδης ὁ βασιλεὺς οὗτος, οὐκ ἦν ὁ ἐπὶ τοῦ Χριστοῦ. ἰδοὺ πειρασμὸς ἕτερος· ὅρα ὅπερ ἐξ ἀρχῆς εἶπον· πῶς τὰ πράγματα πλέκεται· πῶς δι' ἀνέσεως καὶ θλίψεως πάντα ὑφαίνεται· οὐκέτι Ἰουδαῖοι, οὔτε τὸ συνέδριον, ἀλλ' ὁ βασιλεύς· μείζων ἡ ἐξουσία· χαλεπώτερος ὁ πόλεμος, ὅσῳ πρὸς χάριν ἐγένετο τοῖς Ἰουδαίοις.

Τοῦ αὐτοῦ. "Κακῶσαι τινὰς τῶν ἀπὸ τῆς ἐκκλησίας," φησί· καθάπερ θηρίον ἁπλῶς καὶ ἀλογίστως ἐποίει· τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ Χριστός· "τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, "ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε."

Ἀμμωνίου. Θέα ὅτι οἱ πιστοὶ ἄνδρες, καὶ τὸ ἐξ αὐτῶν σύστημα Ἐκκλησία καλεῖται.

Ποῖον καιρόν; τὸν ἐπὶ Κλαυδίου Καίσαρος· Γάϊος γὰρ αὐτοκράτωρ Ῥωμαίων Ἀγρίππαν καθίστησι βασιλέα τῆς Ἰουδαίας, [[f] τὸν Ἡρώδην ἐξορίσας διαβιοῦν ἐν Λουγδούνῳ τῆς [g] Γαλλίας] σὺν καὶ τῇ

[f] Quæ uncinis inclusi in textu ommissa suppl. rec. man. in marg. ἐξωρίσας δι' αἰσχρότητα βίου Œcum. et Cod. Barocc. 3. [g] Γαλιλαίας Cod.

γυναικὶ Ἡρωδιάδι· οὗτός ἐστιν ὁ κατὰ τὸ πάθος τοῦ Κυρίου, ὡς ἱστορεῖ Ἰώσηπος ἐν τῷ ιη′ λόγῳ τῆς Ἀρχαιολογίας, καὶ Εὐσέβιος ἐν τῷ β′ λόγῳ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας· ἢ οὖν διαφωνία τοῦ ὀνόματος ἐνταῦθα τὸ λέγειν ἀντὶ Ἀγρίππα Ἡρώδην, ἢ κατὰ σφάλμα ὡς εἰκὸς γραφικὸν γέγονεν· ἢ κατὰ διωνυμίαν εἴρηται· ἐπεὶ καὶ ὁ χρόνος καὶ αἱ πράξεις τὸν αὐτὸν ὄντα δεικνύουσιν· τουτέστιν Ἀγρίππαν ἐπὶ Κλαυδίου Καίσαρος, ὃς μετὰ Γάϊον γέγονεν αὐτοκράτωρ.

2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ.

Τοῦ Χρυσοστόμου. *Ἁπλῶς καὶ ὡς ἔτυχεν· εἰ δέ τις ζητοίη, διατί συνεχώρησεν ὁ Θεὸς, ἐροῦμεν ὅτι ὑπὲρ αὐτῶν τούτων· πρῶτον μὲν πείθων αὐτοὺς, ὅτι καὶ ἀναιρούμενοι κρατοῦσιν, ὅπερ ἐπὶ Στεφάνου γέγονε· δεύτερον δὲ διδοὺς αὐτοῖς μετὰ τὸ ἐμπλῆσαι τὸν θυμὸν, ἀνενεγκεῖν ἀπὸ τῆς μανίας· τρίτον δεικνὺς ὅτι κατὰ συγχώρησιν αὐτοῦ γέγονε τοῦτο.*

Τοῦ αὐτοῦ. *Οὕτως ἦν σφοδρὸς καὶ βαρὺς Ἰουδαίοις, ὡς καὶ τὸν Ἡρώδην ταύτῃ δωρεὰν μεγίστην νομίσαι χαρίσεσθαι τοῖς Ἰουδαίοις, εἰ ἐκεῖνον ἀνέλοι.*

Τοῦ αὐτοῦ. *Εἶδες αὐτῶν τὴν ἀνδρείαν; ἵνα γὰρ μηδεὶς λέγῃ ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατατολμῶσι τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ Θεοῦ, διὰ τοῦτο συγχωρεῖ καὶ ἀναιρεθῆναι καὶ τοὺς κορυφαίους, μάλιστα Στέφανον καὶ Ἰάκωβον· πείθων αὐτοὺς τοὺς ἀναιροῦντας, ὅτι οὐδὲ ταῦτα ἀφίστησιν αὐτοὺς καὶ κωλύει.*

Ἀμμωνίου. *Σημειωτέον ὅτι Ἰάκωβος πρῶτος ἐμαρτύρησεν ἀπὸ τῶν δώδεκα μαθητῶν, ὑπὸ Ἡρώδου ἢ σφαγεὶς ἢ ἀποτμηθεὶς τὴν κεφαλήν.*

Τοῦ Χρυσοστόμου. *Ἦν γὰρ καὶ ἕτερος Ἰάκωβος ὁ τοῦ Κυρίου ἀδελφός· διὰ τοῦτο ἐπεσημήνατο εἰπὼν τὸν ἀδελφὸν Ἰωάννου.*

* *Πέτρου σύλληψις πρὸς* [g]*Ἡρώδου· ὅπως τὲ αὐτὸν θείῳ θελήματι* [h]*ἄγγελος ἐξείλατο τῶν εἰργμῶν.*

3 Ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον.

[g] *Ἡρώδην* Cod. [h] *ἄγγελον* Cod.

Τοῦ αὐτοῦ. *Ὑπὲρ τινῶν αὐτοῖς ἐχαρίζετο φόνους ποιῶν ἁπλῶς καὶ εἰκῆ;*

Τοῦ αὐτοῦ. *"Ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι," φησὶ, "τοῖς Ἰουδαίοις·" ἀρεστὸν φόνος; καὶ φόνος ἄδικος κακίας; ἀσέβεια ταῖς ἐπιθυμίαις αὐτῶν ταῖς ἀτόποις ὑπηρετεῖτο· δέον γὰρ τοὐναντίον ποιεῖν· ἐγκόπτειν αὐτῶν τὴν ὁρμὴν, ὁ δὲ ἐπέτεινε, καθάπερ τις δήμιος ὢν τῶν νοσούντων, ἀλλ' οὐκ ἰατρός· καίτοι μύρια παραδείγματα ἔχων, καὶ τοῦ πάππου καὶ τοῦ πατρὸς Ἡρώδου· καὶ πῶς ἐκεῖνος μὲν διὰ τὴν ἀναίρεσιν τῶν παιδίων μέγιστα ἔπαθε κακὰ, οὗτος δὲ Ἰωάννην ἀνελὼν, πόλεμον ἤγειρε χαλεπόν.*

Ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων.

Τοῦ αὐτοῦ. *Πάλιν ἡ περιττὴ τῶν Ἰουδαίων ἀκριβολογία· ἀνελεῖν μὲν οὐκ ἐκώλυον, ἐν δὲ καιρῷ τοιούτῳ πράττειν οὐκ ἤθελον.*

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

Τοῦ αὐτοῦ. *Καὶ τοῦ θύμου τοῦτό, φησιν, ἦν καὶ τοῦ δέους. Ὅσῳ ἀκριβεστέρα ἡ φρουρὰ, τοσούτῳ θαυμασιωτέρα ἡ ἐπίδειξις· τοῦτο δὲ ἦν ὑπὲρ Πέτρου δοκιμωτέρου γινομένου καὶ τὴν ἀνδρίαν τὴν οἰκείαν.*

Τοῦ αὐτοῦ. *Περὶ τὰ καίρια λοιπὸν ἦν ὁ ἀγὼν, καὶ τὸ ἐκεῖνον ἀναιρεθῆναι περιδεεῖς ἐποίει, καὶ τὸ τοῦτον ἐμβεβλῆσθαι.*

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

Τοῦ αὐτοῦ. *Φιλοστοργίας ἦν ἡ προσευχὴ, πατέρα πάντες ἐζήτουν, πατέρα ἥμερον· "ἐκτενὴς," φησὶ, "προσευχή·" ἀκούσατε πῶς διέκειντο πρὸς τοὺς διδασκάλους· οὐκ ἐστασίασαν, οὐκ ἐθορύβησαν, ἀλλ' ἐπὶ εὐχὴν ἐτράπησαν ὄντως συμμαχίαν τὴν [i] ἄμαχον.*

Τοῦ ἁγίου Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Μήτραν πρωτεύοντα ἐπιστολῆς. *Τοῦτο καὶ ὑμᾶς ἡμῖν τοῖς βραχέσι παρακαλοῦμεν συνεισφέρειν, καὶ ἱκετείαις καὶ δά-*

[i] *τὴν ἀμ.* supplevit sec. m.

κρυσι· τὰ γὰρ κοινὰ πάθη τῆς Ἐκκλησίας καὶ κοινῶν δεῖται δεήσεων· οὕτω γὰρ καὶ Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων ἐν τῇ φυλακῇ δύσιν ἁλύσεσι δεδεμένου, καὶ φρουρᾷ στρατιωτῶν παραδεδομένου, φησὶ τὸ βιβλίον τῶν Πράξεων, "προσευχὴ δὲ ἦν "ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ." τουτοί [k]νυν Ἀποστόλου τῆς συμμαχίας δεηθέντος τῶν ὑπὸ τῆς Ἐκκλησίας ἀναπεμπομένων εὐχῶν, πῶς ἡμεῖς οἱ ἀτελεῖς καὶ τῇ ἁμαρτίᾳ σύντροφοι, μὴ πολλῷ μᾶλλον αἰτήσωμεν ταύτας ἡμῖν συνεισφέρεσθαι παρὰ τῶν πιστῶν, γνησίων μελῶν ὄντων τῆς ἐκκλησίας καὶ πεπαιδευμένων, στενάζειν μετ' αἰσθήσεως θεοφιλοῦς καὶ πνευματικῆς;

6 Ὅτε δὲ ἔμελλε προαγαγεῖν αὐτὸν ὁ Ἡρώδης, τῇ νυκτὶ
ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν,
δεδεμένος ἁλύσεσι δυσί· φύλακές τε πρὸ τῆς θύρας
7 ἐτήρουν τὴν φυλακήν· καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη,
καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευ-
ρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν λέγων.

Τοῦ Χρυσοστόμου. Κατ' ἐκείνην τὴν νύκτα αὐτὸν ἐξήρπασε· "καὶ φῶς ἔλαμψε," φησὶ, "ἐν τῷ οἰκήματι," ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι· καὶ τὸ φῶς οὐδεὶς εἶδε πλὴν ἐκείνου· εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ἐνόμιζε φαντασίαν εἶναι διὰ τὸ ἀπροσδόκητον, εἰ μὴ τοῦτο γέγονε[l], πολλῷ πλέον οὕτως παρετάττετο πρὸς τὸν θάνατον· τὸ γὰρ πολλῶν ἡμερῶν ἐκεῖ μείναντα μὴ σωθῆναι, τοῦτο ἐποίει.

Τοῦ αὐτοῦ. Ὅρα δὲ Πέτρον καθεύδοντα, καὶ οὐκ ὄντα οὐδὲ ἐν ἀγωνίᾳ οὐδὲ ἐν φόβῳ· αὐτῇ τῇ νυκτὶ ᾗ προάγεσθαι ἔμελλε, ἐκάθευδε, τὸ πᾶν ῥίψας ἐπὶ τὸν Θεόν· καὶ πάλιν ἰσχύει πλῆθος ὅταν καὶ ἀρετὴ ᾖ· καὶ τοσοῦτον ἰσχύει, ὡς κεκλεισμένων τῶν θυρῶν καὶ ἁλύσεων ἐπικειμένων, καὶ φυλάκων ἑκατέρωθεν παρακαθευδόντων, ἐξαγαγεῖν τὸν Ἀπόστολον καὶ ἀπαλλάξαι πάντων ἐκείνων· ἀλλ' ὥσπερ ἀρετῆς οὔσης μεγάλα δύναται, οὕτω κακίας προσούσης, οὐδὲν ὀνίνησι πλῆθος.

k Sic.
l In marg. suppl. rec. m. πῶς οὐκ ἂν ἐνόμισε φαντασίαν εἶναι.

Τοῦ Αὐτοῦ. Ὅρα πῶς ἀκριβὴς ἡ φυλακή· καί φησι, ἀνάστηθι· συγκαθεύδοντες ἦσαν οἱ φύλακες, "καὶ φῶς ἔλαμψε·" διατί φῶς; ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον, καὶ μὴ νομίσαι φαντασίαν εἶναι· καὶ τὸ ἐν τάχει, ὥστε μὴ ῥαθυμῆσαι· καὶ ἔπληξεν αὐτόν· οὕτως βαθέως ἐκάθευδεν· ἐδόκει δὲ ὅραμα βλέπειν. διῆλθον πρώτην καὶ δευτέραν φυλακήν· πῶς; εἰπέ μοι· ποῦ εἰσὶν οἱ αἱρετικοί; εἰπάτωσαν ἡμῖν.

Ἀνάστα ἐν τάχει· καὶ ἐξέπεσαν αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

Τοῦ Χρυσοστόμου. Οὐχὶ θορυβοῦντός ἐστι τοῦτο, ἀλλὰ πείθοντος μὴ ἀναβάλλεσθαι.

Τοῦ Αὐτοῦ. Πάλιν ἐνταῦθα δείκνυσιν ὅτι οὐ κακουργία γέγονεν· οὐδεὶς γὰρ ἐπειγόμενος καὶ διορύξαι βουλόμενος τοσαύτην ποιεῖται σπουδήν, ὡς τὰ σανδάλια αὐτοῦ λαβεῖν καὶ σώζεσθαι.

8 Εἶπε δὲ ὁ ἄγγελος πρὸς αὐτόν· ζῶσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου· ἐποίησε δὲ οὕτως· καὶ λέγει αὐτῷ· περιβάλου τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι·

Τοῦ Αὐτοῦ. Φέρε κἀκεῖνο ἐξετάσωμεν· εἶπεν ὁ Χριστός· "μὴ κτήσεσθε χρυσὸν μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ζώνην, μηδὲ ῥάβδον·" τί οὖν, εἶπέ μοι, Πέτρος παρὰ τὸ πρόσταγμα; ἐποίει· πῶς γὰρ οὔ; καὶ ζώνην ἔχων καὶ ἱμάτια· ἄκουε γὰρ ἀγγέλου λέγοντος πρὸς αὐτόν· "ζῶσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου·" καίτοι οὐ τοσαύτη χρεία τῶν ὑποδημάτων ἦν· ἔστι γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ἀνυπόδετον εἶναι· ἡ δὲ πολλὴ χρεία ἐν τῷ χειμῶνι ἐστὶν, ἀλλ' ὅμως εἶχε· τί δὴ ὁ Παῦλος ὅταν Τιμοθέῳ [m] γράφων· "σπούδασον πρὸ χειμῶνος ἐλθεῖν·" εἶτα παραγγέλλει καὶ λέγει· "τὸν φελώνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας·" ἰδοὺ φελώνην εἶπε· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν ὅτι καὶ ἕτερον οὐκ εἶχεν ὃν ἐφόρει· εἰ μὲν γὰρ μηδὲ ὅλως ἐφόρει, περιττῶς ἐκέλευε τοῦτον ἀπενεχθῆναι· εἰ δὲ οὐκ ἐνῆν μὴ φορεῖν, δηλονότι ἕτερον εἶχε· τί δὲ ὅτι διετίαν ὅλην ἐν οἰκείῳ μισθώματι

[m] Rec. m. add. ὅταν λέγῃ Τιμ.

ἔμεινεν; ἆρα παρήκουσε τοῦ Χριστοῦ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ λέγων· "ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" περὶ οὗ ὁ Χριστὸς ἐμαρτύρησε λέγων· "ὅτι σκεῦος ἐκλογῆς ἐστί μοι οὗ-"τος·" Καὶ μετ' ὀλίγα—Τί οὖν ἐστίν; οὐκ ἐναντιώθησαν; μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα ἠκολούθησαν τοῖς ἐπιτάγμασι τοῦ Χριστοῦ· τὰ γὰρ ἐπιτάγματα ἐκεῖνα πρόσκαιρα ἦν, καὶ οὐ διὰ παντός· καὶ τοῦτο οὐ στοχαζόμενος λέγω, ἀλλ' ἀπὸ τῶν θείων γράφων· πῶς φησὶν ὁ Λουκᾶς εἰρηκέναι τὸν Χριστὸν τοῖς μαθηταῖς; "ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ζώ-"νης καὶ ὑποδημάτων, μήτινος ὑστέρησεν ὑμῖν; λέγουσιν αὐτῷ, "οὔ·" οὐκοῦν λοιπὸν κτήσασθε· ἀλλὰ τί ἔδει, εἰπέ μοι, ἕνα χιτωνᾶ ἔχειν; τί οὖν εἰ πλύνασθαι τοῦτον ἔδει; γυμνὸς ἐχρῆν οἴκοι καθῆσθαι; ἢ γυμνὸν περιιέναι καὶ ἀσχημονεῖν χρείας καλούσης; ἐννόησον οἷον ἦν, Παῦλον τὸν ἐπὶ τοσούτοις κατορθώμασι περιϊόντα τὴν οἰκουμένην, διὰ ἱματίου ἐνδείαν οἴκοι καθῆσθαι καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν· τί δὲ εἰ κρυμὸς ἐπετέσθη σφοδρὸς καὶ κατέβρεξεν; ἢ καὶ ἐπάγω σε πῶς ξηραίνεσθαι ἐνῆν; καὶ πάλιν γυμνὸν ἐχρῆν καθῆσθαι· τί δὲ εἰ τὸ ψύχος κατέτεινε; τὸ σῶμα τήκεσθαι ἔδει, καὶ μὴ φθέγγεσθαι; ὅτι γὰρ οὐκ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύαστο, ἄκουσον τί φησι πρὸς Τιμόθεον· "οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου "ἀσθενείας·" καὶ πάλιν περὶ ἑτέρου "καὶ γὰρ ἠσθένησε παρα-"πλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ "μόνον, ἀλλὰ καὶ ἐμέ·" ὥστε ἁλώσιμοι πᾶσιν ἦσαν τοῖς πάθεσι· τί οὖν ἀπολλυσθαι ἐχρῆν; οὐδαμῶς· τίνος οὖν ἕνεκε τότε τοῦτο ἐπέταξε; τὴν δύναμιν αὐτοῦ θέλων δεῖξαι.

9 Καὶ ἐξελθὼν ἠκολούθει· καὶ οὐκ ᾔδει, ὅτι ἀληθές
ἐστι τὸ γενόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει γὰρ ὅραμα
10 βλέπειν. διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν,
ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν
πόλιν, ἥτις αὐτομάτη ἠνοίγη αὐτοῖς· καὶ ἐξελθόντες
προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος
ἀπ' αὐτοῦ.

Ἰωάννου. Ἰδοὺ δεύτερον σημεῖον· ὅτε ἀπέστη ὁ ἄγγελος, τότε ἐνόησεν ὁ Πέτρος.

Τοῦ αὐτοῦ. Εἰκότως διὰ τὴν ὑπερβολὴν τῶν γινομένων· ὁρᾷς πόσον ἐστὶν ὑπερβολὴ σημείου· πῶς ἐκπλήττει τὸν ὁρῶντα· πῶς οὐκ ἀφίησιν ἀπιστηθῆναι. εἰ γὰρ Πέτρος ἐδόκει ὅραμα βλέπειν τοσούτῳ χρόνῳ, καίτοι αὐτὸς ζωσάμενος καὶ ὑποδησάμενος, τί ἕτερος ἔπαθεν ἄν; διῆλθεν πρώτην καὶ δευτέραν φυλακήν· πῶς; εἰπέ μοι· ποῦ εἰσὶν οἱ αἱρετικοί; εἰπάτωσαν ἡμῖν. Καὶ μετ' ὀλίγα—"Ἐξελθόντες προῆλθον ῥύμην μίαν," ἕως ὅτου ἀπέστη ὁ ἄγγελος· τὰ μέντοι ἔνδον γενόμενα ἐν τῇ φυλακῇ θαυμασιώτερα ἦν, τοῦτο δὲ λοιπὸν ἀνθρωπινότερον· ὅτε οὐδὲν κώλυμα ἦν, τότε ἀπέστη ὁ ἄγγελος· εἰ γὰρ προῆλθεν ὁ Πέτρος τοσούτων ὄντων κωλυμάτων, ὄντως γὰρ ὄντως ἔκπληξις ἦν· νῦν ἔγνων, " ὅτι ἐξαπέστειλε Κύριος " τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλατο," οὐχὶ τότε ὅτε ἐν δεσμῷ ἦν.

11 Καὶ ὁ Πέτρος ἐν ἑαυτῷ γενόμενος, εἶπε, Νῦν οἶδα
ἀληθῶς ὅτι ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ ὁ Θεὸς, καὶ
ἐξείλατό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδο-
κίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Τοῦ αὐτοῦ. Νῦν ἔγνων, φησὶν, οὐ τότε· διατί δὲ γίνεται τοῦτο, καὶ οὐκ ἔστι Πέτρος ἐν αἰσθήσει τῶν γινομένων· καίτοι τοιαύτης ἀπολαύσας ἀπαλλαγῆς ὅτε οἱ πάντες ἀπελύθησαν. καὶ τὸ τὰς ἁλύσεις δὲ ἀπὸ τῶν χειρῶν πεσεῖν, καὶ τοῦτο μέγα τεκμήριον τοῦ μὴ φυγεῖν. ἀθρόον βούλεται τὴν ἡδονὴν αὐτῷ γενέσθαι, καὶ μετὰ τὸ ἀπαλλαγῆναι, τότε τὴν αἴσθησιν λαβεῖν.

12 Συνιδών δὲ ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς
Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ
13 συνηθροισμένοι καὶ προσευχόμενοι. κρούσαντος δὲ τοῦ
Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε ὑπακοῦσαι
14 παιδίσκη ὀνόματι Ῥώδη· καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ
Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα,

Τοῦ Χρυσοστόμου. Ὅρα τὸν Πέτρον οὐκ εὐθέως ἀναχωροῦντα, ἀλλὰ πρότερον εὐαγγελιζόμενον τοὺς αὐτοῦ. Καὶ μετ' ὀλίγα—

“συνιδὼν δὲ,” φησί· τί ἐστὶ συνιδών; ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ᾽ ἀμείψασθαι τὸν εὐεργέτην· “ἦλθεν ἐπὶ τὴν οἰκίαν Μα-“ρίας·” τίς ἦν ὁ Ἰωάννης; ἴσως οὐκ ἐκεῖνος ὁ ἀεὶ αὐτοῖς συνών· διὰ γὰρ τοῦτο καὶ τὸ παράσημον αὐτοῦ ἔθηκεν· εἶπε γὰρ, “τοῦ “ἐπικαλουμένου Μάρκου·” ὅρα δὲ εὐχόμενοι ἐν νυκτὶ πόσον ἤνυσαν· ὅσον ἀγαθὸν ἡ θλίψις· πῶς δὲ διεγηγερμένους αὐτοὺς εἰργάσατο· εἶδες τοῦ φόνου Στεφάνου τὸ κέρδος, ὅτι διεσπάρησαν εἰς τὴν γῆν, καὶ ἐπλατύνθη τὸ κήρυγμα μετὰ τὸν φόνον Στεφάνου· εἶδες καὶ τοῦ δεσμωτηρίου τούτου ὅση ἡ ὠφέλεια· οὐ γὰρ δὴ ἐξ ἑτέρων ὁ Θεὸς τοῖς ἀδικοῦσιν αὐτοὺς μέγα δεικνύει τὸ εὐαγγέλιον, ἀλλ᾽ ἐν αὐτοῖς τοῖς ἀδικουμένοις, οὐδὲν δι᾽ ἐκείνων πασχόντων δεινὸν, αὐτὰς καθ᾽ ἑαυτὰς θλίψεις δείκνυσι μεγάλας οὔσας· ἵνα μὴ τὴν ἀπαλλαγὴν αὐτῶν πάντως ζητῶμεν, μηδὲ τὴν ἐκδικίαν.

Ἀμμωνίου. Τάχα οὗτός ἐστι Μάρκος ὁ Εὐαγγελιστὴς, δι᾽ οὗ λέγουσιν ὅτι Πέτρος εὐαγγελίσατο· τὸ γὰρ Μάρκου εὐαγγέλιον Πέτρου λέγεται εἶναι· πιθανὸς δὲ ὁ λόγος ἐξ ὧν καὶ πρὸς αὐτὸν κατέμενον ὅ τε Πέτρος καὶ οἱ λοιποί.

Εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστᾶναι τὸν Πέτρον
15 πρὸ τοῦ πυλῶνος. οἱ δὲ πρὸς αὐτὴν εἶπον, μαίνῃ. ἡ δὲ
διϊσχυρίζετο οὕτως ἔχειν.

Τοῦ Χρυσοστόμου. Ὅρα καὶ τὰς παιδίσκας εὐλαβείας γεμούσας· ἐκεῖνοι δὲ καὶ τούτου γενομένου ἀνένευσαν. Καὶ μετ᾽ ὀλίγα—Καὶ αἱ παιδίσκαι αὐτῶν λοιπὸν ὁμότιμοι αὐτοῖς ἦσαν· “ἀπὸ τῆς χαρᾶς,” φησὶν, “οὐκ ἤνοιξε·” καλῶς καὶ τοῦτο γέγονεν, ἵνα μὴ ἐκεῖνοι ἐκπλαγῶσιν εὐθέως ἰδόντες, καὶ ἀπιστήσωσιν, ἀλλ᾽ ἐγυμνασθῇ αὐτῶν ἡ διάνοια. ὅπερ ἔθος ἡμῖν, ἵνα αὐτὴ τὰ εὐαγγέλια κομίσηται, ἔσπευσεν· ὄντως γὰρ εὐαγγέλια ἦν.

Οἱ δὲ ἔλεγον, ὁ ἄγγελος αὐτοῦ ἐστιν.

Τοῦ Χρυσοστόμου. Τοῦτο ἀληθὲς, ὅτι ἕκαστος ἄγγελον ἔχει· καὶ τί βούλεται ὁ ἄγγελος; ἀπὸ τοῦ καιροῦ τοῦτο προσεδόκησαν· φησὶ γὰρ, “ὅπου εἰσὶ συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμὶ ἐν “μέσῳ αὐτῶν·” ὅπου ὁ Χριστὸς μέσος, πολὺ πλῆθος ἐστίν· ὅπου ὁ Χριστὸς, ἀνάγκη καὶ ἀρχαγγέλους, καὶ τὰς ἄλλας δυνάμεις.

Τοῦ Ἁγίου Βασιλείου εἰς τὴν ἑρμηνείαν τοῦ λγ´ Ψαλμοῦ. Παντὶ πεπιστευκότι εἰς τὸν Κύριον ἄγγελος παρεδρεύει, ἐὰν μήποτε ἡμεῖς ἐκ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν. ὡς γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐξελαύνει δυσωδία, οὕτως καὶ τὸν τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἁμαρτία. ἐὰν ἔχῃς ἐν τῇ ψυχῇ ἄξια φυλακῆς ἔργα, ἀναγκαίως φρουρούς σοι καὶ φύλακας παρακαθίστησιν ὁ Θεός· καὶ περιτειχίζει σε φυλακῇ ἀγγέλων. σκόπει δὲ ἡλίκη ἐστὶ τῶν ἀγγέλων ἡ φύσις· ὅτι ὅλῳ στρατοπέδῳ καὶ παρεμβολῇ ἀνθρώπων παρασκευάζεται ὁ εἷς ἄγγελος· διὰ μὲν οὖν τὸ μέγα τοῦ φυλάσσοντός σε, παρεμβολήν σοι χαρίζεται ὁ Κύριος· διὰ δὲ τὴν ἰσχὺν τοῦ ἀγγέλου οἷον περιτειχίζει σε πάντοθεν τῇ ἀπ᾿ αὐτοῦ ἀσφαλείᾳ. ὥσπερ γὰρ οἱ τῶν πόλεων περίβολοι κύκλῳ πᾶσι περικείμενοι, πάντοθεν τὰς τῶν πολεμίων προσβολὰς ἀπείργουσιν, οὕτως καὶ ὁ ἄγγελος, καὶ προτειχίζει ἐκ τῶν ἔμπροσθεν καὶ ὀπισθοφυλακεῖ, καὶ οὐδὲ τὰ ἑκατέρωθεν ἀφύλακτα καταλείπει.

Ἀμμωνίου. Τέως σημειωτέον ἐν πρώτοις, ὅτι ἕκαστος τῶν ἀνθρώπων ἔχει ὁδηγόν· καὶ ὅτι συνεχῶς ἑώρων ἀγγέλους οἱ πιστοί· ὡς ὁ Φίλιππος καὶ οἱ περὶ Πέτρον καὶ Ἰωάννην καὶ οἱ ἄλλοι· οἱ γὰρ ἄπιστοι οὐχ ὁρῶσι, κἂν πλησίον ὦσιν αὐτῶν· ἀμέλει ὁ Ἡρώδης οὐκ εἶδε τὸν πατάξαντα αὐτὸν ἄγγελόν· ἀλλὰ τῆς μὲν πληγῆς ᾔσθετο, τίς δὲ ὁ πλήξας οὐκ ἐθεάσατο.

Τοῦ Χρυσοστόμου. Ἐντεῦθεν δηλονότι ἀγγέλους ἔχουσιν οἱ ἅγιοι, ἢ καὶ πάντες· καὶ γὰρ ὁ Ἀπόστολός φησι περὶ τῆς γυναικός· ὅτι "ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγ- "γέλους·" καὶ Μωσῆς "ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέ- "λων Θεοῦ."

16 Ὁ δὲ Πέτρος ἐπέμενε κρούων· ἀνοίξαντες δὲ εἶδον
17 αὐτὸν, καὶ ἐξέστησαν. κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ
σιγᾷν, διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν
ἀπὸ τῆς φυλακῆς.

Τοῦ αὐτοῦ. Πολλῷ ποθεινότερος λοιπὸν ἦν τοῖς μαθηταῖς, οὐ τῷ σωθῆναι μόνον, ἀλλὰ καὶ τῷ ἐπιστῆναι καὶ εὐθέως ἀπελθεῖν.

Εἶπε δὲ, ἀπαγγείλατε τῷ Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα.

Πῶς οὐκ ἔστι κενόδοξος, οὐδὲ εἶπε, τοῖς ἁπανταχοῦ δῆλα ταῦτα ποιήσατε, ἀλλὰ τοῖς ἀδελφοῖς;

Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

Οὐ γὰρ ἐπείραζε τὸν Θεὸν, οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλεν ἑαυτόν· ἐπεὶ καὶ τοῦτο ὅτε ἐκελεύσθησαν ἐποίησαν· "εἰσελθόντες," φησὶ, "λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ·" τούτῳ δὲ οὐκ εἶπεν ὁ ἄγγελος· ἀλλὰ τῷ σιγῇ ἀποστῆναι καὶ νυκτὸς ἐξαγαγεῖν, ἔδωκεν ἐξουσίαν ἀναχωρῆσαι.

18 Γενομένης δὲ ἡμέρας, ἦν τάραχος μέγας ἐν τοῖς στρα-
19 τιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζη-
τήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας,
ἐκέλευσεν ἀπαχθῆναι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας
εἰς Καισάρειαν διέτριβεν.

Τοῦ Χρυσοστόμου. Ἴσως τινὲς ἀποροῦσιν, ὡς περιεῖδεν ὁ Θεὸς τοὺς ἀθλητὰς ἀπολλυμένους, καὶ νῦν πάλιν τοὺς στρατιώτας διὰ τὸν Πέτρον· καίτοι δυνατὸν ἦν αὐτῷ μετὰ τὸν Πέτρον κἀκείνους ἐξελέσθαι· ἀλλ' οὐδέπω τῆς κρίσεως ὁ καιρὸς, ὥστε τὴν ἀξίαν απονεῖμαι ἑκάστῳ· ἄλλως δὲ οὐκ ἐνέβαλεν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ Πέτρος· μᾶλλον γὰρ αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι· ὥσπερ τὸν πάππον αὐτοῦ ὑπὸ τῶν μάγων ἐμπαιχθέντα, μᾶλλον ἐποίει διαπρίεσθαι καὶ καταγέλαστον εἶναι. Καὶ μετ' ὀλίγα—Εἰ γὰρ καὶ τοὺς στρατιώτας ἐξήγαγεν ὁ ἄγγελος μετὰ τοῦ Πέτρου, ἐνομίσθη φυγὴ ἂν εἶναι τὸ πρᾶγμα· τί οὖν οὐκ ἑτέρως ᾠκονομήθη φησί; ποία γὰρ βλαβὴ γέγονε νῦν ἂν, εἰ δῶμεν, ὅτι οἱ ἀδίκως παθόντες κακῶς, οὐδὲν ἐβλάβησαν· οὐ ζητήσωμεν ταῦτα· διατί γὰρ μὴ λέγεις καὶ περὶ Ἰακώβου; διατί αὐτὸν οὐκ ἐξείλατο; "ἡμέ-"ρας δὲ γενομένης," φησὶν, "ἦν τάραχος οὐκ ὀλίγος·" οὕτως οὐκ ᾔσθοντο· ἰδοὺ τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνω λόγον· τὰ δὲ δεσμὰ ἦν καὶ οἱ φύλακες ἔνδον, καὶ τὸ δεσμωτήριον κεκλεισμένον· οὐδαμοῦ τοῖχος διωρυγμένος· πάντες τὰ αὐτὰ ἔλεγον· ἀνάρπαστος ὁ ἄνθρωπος γέγονε· διατί αὐτοὺς καταδικάζεις; εἰ ἤθελον

ἀπολῦσαι, πρὸ τούτου ἀπέλυσαν ἄν, ἢ συνεξῆλθον· ἀλλὰ χρήματα ἔλαβον· πόθεν; ὁ μηδὲ πένητι ἔχων ἀποδοῦναι, τούτοις ἐδίδου; οὐδὲ γὰρ διεθρύβησαν αἱ ἀλύσεις, οὐδὲ λελυμέναι ἦσαν· ἔδει ἰδεῖν ὅτι θεῖον τὸ πρᾶγμα ἦν, καὶ οὐδὲν ἀνθρώπινον.

* Περὶ τῶν φυλάκων κολάσεως, καὶ μετέπειτα περὶ τῆς τοῦ ἀσεβοῦς Ἡρώδου πικρᾶς τε καὶ ὀλεθρίου καταστροφῆς.

20 ⁹Ἦν δὲ ὁ Ἡρώδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

Τοῦ Χρυσοστόμου. *Ταύτης τί μέμνηται τῆς ἱστορίας, εἰπέ μοι· τί πρὸς τὸ Εὐαγγέλιον ἀνήκει μαθεῖν, ὅτι θυμομαχεῖ Τυρίοις καὶ Σιδονίοις; οὐ μικρὸν οὐδὲ τοῦτό ἐστιν, πῶς εὐθέως ἐπῆλθεν ἡ δίκη, καὶ κατέλαβεν αὐτόν· εἰ καὶ μὴ διὰ Πέτρον, ἀλλὰ διὰ τὴν αὐτοῦ μεγαληγορίαν. καὶ μὴν εἰ ἐκεῖνοι φησὶν ἐβόησαν, τί πρὸς τοῦτον; ὅτι κατεδέξατο τὴν φωνήν· ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας· διὰ τοῦτο μάλιστα ἐκεῖνοι παιδεύονται οἱ κολακεύοντες εἰκῇ. ὅρα πάλιν ἀμφοτέρους μὲν ὄντας ἀξίους τιμωρίας, τοῦτον δὲ κολαζόμενον· οὐ γάρ ἐστι κρίσεως ὁ καιρὸς, ἀλλὰ τὸν μάλιστα ὑπεύθυνον, τοῦτον κολάζει· ἐκείνους ἀφιεὶς ἀπὸ τούτου κερδᾶναι.*

21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βα-
σιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς
22 αὐτούς. ὁ δὲ δῆμος ἐπεφώνει, Θεοῦ φωνὴ καὶ οὐκ ἀν-
23 θρώπου. παραχρῆμα δὲ αὐτὸν ἐπάταξεν ἄγγελος Κυρίου,
ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ γενόμενος
24 σκωληκόβρωτος, ἐξέψυξεν. ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε
καὶ ἐπληθύνετο.

Τοῦ Χρυσοστόμου. *Ἰώσηπος φησὶν, ὅτι καὶ ἐσθῆτα λαμπρὰν ἐξ ἀργυρίου πεποιημένην περιέκειτο. ὅρα καὶ ἐκεῖνοι πῶς κόλακες ἦσαν· ὅρα καὶ τῶν Ἀποστόλων τὸ φρόνημα· ὃν γὰρ ἔθνος ὁλόκληρον οὕτως ἐθεράπευσε, τοῦτον οὗτοι διέπτυον· ὅρα δὲ πάλιν ἀνά-*

πνευσιν αὐτῶν μεγάλην, καὶ μυρία ἀγαθὰ ἐκ τῆς ἐκείνου τιμωρίας· εἰ γὰρ οὗτος ἀκούσας, ὅτι φωνὴ Θεοῦ καὶ οὐκ ἀνθρώπου, καίτοι μηδὲν εἰπὼν, τοιαῦτα ἔπαθε, πολλῷ μᾶλλον ὁ Χριστὸς, εἰ μὴ αὐτὸς ἀεὶ λέγων, ὅτι "τὰ ῥήματα τὰ ἐμὰ οὐκ ἐστὶν ἐμά·" "κἂν πολ-"λοί μοι ὑπηρετοῦσι." καὶ ὅσα τοιαῦτα.

Εὐσεβίου Καισαρείας ἐκ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας. Εἴπερ τῆς τοῦ βασιλέως Ἡρώδου προσηγορίας δόξειε τισὶ διαφωνεῖν ὁ Ἰώσηπος· ἀλλ' ὅγε χρόνος καὶ ἡ πρᾶξις τὸν αὐτὸν ὄντα δεικνύων· ἤτοι κατά τι σφάλμα γραφικὸν ἐνηλλαγμένου τοῦ ὀνόματος, ἢ καὶ διωνυμίας περὶ τὸν αὐτὸν, οἷα καὶ περὶ πολλοὺς, γεγενημένης. Ἰώσηπος λέγει "ὡς ὁ Ἡρώδης στολὴν ἐνδυσάμενος ἐξ "ἀργυρίου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν εἶναι, παρῆλθεν "εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας· ἔνθα ταῖς πρώταις τῶν ἡλια-"κῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς, θαυμασίως ἀπέ-"στιλβε· μαρμαρυγῶν τι φοβερὸν, καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι "φρικῶδες. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲ ἐκείνων πρὸς ἀγαθοῦ "ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν προαγορεύοντες, εὐμενής τε "εἴης ἐπιλέγοντες, εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν· "ἀλλὰ τοὐντεῦθεν κρείττονά σε τῆς φύσεως ὁμολογοῦμεν."

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἀπὸ Ἱερουσαλὴμ, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες Ἰωάννην τὸν ἐπικαλούμενον Μάρκον.

Τοῦ Χρυσοστόμου. Ἔτι Βαρνάβα πρώτου μνημονεύει· οὔπω γὰρ Παῦλος ἦν λαμπρός· οὔπω σημεῖον οὐδὲν εἰργάσατο.

ΚΕΦ. ΙΘ.

Ἀποστολὴ Βαρνάβα καὶ Παύλου παρὰ τοῦ Θείου Πνεύματος εἰς Κύπρον· ὅσα τε εἰργάσατο ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς Ἐλύμαν τὸν μάγον.

1 Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος,

Ἀμμωνίου. Σημειωτέον ὅτι καὶ Παῦλος καὶ Βαρνάβας μετὰ τῶν προφητῶν κατετάγησαν.

Μαναήν τε Ἡρώδου τοῦ Τετράρχου σύντροφος, καὶ Σαῦλος.

"Μαναήν τε Ἡρώδου τοῦ Τετράρχου σύντροφος." ἰδοὺ ὁ τρόπος ἑκάστου, καὶ οὐκ ἐκ παιδὸς ἀνατροφὴ σώζει· βλέπε γὰρ πῶς ὁ μὲν Ἡρώδης κάκιστος ἦν, μὴ βουληθεὶς μετανοῆσαι· ὁ δὲ τούτου σύντροφος Μαναὴν, τοσοῦτον μετεβλήθη, ὅτι καὶ προφητείας ἠξιώθη.

2 Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον,

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι λειτουργούντων; τουτέστι κηρυττόντων.

ΕΞ ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὥσπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς πάντα πράττουσιν αὐτεξουσίως, οὕτως καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ἔργον δὲ λέγει τὸ κήρυγμα, ὅπερ ἐστιν ἴδιον τῆς Ἁγίας Τριάδος.

ΑΜΜΩΝΙΟΥ. Σημειωτέον ὅτι οὐ τοῖς τυχοῦσι λαλεῖ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ τοῖς λειτουργοῦσιν αὐτῷ καὶ νηστεύουσι· καὶ πάλιν σημειωτέον, ὅτι οὐχ ὡς ἔτυχεν ἐχειροτόνουν τοὺς διακόνους, ἀλλὰ προνηστεύοντες καὶ εὐχόμενοι· καὶ ἰδοὺ πάλιν ἐπέθηκαν τὰς χεῖρας τοῖς περὶ Σαῦλον· ὡς ἐκ τούτου στοχάζεσθαι, ὅτι τὸν τοῦ διακόνου βαθμὸν διὰ τῆς ἐπιγενομένης χειροθεσίας ὑπερέβησαν.

Ἵνα τὸ ὁμότιμον δείξῃ.

Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον εἰς
3 τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς· τότε νηστεύσαντες
καὶ προσευξάμενοι, καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς,
ἀπέλυσαν.

Τί ἐστιν "ἀφορίσατέ μοι εἰς τὸ ἔργον;" εἰς τὴν ἀποστολήν· ὅρα πάλιν ὑπὸ τινῶν χειροτονεῖται· ὑπὸ Λουκίου τοῦ Κυρηναίου καὶ Μαναήν· μᾶλλον δὲ ὑπὸ τοῦ Πνεύματος· ὅσῳ γὰρ τὰ πρόσωπα ἐλάττονά ἐστι, τοσούτῳ σεμνότερα ἡ τοῦ Θεοῦ φαίνεται χάρις· χειροτονεῖται λοιπὸν εἰς ἀποστολὴν, ὥστε μετ' ἐξουσίας κηρύττειν· πῶς οὖν αὐτός φησιν, "οὐκ ἀπ' ἀνθρώπου, οὐδὲ δι' ἀνθρώπων;" ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν, οὐδὲ προσήγετο· τουτέστιν οὐδὲ δι' ἀνθρώπων· διὰ τοῦτό φησιν, ὅτι οὐχ ὑπὸ τοῦδε ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ Πνεύματος. Καὶ μετ' ὀλίγα—Σκόπει δὲ λοιπὸν τὴν αὐθεντείαν τοῦ Ἁγίου Πνεύματος· τίς ἂν ἐτόλμησε, μὴ τῆς αὐτοῦ ἐξουσίας ὤν, ταῦτα εἰπεῖν; πῶς τε αὐτοῖς εἶπε; διὰ προφητῶν

ἴσως· διὰ τοῦτο προλαβὼν εἶπεν· ὅτι καὶ προφῆται ἦσαν, καὶ ἐνήστευον καὶ ἐλειτούργουν· ἵνα μάθῃς ὅτι πολλῆς νήψεως χρεία ἦν. ἐν Ἀντιοχείᾳ χειροτονεῖται ἔνθα κηρύττει· διατί μὴ εἶπε, τῷ Κυρίῳ ἀφορίσατε, ἀλλ' ἐμοί; δείκνυσιν ὅτι ἔνεστι τὸ τῆς ἐξουσίας καὶ δυνάμεως· ὅρα ὅσον ἡ νηστεία δείκνυσι μέγα. Καὶ πάλιν— Ὅθεν δῆλον ὅτι καὶ μία ἐξουσία Υἱοῦ καὶ Πνεύματος· ἀπὸ γὰρ Πνεύματος ἀποσταλεὶς, ὑπὸ τοῦ Υἱοῦ φησὶν ἀπεστάλθαι· τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τοῦ Θεοῦ Πνεύματι λογιζόμενος· τοῖς γὰρ Μιλησίων διαλεγόμενος ἄρχουσι καὶ πρεσβυτέροις, "προσέχετε ἑαυτοῖς," φησι, "καὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ποιμένας καὶ ἐπισκόπους·" καίτοιγε ἐν ἄλλῃ φησὶν ἐπιστολῇ "οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ· πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, εἶτα ποιμένας καὶ διδασκάλους." οὕτως διαφόρως κέχρηται τῷ λόγῳ, τὰ[n] τοῦ Πνεύματος, τοῦ Θεοῦ λέγων εἶναι, καὶ τὰ τοῦ Θεοῦ τοῦ Πνεύματος· ἐμφράττει δὲ καὶ ἄλλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων "διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός." ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην προσερρίφθαι τῷ Υἱῷ φασὶν, ὅρα τί ποιεῖ; ἐπὶ τοῦ Πατρὸς αὐτὴν τίθησι, διδάσκων ἡμᾶς μὴ νομοθετεῖν τῇ ἀρρήτῳ φύσει, μηδὲ μέτρα θεότητος ὁρίζειν, μέσους καὶ Υἱοῦ καὶ Πατρὸς γενομένους· εἰπὼν γὰρ "διὰ Ἰησοῦ Χριστοῦ," ἐπήγαγε "καὶ Θεοῦ Πατρός·" εἰ μὲν γὰρ καθ' ἑαυτὸ τοῦ Πατρὸς μνημονεύσας εἶπεν τὸ δι' οὗ, ἴσως ἂν καὶ ἐσοφίσαντο λέγοντες ἁρμόζειν τῷ Πατρὶ τὸ δι' οὗ, τῷ τὰ ἔργα τοῦ Υἱοῦ εἰς αὐτὸν ἀναφέρεσθαι· νυνὶ δὲ τοῦ Υἱοῦ μνημονεύσας ὁμοῦ καὶ τοῦ Πατρὸς, καὶ κοινὴν[o] θεὶς τὴν λέξιν, οὐκέτι τὸν λόγον τοῦτον χώραν ἀφίησιν ἔχειν· οὐ γὰρ ὡς τὰ τοῦ Υἱοῦ νῦν ἀνατιθεὶς τῷ Πατρὶ τοῦτο ποιεῖ, ἀλλ' ὡς[p] δεικνὺς ὅτι οὐδεμίαν αὕτη ἡ λέξις οὐσίας διαφορὰν εἰσάγει.

4 Αὐτοὶ μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος, κατῆλθον εἰς Σελεύκειαν, κἀκεῖθέν τε ἀπέπλευσαν εἰς Κύπρον.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς ἐν Σελευκείᾳ οὐ διατρίβουσιν, εἰδότες ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν· ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσιν.

[n] τὰ om. Cod. [o] κοινὴ Cod. [p] οὐ Cod.

Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας ἀπὸ λόγου κη΄. Ταῦτα εἴρηται κατὰ τὴν πρόχειρον ἔννοιαν· κατὰ δὲ τὴν ὑψηλὴν καὶ ἀνηγμένην καὶ ἀληθῆ, θάλασσαν τὸν κόσμον τοῦτον εἶναί φησι, διὰ τὸ ἄστατον καὶ ῥέον τοῦ βίου κλυδώνιον· οὗ τῶν Ἀποστόλων οἱ πόδες ἐπιβάντες, ἐτάραξαν ὕδατα πολλά, τὰ ἐγκόσμια καὶ φιλήδονα καὶ διακεχυμένα νοήματα διασκεδάσαντες, καὶ τῇ διδασκαλίᾳ τῆς ἐγκρατείας καὶ σωφροσύνης ξηράναντες.

5 Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

Τοῦ Χρυσοστόμου. Ὁρᾷς πᾶσαν σπουδὴν ποιουμένους αὐτοὺς ἐκείνοις καταγγέλλειν τὸν λόγον πρώτοις, ἵνα μὴ φιλονεικοτέρους ἐργάσωνται· καὶ ἐκείνοις οὐκ ἐλάλουν εἰ μὴ μόνοις Ἰουδαίοις· καὶ αὐτοὶ εἰς τὰς συναγωγὰς ἀπῄεσαν.

6 Διεξελθόντες δὲ ὅλην τὴν νῆσον ἄχρι Πάφου, εὗρον
ἐκεῖ ἄνδρα τινὰ μάγον ψευδοπροφήτην Ἰουδαῖον, ὀνό-
7 ματι Βαριησοῦν, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ,
ἀνδρὶ συνετῷ. οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ
8 Σαῦλον, ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. ἀν-
θίστατο δὲ αὐτοῖς Ἐλύμας, ὁ μάγος· οὕτως γὰρ μεθερ-
μηνεύεται τὸ ὄνομα αὐτοῦ· ζητῶν ἀπόστρεψαι τὸν
ἀνθύπατον ἀπὸ τῆς πίστεως.

Τοῦ αὐτοῦ. Πάλιν μάγος Ἰουδαῖος καθάπερ Σίμων· καὶ ὅρα τοῦτον, ὅτε μὲν τοῖς ἄλλοις ἐκήρυττον, οὐ σφόδρα ἀγανακτοῦντα· ἐπειδὴ δὲ τῷ ἀνθυπάτῳ προσῄεσαν, τότε· τὸ δὲ θαυμαστὸν τοῦ ἀνθυπάτου, ὅτι καὶ προκατειλημμένος ἐκείνου τῇ μαγείᾳ, ἤθελεν ἀκοῦσαι τῶν Ἀποστόλων· οὕτω καὶ οἱ Σαμαρεῖται ἐποίησαν, ἡνίκα φαίνεται τῆς μαγείας ἁλισκομένης· πανταχοῦ ἡ κενοδοξία καὶ ἡ φιλαρχία αἰτία τῶν κακῶν· πρὸς τὴν ῥίζαν ἐλθόντες τῆς νόσου[o] τὸν ἀνθύπατον ἐσπούδαζον διορθῶσαι· ὅτι γὰρ οὐ κολακείας ἦν τὸ λέγειν, συνῆν τῷ ἀνθυπάτῳ ἀνδρὶ συνετῷ, ἀπὸ τοῦ πράγματος μάνθανε· πῶς οὐκ ἐδεήθη λόγων πολλῶν; πῶς ἠθέλησεν αὐ-

[o] νήσου Cod.

τῶν ἀκοῦσαι; καὶ τὰ ὀνόματα δὲ λέγει· ἐπειδὴ προσφάτως ἔγραφον· ὅρα ὅτι οὐδὲν πρὸς τὸν μάγον εἶπον, ὡς ἐκεῖνος ἀφορμὴν ἔδωκεν, ἀλλὰ τὸν λόγον τοῦ Κυρίου κατήγγελλον· ἐπειδὴ τοὺς ἄλλους ὁ μάγος ἑώρα προσέχοντας, πρὸς ἓν τοῦτο ἑώρα, ὥστε ἐκεῖνον μὴ πεισθῆναι.

9 Σαῦλος δὲ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος Ἁγίου, ἀτενίσας εἰς αὐτὸν εἶπεν,

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα τὸ ὄνομα αὐτοῦ ἀμείβεται μετὰ τῆς χειροτονίας· ὅπερ καὶ ἐπὶ τοῦ Πέτρου γεγένηται.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς. Τίνος ἕνεκεν μετέθηκε τὸ ὄνομα αὐτοῦ ὁ Θεὸς, καὶ Σαῦλον ὄντα Παῦλον ἐκάλεσεν; ἵνα μηδὲ ταύτῃ τῶν Ἀποστόλων ἔλαττον ἔχῃ· ἀλλ᾽ ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται, καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ.

10 Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης,

Τοῦ αὐτοῦ. Καὶ ὅρα· οὐχ ὕβρις τὸ πρᾶγμα ἐστὶν, ἀλλὰ κατηγορία· τοὺς γὰρ ἰταμοὺς καὶ ἀναισχύντους οὕτω δεῖ καταπλήττεσθαι· ἐνταῦθα ἀποκαλύπτει τὰ ἐν τῇ διανοίᾳ, πρὸς σχήματι σωτηρίας ἀπολλύντι τὸν ἀνθύπατον.

Τοῦ αὐτοῦ. "Ὦ πλήρης παντὸς δόλου·" οὐδὲν ἐλλιπῶς φησι· καὶ καλῶς εἶπε "παντὸς δόλου," ὑπεκρίνετο γάρ· "υἱὲ διαβόλου" τὸ γὰρ ἔργον ἐκείνου ἔπραττεν· "ἐχθρὲ πάσης δικαιοσύνης" ἡ γὰρ πᾶσα δικαιοσύνη αὕτη ἦν· ἐμοὶ δοκεῖ καὶ τὸν βίον ἐλέγχειν τὸν αὐτοῦ· οὐκ ἦν θύμου τὰ ῥήματα· διὰ τοῦτο προλαβὼν εἶπε, "πλησθεὶς Πνεύματος Ἁγίου," τουτέστιν ἐνεργείας.

Διδύμου. Ἐπεὶ ὁ δικαιοσύνης ἐχθρὸς ἐναντίος αὐτῇ ἐστιν· ἀρετὴ δὲ ἡ δικαιοσύνη· τὸ δὲ ποιότητι ἐναντίον καὶ αὐτὸ ποιότης[p]· οὐ ποιότης δὲ ὁ προκείμενος μάγος, ἀλλ᾽ ἄνθρωπος· ἐχθρὸς δικαιοσύνης, οὐχ ᾗ[q] ἄνθρωπος, ἀλλὰ τῷ ἔχειν ἀδικίαν τυγχάνει· εἰ δὲ τῷ ἔχειν ἀδικίαν κακός ἐστιν, οὐκ ἐκ κατασκευῆς ἐστὶ τοιοῦτος· ὅθεν οὐ ῥᾳδιουργία ἡ δολιότης ἐστὶν, ἀλλὰ πλήρης τούτων τυγχάνει,

[p] αὐτοποιότης Cod. [q] οὐχὶ Cod.

κατὰ διάθεσιν αὐτὰ σχών· ᾧ ἕπεται, κατὰ γνώμην, ἀλλ' οὐ κατ' οὐσίαν πονηρὸν αὐτὸν εἶναι, ἐπιστατέον.

Ἰσιδώρου Πηλουσιώτου ἐξ ἐπιστολῆς τνα'. Οὐκ ἔστιν ἐναντίον τῷ θείῳ νόμῳ, ἐμφρονέστατε, τῷ ἀγαπᾶν τοὺς ἐχθροὺς παραγγέλλοντι, τὰ παρὰ τοῦ Ἀποστόλου εἰς τὸν μάγον γενόμενα· ἀλλ' ἐπειδὴ τὰς ὁδοὺς διέστρεφε τοῦ κηρύγματος, καὶ τὸν ἀνθύπατον ἀφιστᾶ τῆς πίστεως, δι' οὗ ἅπαν τὸ ἔθνος χειρωθῆναι ἦν πρὸς σωτηρίαν ῥᾴδιον, ἐκ τῆς καθ' ἑαυτὸν οἰκονομίας, σωφρονίζει ὁ Παῦλος τὸν βλάσφημον· τύφλωσιν ἐπαγαγὼν πρὸς νουθεσίαν, τὴν καὶ αὐτὸν χειραγωγήσασαν πρὸς μαθησίαν· ἐδιδάχθη γὰρ ἐκείνῳ θεραπεύειν τῷ φαρμάκῳ τὴν ἀπιστίαν, ὥσπερ αὐτὸς ἰάθη τὴν ἐκ τοῦ νόμου ἀντιλογίαν· τὸ δὲ "ἄχρι καιροῦ" ὅριον τῇ γνώμῃ διδοὺς ἐν ἑαυτῇ ἔχειν τοῦ φωτὸς τὴν ἀπόληψιν, τὸν τρόπον μεταβάλλουσα πρὸς τὸ βελτίον.

Οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

Τοῦ Χρυσοστόμου. Οὐχ ἡμῖν πολεμεῖς, φησὶν, οὐδὲ μάχῃ, ἀλλ' ὁδοὺς Κυρίου διαστρέφεις τὰς εὐθείας.

Διδύμου. Καὶ τὸ "οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου," πρὸς δυνάμενον παύσασθαι ἡ ἐπίπληξις· οὐ δυνατὸν δὲ παύσασθαι τῷ κατ' οὐσίαν κακῷ· συμφωνεῖ τούτοις καὶ τὰ τῆς ἐπιτιμίας· ἐκ βλέποντος γὰρ τυφλὸς γενόμενος μεταβολὴν ἔσχεν· ἀλλὰ καὶ τὸ "ἄχρι καιροῦ" προσκείμενον δείκνυσιν, ὅτι τῷ φαύλως βλέπειν ἀποβεβηκὼς[q] μετὰ τὸν δηλούμενον καιρὸν, ἔσται ἐν τῷ καλῶς ὁρᾶν· καὶ τοῦτο τὸ ῥητὸν ἀνατρέπει δόξαν τῶν λεγόντων, μὴ ἀγαθοῦ Θεοῦ εἶναι τὸ ποιεῖν βλέποντα καὶ τυφλόν· οὐ γὰρ ἐκείνου τοῦ Θεοῦ κατὰ τὴν γνώμην ταύτην τοῦ ἀγαθοῦ διάκονος ὢν Παῦλος, δυνάμει τοῦ ἰδίου Θεοῦ τὸν Ἐλύμαν ἐτύφλωσεν.

11 Καὶ νῦν ἰδοὺ, χεὶρ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον, ἄχρι καιροῦ.

Τοῦ Χρυσοστόμου. Ὧι αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἠβουλήθη προσαγαγεῖν.

q ἀποβεβ^{λ}ηκὼς Cod. corr. pr. m. ἀποβεβληκὼς voluit.

Τοῦ αὐτοῦ. "Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ." οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις· μονονουχὶ γὰρ ἔλεγεν,· οὐκ ἐγὼ ποιῶ, ἀλλ' ἡ τοῦ Θεοῦ χείρ· ὅρα τὸ ἄτυφον· οὐκέτι φῶς ὡς ἐπὶ Παύλου περιήστραψεν αὐτόν.

Τοῦ αὐτοῦ. Τοῦτο οὐ κολάζοντος ἦν τὸ ῥῆμα, ἀλλ' ἐπιστρέφοντος· εἰ γὰρ κολάζοντος ἦν, διὰ παντὸς ἂν αὐτὸν ἐποίησε τυφλόν· νῦν δὲ οὐ τοῦτο, ἀλλὰ πρὸς καιρὸν, ἵνα τὸν ἀνθύπατον κερδάνῃ.

Ἐξ ἀνεπιγράφου. Τὸ "ἄχρι καιροῦ" μετανοίας ἐστὶ σημαντικόν· ἵνα εἰ μὲν μετανοήσῃ, σωτηρίας τύχῃ παρὰ Θεοῦ· εἰ δὲ καταφρονήσει, καὶ οὕτως τῆς τοῦ Θεοῦ μακροθυμίας καὶ χρηστότητος ἀναπολόγητον ἕξῃ τὴν δίκην.

Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος,
12 καὶ περίαγων ἐζήτει χειραγωγούς· τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς, ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

Τοῦ Χρυσοστόμου. Διατί μὴ ἕτερον σημεῖον ἐποίησεν; οὐκ ἦν τούτου ἴσον τὸν ἐχθρὸν ἑλεῖν. Καὶ μετ' ὀλίγα—Τεκμήριον τῆς τυφλότητος τὸ χειραγωγοὺς ζητεῖν· καὶ ὅρα τὴν πύρωσιν· ὁ ἀνθύπατος μόνος ἐπίστευσε, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐκπληττόμενος· εἶδεν ὅτι οὐ λόγος οὐδὲ ἀπάτη ταῦτα. ὅρα πόσον ἐρῶτα εἶχε διδασκαλίας, ἐν ἀρχῇ ὢν τοσαύτῃ ἐκπληττόμενος· τὸν γὰρ προκατειλημμένον τῇ μαγείᾳ αὐτοῦ, ταύτῃ τῇ τιμωρίᾳ παιδευθῆναι ἐχρῆν· ὥσπερ οὖν καὶ οἱ μάγοι ὑπὸ τῶν φλυκτίδων ἐπαιδεύοντο. ὅρα δὲ αὐτοὺς οὐκ ἐγχρονίζοντας αὐτόθι, ἅτε τοῦ ἀνθυπάτου λοιπὸν πιστεύσαντος, οὐδὲ μαλακισθέντας τῇ κολακείᾳ καὶ τιμῇ, ἀλλ' εὐθέως τοῦ ἔργου ἐχομένους, καὶ εἰς τὴν ἀντίπερα χώραν ὁρμῶντας.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου, οἱ περὶ Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας. Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

Τοῦ Χρυσοστόμου. Τί δήποτε ὁ Ἰωάννης ἀποχωρεῖ ἀπ' αὐτῶν; ἅτε ἐπὶ μακροτέραν λοιπὸν στελλομένων ὁδόν· καίτοι γε ὑπηρέτης ἦν· ἀλλὰ τὸν κίνδυνον αὐτοὶ εἶχον· ἐλθόντες δὲ αὐτοὶ

πάλιν εἰς Πέργην παρατρέχουσιν· ἐπὶ γὰρ τὴν μητρόπολιν ἠπείγοντο τὴν Ἀντιόχειαν.

14 *Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων τῇ ἡμέρᾳ τῶν Σαββάτων, ἐκάθισαν.*

Τοῦ αὐτοῦ. *Πάλιν εἰς τὰς συναγωγὰς ἐν σχήματι Ἰουδαίων εἰσῄεσαν, ὥστε μὴ πολεμεῖσθαι μηδὲ ἐλαύνεσθαι· καὶ οὕτω τὸ πᾶν κατώρθουν.*

15 *Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες, ἄνδρες ἀδελφοὶ, εἴτις ἐστὶν ἐν ὑμῖν λόγος παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε.*

Τοῦ αὐτοῦ. *Λοιπὸν ἐντεῦθεν τὰ κατὰ Παῦλον μανθάνομεν· οὐ μικρὰ περὶ τοῦ Πέτρου μαθόντες ἐν τοῖς πρῴην εἰρημένοις· ὅρα δὲ αὐτοὺς ἀφθόνως τοῦτο ποιοῦντας· μετὰ δὲ τοῦτο οὐκέτι· εἰ τοῦτο βούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι, ἀλλ' ὦ τῆς φιλαρχίας, ὦ τῆς κενοδοξίας· πῶς πάντα ἀνατρέπει καὶ ἀπόλλυσι κατὰ τῆς οἰκείας, κατὰ τῆς τῶν ἄλλων σωτηρίας· ἑστάναι παρασκευάζει πηροὺς ὄντας, καὶ τυφλοὺς ἐργάζεται ὥστε χειραγωγοὺς ἐπιζητεῖν· ἀλλ' οὐκέτι τούτου ἀνέχονται, ἀλλ' ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν· οὐδὲν ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπιτίθεται, καὶ ζόφος οὐκ ἀφίησι διακλέψαι.*

Ἀμμωνίου. *Ἔθος τοῖς Ἰουδαίοις ἐν τοῖς Σάββασιν ἀναγινώσκειν τὸν νόμον Μωυσέως καὶ τοὺς προφήτας· καὶ μετὰ τὴν τούτων ἀνάγνωσιν προσομιλεῖν καὶ ἐξηγεῖσθαι· διὸ καὶ οἱ Ἰουδαίων ἀρχισυνάγωγοι μετὰ τὴν ἀνάγνωσιν προετρέποντο τοὺς περὶ Παῦλον λαλῆσαι παραινετικοὺς λόγους τῇ συναγωγῇ.*

ΚΕΦ. Κ.

Παύλου εὐθαλὴς διδασκαλία εἰς Χριστὸν ἔκ τε τοῦ νόμου καὶ καθεξῆς τῶν προφητῶν, ἱστορικὴ καὶ εὐαγγελική.

16 *Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπεν, ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν Θεὸν, ἀκούσατε.*

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα κηρύττει πρῶτον Παῦλος· καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν· ἔνθα μὲν ἦν κατεσπαρμένος ὁ λόγος, παρατρέχει· ἔνθα δὲ οὐδεὶς ἦν, διατρίβει· καθὼς αὐτός φησι γράφων· "οὕτως δὲ φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός"—Καὶ μετ' ὀλίγα—Ὅρα τὸν Βαρνάβαν παραχωροῦντα τῷ Παύλῳ· πῶς γὰρ οὔ; ὃν ἤγαγεν ἀπὸ Ταρσοῦ· ὥσπερ καὶ Πέτρῳ Ἰωάννης πανταχοῦ· καίτοι αὐτοῦ αἰδεσιμώτερος ἦν· ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἑώρων.

17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ ἐξελέξατο τοὺς
πατέρας ἡμῶν· καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ
ἐν γῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν
18 αὐτοὺς ἐξ αὐτῆς· καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτρο-
19 ποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ· καὶ καθελὼν ἔθνη ἑπτὰ
ἐν γῇ Χαναάν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν· ὡς
ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα.

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτὸν τὸν Θεὸν αὐτῶν καλεῖ τὸν κοινὸν πάντων ἀνθρώπων Θεόν· καὶ δείκνυσιν ἄνωθεν τὰς εὐεργεσίας αὐτοῦ μεγάλας οὔσας· καθάπερ καὶ Στέφανος ποιεῖ.

20 Καὶ μετὰ ταῦτα, ἔδωκε κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου.

Τοῦ αὐτοῦ. Ἐνταῦθα ὅτι διαφόρως κατ' αὐτοὺς οἰκονομεῖται ἐδήλωσεν.

21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ
Θεὸς τὸν Σαοὺλ υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν,
22 ἔτη τεσσαράκοντα· καὶ μεταστήσας αὐτὸν, ἤγειρεν αὐ-
τοῖς τὸν Δαβὶδ εἰς βασιλέα,

Τοῦ αὐτοῦ. Οὐ λέγει τὴν ἀγνωμοσύνην αὐτῶν, ἀλλὰ πανταχοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν.

Θεοδωρήτου εἰς τὴν ἑρμηνείαν τῆς πρώτης τῶν Βασιλειῶν. "Ζητήσει γὰρ Κύριος," φησὶν, "ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ· καὶ ἐντελεῖται αὐτῷ Κύριος εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ· ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετείλατό σοι Κύριος·" ἐντεῦθεν ὁ Παῦλος τέθεικε τὸ, "εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ

τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου·" προφητικῶς γὰρ ταῦτα προείρηκεν ὁ θειότατος Σαμουὴλ πρὸς τὸν Σαούλ.

Ὧι καὶ εἶπε μαρτυρήσας, εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.

Σημειωτέον ὡς οὐδαμῶς αὐτολέξει ταῦτα τὰ ῥητὰ κεῖνται ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν· ἢ μόνον προφητικῶς ὑπὸ τοῦ θείου Σαμουὴλ εἰρημένα πρὸς τὸν Σαοὺλ οὕτω· "καὶ νῦν ἡ βασιλεία " σου, οὐ στήσεται σοι· καὶ ζητήσει Κύριος ἑαυτῷ ἄνθρωπον κατὰ " τὴν καρδίαν αὐτοῦ· καὶ ἐντελεῖται Κύριος αὐτῷ εἰς ἄρχοντα ἐπὶ " τὸν λαὸν αὐτοῦ· ὅτι οὐκ ἐφύλαξας ὅσα ἐνετείλατό σοι Κύριος."

23 Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν
24 ἤγειρε τῷ Ἰσραὴλ Σωτῆρα Ἰησοῦν, προκηρύξαντος
Ἰωάννου, πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα
μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ γὰρ τῷ δέει κατείχοντο ὡς ἀνῃρηκότες αὐτὸν, καὶ τὸ συνειδὸς τοῦτο αὐτοὺς ἠλλοτρίου, οὐχ ὡς πρὸς χριστοκτόνους διαλέγονται, οὐδὲ ὡς ἀλλότριον ἀγαθὸν αὐτοῖς ἐγχειρίζοντες, ἀλλὰ τὸ οἰκεῖον· πάνυ ποθεινὸν ἦν αὐτοῖς τὸ τοῦ Δαβὶδ ὄνομα· οὐκοῦν ὑπὸ τοῦ παιδὸς αὐτοῦ βασιλεύεσθαι φησὶ "προκηρύξαντος Ἰωάννου τῆς εἰσόδου αὐτοῦ·" εἴσοδον τὴν σάρκωσιν λέγει· οὕτως καὶ Ἰωάννης τὸ εὐαγγέλιον γράφων, ἐπὶ τοῦτον καταφεύγει συνεχῶς· ὄνομα γὰρ ἦν αὐτῷ πολὺ κατὰ τὴν οἰκουμένην ἅπασαν.

"Ἤγειρε" λέγει, οὐκ ἔκτισε· τὸν γὰρ ὄντα ἤγειρεν, οὐ τὸν μὴ ὄντα.

25 Ὡς δὲ ἐπλήρου Ἰωάννης τὸν δρόμον, ἔλεγε, τίνα με
ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγὼ, ἀλλ' ἰδοὺ, ἔρχεται μετ'
ἐμὲ, οὗ οὐκ εἰμὶ ἱκανὸς τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι.

Τοῦ Χρυσοστόμου. Καὶ Ἰωάννης δὲ μαρτυρεῖ οὐχ ἁπλῶς, ἀλλὰ πάντων ἐπ' αὐτὸν ἀγόντων τὴν δόξαν, αὐτὸς αὐτὴν ἀποκρούεται· οὐ γάρ ἐστιν ἴσον, μηδενὸς διδόντος καὶ πολλῶν ὑπαρχόντων, ταυτὴν τὴν τιμὴν διωθεῖσθαι· καὶ μηδὲ ἁπλῶς ἀλλὰ μετὰ τοσαύτης ὑποστολῆς.

Κυρίλλου. Μόνης γὰρ καὶ ἰδικῶς ἔργον ἐστὶ τῆς πάντα ὑπερκειμένης οὐσίας, τὸ ἓν εἶναι δύνασθαι τισὶ τὸ Πνεῦμα τὸ Ἅγιον καὶ θείας φύσεως κοινωνοὺς ἀποφαίνειν, τοὺς προσιόντας αὐτῇ· ἐνυπάρχει δὲ τοῦτο οὐ κατὰ μετάληψιν καὶ μέθεξιν τὴν παρ᾽ ἑτέρου τινὸς, ἀλλ᾽ οἴκοθεν καὶ οὐσιωδῶς τῷ Χριστῷ· βαπτίζει γὰρ ἐν Ἁγίῳ Πνεύματι· Θεὸς οὖν ἄρα ἐστὶ καὶ καρπὸς τοῦ Θεοῦ, καὶ Πατρὸς ὁ ἐνανθρωπήσας Λόγος· ἀλλ᾽ ἕδρα τοῦτο, καὶ ὅτε γέγονεν ἄνθρωπος, ὡς εἷς ὢν Υἱὸς μετὰ τῆς ἀρρήτως τε καὶ ἀπερινοήτως ἑνωθείσης αὐτῷ σαρκός. καὶ γὰρ ὁ μακάριος βαπτιστὴς προειπὼν, "ὅτι οὐκ εἰμὶ ἄξιος ἵνα κύψας λύσω τὸν ἱμάντα τῶν ὑποδη- "μάτων αὐτοῦ," προσήνεγκεν εὐθύς· "οὗτος ὑμᾶς βαπτίσει ἐν "Πνεύματι Ἁγίῳ καὶ πυρί·" καὶ πόδας δηλονότι καὶ ὑποδήματα ἔχων· οὐ γάρ τοι φαίη τις ἂν, εἴγε νοῦν ἔχοι, ὡς ἄσαρκος ὢν ὁ Λόγος, καὶ οὔπω γενόμενος καθ᾽ ἡμᾶς, πόδας ἔχει καὶ ὑποδήματα, ἀλλ᾽ ὅτε γέγονεν ἄνθρωπος· ἐπειδὴ τὸ εἶναι Θεὸς οὐκ ἀπώλεσεν· ἐνήργηκε πάλιν καὶ οὕτω θεοπρεπῶς, τὸ Πνεῦμα διδοὺς τοῖς πιστεύουσιν εἰς αὐτόν· ἦν γὰρ ἐν ταυτῷ Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός.

Ὁ τὸ ὑπόδημα ὁμολογῶν οὐκ ἄξιος εἶναι λῦσαι, πῶς τῇ οὐσίᾳ συγκριθήσεται;

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος οὗτος τῆς σωτηρίας ἐξαπεστάλη.

Ἀπὸ τοῦ προπάτορος αὐτοὺς καλεῖ.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα τὸ ὑμῖν οὐκ Ἰουδαίοις· δίδωσι δὲ αὐτοῖς ἐξουσίαν ἀποσχισθῆναι τῶν τὸν φόνον τετολμηκότων· καὶ τὸ ἐπαγόμενον δηλοῖ.

27 Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν.

Τοῦ αὐτοῦ. Πανταχοῦ σπουδάζουσι δεῖξαι οἰκεῖον αὐτῷ ὂν τὸ ἀγαθὸν, ἵνα μὴ ὡς ἀλλοτρίῳ προσέχοντες φεύγωσιν· ἐπειδὴ ἐσταύρωσαν αὐτὸν, τοῦτό φησιν, "ἀγνοήσαντες·" ἀγνοίας ἦν τὸ

ἁμάρτημα· ὅρα πῶς καὶ ὑπὲρ ἐκείνων ἀπολογεῖται ἠρέμα· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ οὕτως ἔδει γενέσθαι.

Τοῦ Αὐτοῦ. *"Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἐξαπεστάλη·" τὴν εὐγένειαν ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκήν.*

Τοῖς τὸν ἕνα καὶ μόνον ἀσεβῶς τολμῶσι διαιρεῖν καὶ ἀνὰ μέρος ἱστᾶν τὸν Θεὸν Λόγον, ἀνὰ μέρος δὲ τὸν ἐκ Μαριὰς ἄνθρωπον· καὶ μὴ ὁμολογοῦσιν ἕνα καὶ τὸν αὐτὸν, καθὸ γέγονε σὰρξ ὁ Λόγος τῇ μετοχῇ τῆς σαρκὸς καὶ τοῦ αἵματος, ὁ Παῦλος ἐνταῦθα καιρίαν ἔδωκε τὴν πληγήν· λέγει γὰρ ὅτι ἀνῃρέθη ὁ Λόγος· καὶ ὅτι ἐτάφη ἐν μνημείῳ· καὶ ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν· ὅρας ὅτι ὅσον τὸ κατ' αὐτοὺς, οὐδὲ ὅλως πέπονθεν ὁ ἐκ Μαρίας παρ' αὐτοὺς τοῦ Θεοῦ Λόγου διαιρούμενος ἄνθρωπος· ἀλλ' ἡ ἁγία Ἐκκλησία οὐχ οὕτως ἔχει· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν οἶδε τὸν ἐκ Πατρὸς καὶ ἐκ παρθένου, τὸν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα· παθόντα καὶ ἀναστάντα· καὶ ἀνελθόντα εἰς οὐρανούς· καὶ καθήμενον ἐκ δεξιῶν τοῦ Πατρός· καὶ ἐρχόμενον ἐν τῇ δόξῃ τοῦ Πατρὸς κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· διό μοι δοκεῖ τοὺς μὴ οὕτως πιστεύοντας Ἰουδαΐζειν, κἂν δοκῶσι λέγεσθαι Χριστιανοί.

28 *Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν.*

Τοῦ Χρυσοστόμου. *Ὅρα πῶς αὐτοῖς περισπούδαστον τὸν τρόπον εἰπεῖν τοῦ θανάτου· καὶ Πίλατον εἰς μέσον φέρουσιν· ἅμα μὲν ἵνα δῆλον τὸ πάθος γένηται ἀπὸ τοῦ κριτηρίου, ἅμα δὲ ἵνα ἐκεῖνοι μειζόνως κατηγοροῦνται, ἀνδρὶ παραδόντες ἀλλοφύλῳ· καὶ οὐκ εἶπεν ἐνέτυχον, ἀλλ' "ᾐτήσαντο·" χάριν ἔλαβον φησὶν, ὡς ἐκείνου μὴ θέλοντος· ὅπερ σαφέστερον Πέτρος λέγει, "ἐκείνου κρίναντος "ἀπολύειν·" πάνυ ἐφίλει αὐτοὺς ὁ Παῦλος· καὶ ὅρα οὐκ ἐνδιατρίβει τῇ ἀγνωμοσύνῃ τῶν πατέρων, ἀλλ' αὐτοῖς ἐφίστησι τὸν φόνον· Καὶ μετ' ὀλίγα—Καὶ "μηδεμίαν αἰτίαν θανάτου εὑρόντες·" ὅπερ οὐκ ἦν ἀγνοίας· θῶμεν γὰρ ὅτι οὐχ ὡς Χριστὸν αὐτὸν εἶχον, τίνος ἕνεκεν καὶ ἀνῄρουν;*

29 *Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον.*

Τοῦ αὐτοῦ. Ὅρα πῶς σπουδαίως ἔδειξεν οἰκονομίας τὸ πρᾶγμα ὄν· ὅρα τί λέγοντες ἔπεισαν· ὅτι ἐσταυρώθη· τί τούτου ἀπιθανώτερον; ὅτι ἐτάφη παρ' αὐτῶν οἷς ἐπηγγέλλετο σωτηρία ἔσεσθαι· ὅτι ὁ ταφεὶς ἀφίησι ἁμαρτήματα, καὶ τοῦ νόμου μᾶλλον· καὶ οὐκ εἶπεν, ὧν οὐκ ἠβουλήθητε, ἀλλ' "οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωυσέως δικαιωθῆναι, πᾶς ὅς τις ἂν ᾖ," φησι· οὐδὲν γὰρ ὄφελος ἐκείνων· ἐὰν μή τις εὐεργεσία ᾖ· διὰ τοῦτο ὕστερον τίθησι τοῦτο τὴν ἄφεσιν· καὶ μείζονα δείκνυσιν, ὅταν ἀδυνάτου ὄντος γένηται.

30 Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ
31 ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλι-
λαίας εἰς Ἱερουσαλήμ.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Μάρωνα ἐπιστολῆς. Μὴ θορυβείτω δέ σε τὸ τὸν Ἰησοῦν ἐγηγέρθαι ὑπὸ τοῦ Θεοῦ λέγεσθαι· εἰ γὰρ Ἰησοῦς οὐκ ἄλλος ἐστὶν ἢ ὁ Λόγος ὁ σαρκωθεὶς, οὗτος δέ ἐστιν ἡ δύναμις τοῦ Πατρὸς, δι' ἧς ἅπαντα ἐνεργεῖ κατὰ τὸ, "Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία·" αὐτὸς ἑαυτὸν ἀναστακέναι νοηθήσεται, καὶ ἐγηγέρθαι λεγόμενος ὑπὸ τοῦ Πατρὸς, ἐφ' ὃν ὡς ἀρχὴν καὶ αἰτίαν ἄχρονον ἅπαντα ἀναφέρεται· ἐπεὶ καὶ αὐτός φησι· "λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν."

32 Οἵτινες εἰσὶ νῦν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. καὶ
ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας γενο-
μένην ἐπαγγελίαν, ὅτι ταύτην ὁ Θεὸς πεπλήρωκε τοῖς
τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. Οὐκ ἂν ὄντες εἰ μὴ θείᾳ δυνάμει ἐβεβαιοῦντο· οὐκ ἂν πρὸς ἀνθρώπους φονῶντας τοιαῦτα ἐμαρτύρησαν, πρὸς αὐτοὺς τοὺς ἀνελόντας.

Τὸ Ἰησοῦς ὄνομα ἐπὶ τοῦ ἀνθρώπου ἐκλαμβάνουσιν, οἱ τῶν θεοκτόνων ἀδελφοί· ἐπειδὴ ὁ προλαβὼν εἶπε τεθεῖσθαι τὸν Λόγον ἐν μνημείῳ· ἵνα μή τις ὑπολάβῃ ἄσαρκον αὐτὸν εἰρηκέναι τὸν Λόγον, πάλιν αὐτὸν Ἰησοῦν καλεῖ· οὐδαμοῦ διαίρεσιν διδοὺς τῷ σαρκωθέντι Θεῷ Λόγῳ μετὰ τὴν ἕνωσιν· πανταχοῦ τῶν ἀσεβῶν ἀποφράττων τὸ στόμα.

33 *Ὡς καὶ ἐν τῷ ψαλμῷ γέγραπται τῷ δευτέρῳ, Υἱός μου εἶ συ, ἐγὼ σήμερον γεγέννηκά σε.*

Ἰδοὺ τὸν ἐκ τοῦ Πατρὸς *γεννηθέντα τοῦτον εἴρηκεν ἐκ νεκρῶν ἀναστάντα.*

Κυρίλλου. Ὁ *μόνος εἰδὼς τὸν* Πατέρα, *καὶ ὑπὸ μόνου γινωσκόμενος τοῦ* Πατρὸς, *ἡ σοφία καὶ ὁ* Λόγος *αὐτοῦ, "ὁ τῆς μεγάλης βουλῆς* Ἄγγελος" *κατὰ τὴν τοῦ* Προφήτου *φωνήν, τῆς μετὰ σαρκὸς οἰκονομίας ἡμῖν τὸ μυστήριον εὖ μάλα διατρανοῖ·* Υἱὸς *γὰρ ὢν φύσει καὶ ἀληθῶς, καὶ ἐξ αὐτῆς ἀναλάμψας τῆς οὐσίας τοῦ* Θεοῦ *καὶ* Πατρὸς, *γέγονε σάρξ, τουτέστιν ἄνθρωπος, κατὰ τὴν* Ἰωάννου *φωνήν· καὶ κεχρημάτικεν ἀδελφὸς τῶν ἐπὶ τῆς γῆς, καὶ τὴν κατὰ σάρκα μεθ' ὑμῶν ὑπέστη γέννησιν· καίτοι προαιώνιος ὢν καὶ ἀεὶ συνυφεστηκὼς τῷ γεγεννηκότι, πλὴν εἰ καὶ γέγονε σάρξ.* Ἴδιον *ὄντα* Υἱὸν *οἶδεν αὐτὸν καὶ οὕτως ὁ* Πατήρ· *ἔφη γὰρ, ὅτι "*Υἱός *μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε·" ὁρᾷς ἐναργῆ τὴν ὁμολογίαν ἤγουν τὴν ἀνάρρησιν· τὸ μὲν γὰρ "εἶ" τέθεικεν, ἵνα δείξῃ τὸν προαιώνιον· οὐ γὰρ ἐν χρόνῳ γέγονεν· ἀλλ' ἦν ἀεὶ τοῦτο, τουτέστιν* Υἱός· *ἐπήνεγκε δὲ τὸ "σήμερον ἐγέννησά σε," ἵνα τὴν νεοτάτην αὐτοῦ καὶ κατὰ σαρκὰ δείξῃ γέννησιν, ἣν ὑπέμεινεν ἑκὼν διὰ τῆς ἁγίας παρθένου· ταύτῃ τοι καὶ θεότοκος ὠνόμασται.*

Ἡσυχίου πρεσβυτέρου. Ταῦτα *τῇ ἐνανθρωπήσει τοῦ* Χριστοῦ *πρέπει δήπου τὰ ῥήματα· ἥτις χρονικὴν εἶχε τὴν ἐπιφοίτησιν· τὸ γὰρ σήμερον καὶ αὔριον ἡμερῶν ἐστὶ παραστατικόν· ἀχρόνως γὰρ παρὰ τοῦ* Πατρὸς, *ὡς καὶ παῖδες αἱρετικῶν ὁμολογοῦσι, τίκτεται.*

34 *Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθορὰν, οὕτως εἴρηκεν, ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά.*

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Τιμόθεον ἀρχιεπίσκοπον Ἀλεξανδρείας ἐπιστολῆς. *Ψεύδεται γοῦν ὁ λέγων ὁμολογεῖν τὸ σῶμα τοῦ* Θεοῦ *καὶ* Σωτῆρος Χριστοῦ *παθητὸν, ἤτοι παθῶν δεκτικόν· καὶ κατὰ ταυτὸν λέγων αὐτὸ καὶ*

πρὸ τῆς ἀναστάσεως ἄφθαρτον, τουτέστιν ἀπαθὲς καὶ ἀθάνατον· τὴν γὰρ κατὰ τὸ ἀναμάρτητον ἀφθαρσίαν πρόδηλον ὡς εἶχεν ἐξ αὐτοῦ τοῦ καιροῦ τῆς σαρκώσεως.

35 Διὸ καὶ ἐν ἑτέρῳ λέγει, οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν
36 διαφθοράν· Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ
τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς
πατέρας αὐτοῦ.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Αἰδεσινοὺς[r] ἐπιστολῆς. *Ἀφθαρσίας χωρίον ἀπεργασαμένη τὸν τάφον· ἐξ αὐτοῦ γὰρ ἡμῖν ἐγερθεὶς ὁ Χριστὸς, ὡς ἀφθαρσίας ἀληθῶς ἡγεμὼν ἀνατέταλκεν, ἵνα καὶ ἡμεῖς ἐκ τῶν τάφων διαναστάντες κατὰ τὴν ἐλπιζομένην ἀνάστασιν, ἐν νεφέλαις αὐτῷ τὸ δεύτερον ἐρχομένῳ μετὰ δόξης εἰς ἀέρα προσαπαντήσωμεν.*

Ἡσυχίου πρεσβυτέρου. *Ὁ γὰρ Χριστὸς κατὰ τὸν καιρὸν τοῦ πάθους, καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸ σῶμα χωρὶς φθορᾶς ὡς Θεὸς διεφύλαξεν.*

37 Καὶ εἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν,
οὐκ εἶδε διαφθοράν.

Ὁ τὴν φύσιν φθαρτὸς ὢν καὶ πρὸ θανάτου ὁρᾷ ἑαυτὸν φθειρόμενον.

38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοὶ, ὅτι διὰ
39 τοῦτο ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται· καὶ ἀπὸ
πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωυσέως δικαιω-
θῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται.

Τοῦ Χρυσοστόμου. *Καὶ Πέτρος ἅτε ἀρχῆς οὔσης περὶ αὐτοῦ μνημονεύων ἔλεγεν· "ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ πατριάρ-"χου Δαβίδ·" καὶ οὐ λέγει ὅτι ἐτελεύτησεν, ἀλλὰ "προσετέθη "πρὸς τοὺς πατέρας αὐτοῦ." καὶ ὅρα πῶς οὐδαμοῦ τὰ κατορθώματα αὐτῶν τίθησιν, ἀλλ' εὐεργεσίας τοῦ Θεοῦ, ἐξελέξατο, ὕψωσεν, ἐτροποφόρησε· ταῦτα δὲ οὐκ ἐκείνων ἐγκώμια· ᾐτήσαντο, ἔδωκε· τὸν Δαβὶδ ἐγκωμιάζει μόνον, ἐπειδὴ ἐξ αὐτοῦ ὁ Χριστός.*

Τοῦ αὐτοῦ. *Τί μὴ ἐπήγαγε μαρτυρίαν δι' ἧς ἔμελλον πείθεσθαι ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γίνεται; ὅτι τὸ σπουδαζό-*

[r] Leg. Ἐδεσσηνούς.

μενον τοῦτο ἦν, δεῖξαι τέως ὅτι ἀνέστη· τοῦτο δὲ ὡμολογημένου· ἐκεῖνο ἀναμφισβήτητον ἦν. Καὶ μετ' ὀλίγα—Ὅρα πῶς πλέκει τὸν λόγον ἀπὸ τῶν παρόντων· ἀπὸ τῶν προφητῶν· ἀπὸ τοῦ σπέρματος τοῦ κατ' ἐπαγγελίαν· εἶτα τὸν Ἰωάννην ἐπάγει πάλιν· κρίναντες ἐπλήρωσαν πάντα τὰ γεγραμμένα· εἶτα μάρτυρας τοὺς Ἀποστόλους τῆς ἀναστάσεως· εἶτα τὸν Δαβὶδ μαρτυροῦντα· οὐδὲ γὰρ τὰ παλαιὰ ἰσχυρὰ καθ' ἑαυτὰ ἐδόκει εἶναι· οὕτως οὔτε ταῦτα ἄνευ ἐκείνων· ὥστε δι' ἑκατέρων πιστοῦται τὸν λόγον.

Ἀμμωνίου. *Σημειωτέον ὅτι ὁ εἰς τὸν Χριστὸν πιστεύων, καὶ δικαιοῦται καὶ ἄφεσιν ἁμαρτιῶν λαμβάνει· ὁ γὰρ νόμος Μωυσέως οὐκ ἄδικος ἀλλὰ σκληρὸς, καὶ δυνάμενος δὲ δικαιῶσαι τὸν ἀμέμπτως πάντα τὰ τοῦ νόμου τελέσαντα· διὸ ἀδύνατος εἰς κατόρθωσιν τοῖς ἀνθρώποις ἐφάνη, διὰ τὸ τὸν ἑνὶ πταίοντα γίνεσθαι πάντων ἔνοχον· οὐχ ὁ νόμος οὖν οὐκ ἠδύνατο δικαιῶσαι, ἀλλὰ τὸ ἀκατορθωτὸν αὐτοῦ ἀδυνάτους ἐποίει τοὺς ἀνθρώπους διὰ τῶν ἐντολῶν τοῦ νόμου δικαιωθῆναι· καθὼς καὶ τὸ ῥῆμα φησὶν, "ὧν οὐκ "ἠδυνήθητε ἐν νόμῳ Μωυσέως δικαιωθῆναι."*

40 Βλέπετε οὖν μὴ ἐπέλθῃ τὸ εἰρημένον ἐν τοῖς προ-
41 φήταις, Ἴδετε, οἱ καταφρονηταὶ, καὶ θαυμάσατε, καὶ
ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις
ὑμῶν,

Κυρίλλου. *Ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε· καὶ ὁ τραχὺ ὃν πῶς ὑποτέμνεται· μὴ ἐπέλθῃ, φησὶν, ἐφ' ὑμᾶς τὸ πρὸς τοὺς ἄλλους εἰρημένον.*

Τοῦ Χρυσοστόμου. *Κατακεκραγότες τῆς ἀδίκου κρίσεως τοῦ προφήτου Ἀββακοὺμ ἀποκρίνεται ὁ Θεὸς τοῖς ἀδικοῦσι, τὰς ἐσομένας συμφορὰς αὐτοῖς προαπαγγέλλων· θαυμάσια δὲ λέγει τὰ αὐτοῖς συμβήσεσθαι μέλλοντα· καὶ γὰρ ἦν πολλῆς ἐκπλήξεως ἄξιον, πῶς ὁ Ἰσραὴλ, ὁ ἐν τέκνοις κατηριθμημένος Θεοῦ καὶ πρωτότοκος ὠνομασμένος, καὶ δι' ὧν ἀπώλεσεν Αἴγυπτος, παραδέδοται τοῖς Βαβυλωνίοις· καὶ οὐ μόνον μαχαίρᾳ, ἀλλὰ γὰρ καὶ δουλείᾳ καὶ αἰχμαλωσίᾳ καὶ τοῖς ἀπευκτοῖς ἅπασι· ταῦτα δέ, φησι, τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθός ἐστιν, ὡς καὶ ἀπιστεῖσθαι εἴτις αὐτὰ ὑμῖν προαπαγγέλλοι.*

Θεοδότου[s] Ἀγκύρας. Ταῦτα μὲν προφανῶς δοκεῖ λέγειν ἱστορικῶς· ἡ δὲ τῶν ῥητῶν ἔννοιά ἐστι τοιαύτη· ἀπὸ τῆς τῶν κριτῶν ἀδικίας ἐπὶ καθολικὴν οἰκονομίαν ὁ προφήτης Ἀμβακοὺμ τὸν λόγον ἀπήγαγεν· ὡς τῶν οὕτως ἐχόντων πραγμάτων θαυμαστῆς δεομένων ἐπιμελείας, ἐκπληττούσης καὶ ἀφανιζούσης τοὺς καταφρονητάς· ποίαν δ᾽ ἂν εἴποιμεν θαυμαστὴν ἐπιμέλειαν, ἢ τὴν διὰ τῆς τοῦ Χριστοῦ οἰκονομίας καὶ ἐπιδημίας γενομένην· ἐν ᾗ προηγουμένως μὲν τοὺς χαλεποὺς ὑβριστὰς τῆς ἡμετέρας φύσεως δαίμονας ἠφάνισεν· ἐχαλίνωσε δὲ καὶ τὴν ἀδικίαν, ὅπως πληρωθῇ τὸ ἐν Ψαλμοῖς εἰρημένον "ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄν- "θρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου· κατάστησον, Κύριε, νομο- "θέτην ἐπ᾽ αὐτούς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποι εἰσίν."

Ἔργον, ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν.

Τοῦ αὐτοῦ. Μὴ θαυμάσητε ὅτι ἄπιστον δοκεῖ εἶναι· καὶ αὐτὸ προείρηται ἄνωθεν.

42 Ἐξιόντων δὲ αὐτῶν εἰς τὸ μεταξὺ σάββατον παρε-
43 κάλουν λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα. λυθείσης
δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων
καὶ τῶν σεβομένων προσηλύτων τῷ Παυλῷ καὶ τῷ
Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον αὐ-
44 τοὺς προσμένειν τῇ χάριτι τοῦ Θεοῦ· τῷ τε ἐρχομένῳ
σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν
λόγον τοῦ Κυρίου.

Ἀμμωνίου. "Εἰς τὸ μεταξὺ Σάββατον·" ἀντὶ τοῦ τὸ ἐσσόμενον, ὡς σαφηνίζει κάτω.

Τοῦ αὐτοῦ. Εἶδες τοῦ Παύλου τὴν σύνεσιν· οὐχὶ τότε ἐθαυμάσθη μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν αὐτοῖς δευτέρας ἐνέβαλεν ἀκροάσεως· εἰπὼν τινὰ σπέρματα, καὶ μὴ ἐπιλύσας, μηδὲ ἐπεξελθὼν τῷ λόγῳ, ὥστε αὐτοὺς ἀναρτῆσαι καὶ οἰκειῶσαι ἑαυτῷ, καὶ μὴ χαυνοτέρους ἐργάσασθαι τῷ πάντα ἀθρόον εἰς τὰς ἐκείνων ῥίψαι ψυχὰς, εἶπεν, "ὅτι ἄφεσις ἁμαρτιῶν ὑμῖν διὰ τούτου κατήγγελται·" τὸ δὲ πῶς οὐκ ἐδήλωσε· διατί αὐτοὺς οὐκ ἐβάπτισεν εὐθέως; οὐκ ἦν καιρός· πεῖσαι ἔδει ὥστε βεβαίως ἐμμένειν.

[s] Θεοδώρου Cod.

45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, βλασφημοῦντες.

Τοῦ Χρυσοστόμου. Ὅρα τὴν κακίαν πληττομένην ἐν τῷ πλήττειν ἑτέρους· τοῦτο μᾶλλον αὐτοὺς ἐποίει λαμπροὺς, τὸ ἀντιλέγειν ἐκείνους· τὸ πρῶτον αὐτόματοι παρεκάλεσαν.

Τοῦ αὐτοῦ. Διατί πρὸ τούτου οὐκ ἀντέλεγον; ὁρᾷς ὅτι πανταχοῦ πάθει ἐκινοῦντο, καὶ οὐκ ἀντέλεγον μόνον, ἀλλὰ καὶ ἐβλασφήμουν· καὶ γὰρ ἡ κακία οὐδαμοῦ ἵσταται.

Τοῦ αὐτοῦ. Τοσαύτη τῆς βασκανίας ἡ τυραννίς· πολλοὶ γὰρ τήκονται καὶ ἀπόλλυνται, ὅταν ἑτέρους εὐδοκιμοῦντας ἴδωσιν, ὅταν ἐκκλησίαν ὠφελουμένην ὁλόκληρον, ἢ λόγῳ ἢ ἑτέρῳ τινὶ τρόπῳ· οὗ τί χεῖρον γένοιτ' ἄν; οὐδὲ γὰρ τῷ ἀδελφῷ λοιπὸν, ἀλλὰ καὶ τῷ θελήματι τοῦ Θεοῦ οἱ τοιοῦτοι μάχονται.

* Περὶ μεταθέσεως τοῦ κηρύγματος εἰς τὰ ἔθνη, διωγμοῦ τε αὐτῶν ἐκεῖ καὶ ἀφίξεως εἰς Ἰκόνιον.

46 Παρρησιασάμενοί τε ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον,

Τοῦ αὐτοῦ. Ὁρᾷς πῶς φιλονεικήσαντες μᾶλλον ἐξέτειναν τὸ κήρυγμα, καὶ μᾶλλον ἔδωκαν ἑαυτοὺς εἰς τὰ ἔθνη· ἀπολογησάμενοι, καὶ ὑπευθύνους ἑαυτοὺς ποιήσαντες παρὰ τοῖς οἰκείοις· καὶ οὐκ εἶπεν, ἀνάξιοι ἐστὲ, ἀλλ' ἐκρίνατε ἑαυτοὺς ἀναξίους.

Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ·

Τοῦ αὐτοῦ. Διὰ τοῦτο ταῦτα λέγεται, ἵνα μὴ ὡς ἐκ παρέργου νομίσῃ τις τοῦτο γεγενῆσθαι.

Ἐπειδὴ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ, στρεφόμεθα εἰς τὰ ἔθνη.

Τοῦ αὐτοῦ. Οὐδὲν ὑβριστικὸν, ὃ δὴ καὶ ἐπὶ τῶν προφητῶν ἐποίουν· μὴ λαλεῖτε ἡμῖν, φησὶ, λαλίαν.

Τοῦ αὐτοῦ. Οὐχ ἡμᾶς· οὐ γὰρ εἰς ἡμᾶς ἡ ὕβρις ἡ παρ' ὑμῶν· ἵνα γὰρ μή τις εὐλαβείας εἶναι νομίσῃ, τὸ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς, διὰ τοῦτο πρῶτον εἶπεν "ἀπωθεῖσθε αὐτὸν," καὶ τότε

"στρεφόμεθα εἰς τὰ ἔθνη·" πολλῆς ἐπιεικείας γέμει τὸ ῥῆμα· οὐκ εἶπε καταλιμπάνομεν ὑμᾶς, ἀλλ' ὥστε δυνατὸν φησὶν, καὶ ἐνταῦθα πάλιν στραφῆναι· καὶ τοῦτο οὐκ ἀπὸ τῆς ὑμετέρας ὕβρεως γέγονεν· οὕτω γὰρ ἐντέταλται ἡμῖν· τί οὖν οὐκ ἐποιήσατε τοῦτο; ἔδει μὲν ἀκοῦσαι τὰ ἔθνη· καὶ τοῦτο οὐ πρὸ ὑμῶν· παρ' ὑμῶν δὲ γέγονε τὸ πρὸ ὑμῶν.

Ἀμμωνίου πρεσβυτέρου. "Καὶ οὐκ ἀξίους κρίνετε ἑαυτούς·" ὥστε οὖν ὁ Θεὸς οὐδὲν ἀνάξιον λέγει τοῦ σωθῆναι ἢ εἰς τὴν βασιλείαν αὐτοῦ εἰσελθεῖν, οὔτε τὸ ἐναντίον κρίνειν τὸν ἄνθρωπον ἄξιον εἶναι κολάσεως· ἀλλ' ἡμεῖς ἑαυτοὺς κρίνομεν κατὰ τὴν ἑκούσιον ἡμῶν κακίαν, ἀναξίους μὲν τῆς αἰωνίου ζωῆς, ἀξίους δὲ τῆς αἰωνίου κολάσεως· ὥστε οὖν ἐν ἡμῖν ἡ κρίσις, τό τε τῆς μελλούσης καταστάσεως κλήρωμα.

47 Οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος, τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

Τοῦ Χρυσοστόμου. Τουτέστιν εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ. καὶ οὐχ ἁπλῶς "ἔθνη," ἀλλὰ πάντων "ὅσοι ἦσαν τεταγμένοι εἰς "ζωὴν αἰώνιον" καὶ τοῦτο τεκμήριον τοῦ κατὰ Θεοῦ γνώμην αὐτοὺς προσλαβέσθαι· τεταγμένοι δὲ οὐ κατ' ἀνάγκην· οὓς προέγνω φησὶ καὶ προώρισεν.

Κυρίλλου. Ἐπέλαμψε τοίνυν τοῖς ἔθνεσιν ὁ Χριστὸς, καὶ φωτὸς θείου μεμεστωμένην ἀπέφηνε τὴν ὑπ' οὐρανὸν, καὶ καθαροῖς διανοίας ὄμμασι τὴν θείαν τὲ καὶ ἀνωτάτω περιαθρῆσαι φύσιν· καὶ τοὺς τῆς πνευματικῆς λατρείας καθιερῶσαι τρόπους.

Θεοδωρήτου. Γένος τοῦ Κυρίου κατὰ σάρκα κοινὸν μὲν, ἅπασα τῶν ἀνθρώπων ἡ φύσις, ἴδιον δὲ καὶ πελάζον ὁ Ἰσραήλ· ἐπειδὴ τοίνυν πρὸς μὲν τὸν Ἰσραὴλ παρεγένετο· τὰ δὲ ἔθνη διὰ τῶν Ἀποστόλων ἐφώτισε· δέδωκά σε, φησι, τούτοις διὰ τὴν πρὸς τοὺς αὐτῶν γεγενημένην ἐπαγγελίαν· φωτιῶ δὲ διὰ σοῦ τὰ ἔθνη, καὶ πᾶσιν ἀνθρώποις παρέξω τὴν σωτηρίαν· τοῦτο γὰρ σημαίνει τὸ "ἕως ἐσχάτου τῆς γῆς·" καὶ πέρας ἐπιθήσω ταῖς πρὸς τοὺς πατέρας αὐτῶν γεγενημέναις μοι συνθήκαις· τὴν γὰρ διαθήκην συνθήκην οἱ λοιποὶ ἡρμήνευσαν.

48 Ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον, καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου,

Τοῦ Χρυσοστόμου. Τοῦτο καὶ τούτους προθυμοτέρους ἐποίει· ὅταν ὀφειλόντων ἐκείνων ἀκοῦσαι πρότερον, αὐτοὶ τούτων ἀπολαύουσι· κἀκείνους μᾶλλον ἔδακνεν.

Καὶ ἐπίστευσαν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον.

Τοῦ αὐτοῦ. Τουτέστιν ἀφωρισμένοι τῷ Θεῷ· ὅρα πῶς δείκνυσι τὸ τάχος τῆς ὠφελείας.

Διδύμου. Ἐπεὶ τὸ "ἐπίστευσαν" προαιρετικὴν ἐνέργειαν δηλοῖ, καὶ οὐκ οὐσιώδη ὁρμὴν, πεπιστευκέναι τοὺς "ὅσοι ἦσαν τεταγμένοι," ἀνενεκτέον εἰς πρόγνωσιν Θεοῦ καὶ προορισμὸν, ἀλλ' οὐκ εἰς ὑπόστασιν οὐσιωδῶς κεκτημένην τοῦτο.

Ἐξ ἀνεπιγράφου. Προειρηκὼς τὸ "ἐπίστευσαν·" καὶ δεί[s] τὸ αὐτοπροαίρετον τῶν ἀνθρώπων, ἐπήγαγε τὸ "ὅσοι ἦσαν τεταγμένοι "εἰς ζωὴν αἰώνιον·" ἵνα ᾖ τὸ "τεταγμένοι" ἀπὸ τῆς πίστεως· πιστεύσαντες φησὶ, καὶ εἰς τοῦτο τὸ τάγμα ἐλθόντες.

Ἀμμωνίου. Ὥστε κατὰ μὲν πρόγνωσιν οἱ "τεταγμένοι εἰς ζωὴν," οὗτοι ἐπίστευσαν, πλὴν οἰκείᾳ γνώμῃ καὶ προαιρέσει· ἡ γὰρ τοῦ Θεοῦ πρόγνωσις οὐκ ἀναιρεῖ τῆς ἡμετέρας βουλήσεως τὸ αὐτεξούσιον· ὅπου πρὸ καταβολῆς κόσμου προορισθεὶς ὁ Παῦλος κατὰ τὴν τοῦ θείου πρόγνωσιν, σκεῦος ἐκλεκτὸν ἔσεσθαι, οὐκ ἐκ κοιλίας μητρὸς ἔτυχε τούτου, οὐδὲ ἐν νέᾳ ἡλικίᾳ, ἀλλὰ μετὰ προκοπὴν χρόνου, ὅτε εἶχεν ἑαυτοῦ γνῶσιν καλοῦ καὶ ἀγαθοῦ· καὶ κατὰ τὴν ἑαυτοῦ γνώμην πρῴην βλάσφημος ὢν καὶ διώκτης, ὕστερον διὰ τῆς τοῦ Ἰησοῦ χάριτος μετέγνω, φοβηθεὶς τὴν ἐν τῇ ὁδῷ ὀπτασίαν, καὶ ἑκὼν πιστεύσας τῷ Ἰησοῦ. εἰ δέ τις φησὶ διατί οὖν καὶ νῦν οὐ γίνεται φόβος τοῖς ἀπιστοῦσιν ἵνα μεταγνῶσιν, ἐκεῖνο λεκτέον· ὅτι οὐ πᾶς ἄνθρωπος ἐκφόβος μετανοεῖ· ἀλλ' ὁ ἀγαθῇ προαιρέσει ποιῶν θεοσεβεῖς πράξεις· ὑπὸ δὲ τῆς πατροπαραδότου πίστεως πλανώμενος παρὰ τὴν τοῦ ὄντως ἀληθοῦς γνῶσιν· οἷος ἦν Κορνήλιος, καὶ Παῦλος, καὶ Κλήμης· οἵτινες ἀφιλονείκως πιστεύ-

[s] Sic. Fors. leg. δείξας.

σαντες τῇ ἀληθῇ τῶν γραφῶν διδασκαλίᾳ ἐσώθησαν· καὶ ταῦτα ὄντες ἐκ τῆς ἔξωθεν παιδείας.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας.

Τοῦ Χρυσοστόμου. Ἀντὶ τοῦ διεκομίζετο, ἀντὶ τοῦ οὐκ ἔστησαν μέχρι τοῦ ζήλου, ἀλλὰ καὶ ἔργα προσέθηκαν· ὅρα πάλιν διωκόμενοι πῶς ἕτερα κατασκευάζουσι μεγάλα· διὰ τοῦ ζήλου κατεσκεύαζον παρρησιάσασθαι αὐτοὺς καὶ εἰς τὰ ἔθνη ἐλθεῖν.

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν.

Τοῦ αὐτοῦ. Ὁρᾷς ὅσον ἤνυσαν ἐναντιούμενοι τῷ κηρύγματι· εἰς ὅσην αἰσχύνην τὰς γυναῖκας ἤγαγον.

Ἀμμωνίου. "Εὐσχήμονας" λέγει τὰς πλουσίας· "σεβομένας" δὲ οὐ τὰς πιστὰς λέγει, ἀλλὰ τὰς Ἑλληνίδας ἤτοι Ἰουδαίας· πλὴν ὡς κάκιστοι καὶ μιμηταὶ τοῦ ἀρχεκάκου δαίμονος καὶ παραβάτου, διὰ τῶν γυναικῶν ἀποκλεῖσαι σπουδάζουσι τοῖς ἀνθρώποις τὴν ὁδὸν τῆς σωτηρίας· ὥσπερ κἀκεῖνος διὰ τῆς Εὔας ἀπέκλεισε πρὸς καιρὸν τοῖς ἀνθρώποις τὸν παράδεισον, ὃν ὁ Θεὸς Ἰησοῦς ἀνέῳξε πάλιν τοῖς πιστεύουσιν ἐπὶ τὸ ὄνομα αὐτοῦ, καὶ εἰσήγαγεν αὐτοὺς ἐκεῖ· ὧν πρῶτος εἰσῆλθε σὺν αὐτῷ ὁ λῃστής.

51 Οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν ἐπ' αὐτοὺς ἦλθον εἰς Ἰκόνιον.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα τὸ φοβερὸν λοιπὸν ἐποίουν, ὅπερ προσέταξεν ὁ Χριστός· "ἐὰν μή τις ὑμᾶς δέξηται, ἐκτινάξατε "τὸν κονιορτὸν τῶν ποδῶν." αὐτοὶ δὲ οὐχ ἁπλῶς τοῦτο ἐποίησαν· ἀλλ' ἐπειδὴ ἀπηλάθησαν παρ' αὐτῶν. Καὶ πάλιν—ὃ γὰρ δοκεῖ εἶναι ἀτιμίας τὸ πάντοθεν ἐλαύνεσθαι, τοῦτο τιμῆς ἡμῖν εἶναι φαίνεται μεγίστης πρόξενον.

52 Οἵ τε μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος Ἁγίου.

Τοῦ Χρυσοστόμου. Ἐδιώκοντο οἱ διδάσκαλοι, καὶ αὐτοὶ ἔχαιρον· εἶδες φύσιν εὐαγγελίου δύναμιν ἔχοντος πολλήν. Καὶ

πάλιν—Πάθος γὰρ διδασκάλου παρρησίαν οὐκ ἐκκόπτει, προθυμότερον δὲ ποιεῖ τὸν μαθητήν.

ΚΕΦ. ΚΑ.

Ὅπως ἐν Ἰκονίῳ κηρύξαντες τὸν Χριστὸν, πολλῶν τε πιστευσάντων ἐδιώχθησαν οἱ Ἀπόστολοι.

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος.

Τοῦ αὐτοῦ. Πάλιν εἰς τὰς συναγωγὰς εἰσήεσαν· ὅρα πῶς οὐκ ἐγένοντο δειλότεροι, εἴποντες, "ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη." ἐκ πολλῆς τῆς περιουσίας ὁμῶς ἀναιροῦσιν αὐτῶν τὴν ἀπολογίαν, "ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος·" εἰκὸς γὰρ αὐτοὺς ὡς καὶ πρὸς Ἕλληνας διαλέγεσθαι.

2 Οἱ δὲ ἀπειθήσαντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν.

Τοῦ Χρυσοστόμου. Κατὰ τὸ αὐτὸ λοιπὸν καὶ τὰ ἔθνη ἐπήγειραν ὡς οὐκ ἀρκοῦντες αὐτοί· τί οὖν ἐκεῖθεν οὐκ ἐξῆλθον; οὐ γὰρ ἐδιώκοντο, ἀλλ' ἐπολεμοῦντο μόνον.

Τοῦ αὐτοῦ. Τουτέστι διέβαλλον τοὺς Ἀποστόλους· μυρία αὐτῶν κατηγόρησαν· ἀπλάστους ὄντας κακούργως διέθηκαν.

Ἀμμωνίου. Ἐπήγειραν κατὰ τῶν πιστῶν· οἱ Ἰουδαῖοι συνδυάζουσι[t] μετὰ Ἑλλήνων, ἵνα καὶ ἐν τούτῳ πληρωθῇ τὸ εἰρημένον ἐν Ψαλμοῖς· "ἱνατί τι ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;" καίτοι τῶν πιστῶν ἀδελφοὺς αὐτοὺς καλούντων πανταχοῦ ἐν ταῖς παραινέσεσι, καὶ λεγόντων "ἄνδρες ἀδελφοί·" οὕτω γὰρ καὶ ὁ Ψαλμὸς προεφήτευσε περὶ τοῦ Κυρίου, τὸ αὐτὸ ποιοῦντος καὶ λέγοντος ὡς ἐκ προσώπου τοῦ Χριστοῦ Ἰησοῦ· "ἀπαγγελῶ τὸ "ὄνομά σου τοῖς ἀδελφοῖς μου."

3 Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν.

[t] συνδιάζουσι Cod.

Τοῦ Χρυσοστόμου. Τοῦτο ἐποίει τὴν παρρησίαν· μᾶλλον δὲ τὴν παρρησίαν ἐποίει ἡ αὐτῶν προθυμία· διὰ τοῦτο μέχρι πολλοῦ σημεῖα οὐ ποιοῦσι· τὸ δὲ πιστεῦσαι τοὺς ἀκούοντας τῶν σημείων ἦν· συντελεῖ δέ τι καὶ ἡ παρρησία. ὅρα δὲ πῶς ἀπανταχοῦ τῷ Θεῷ ἀνατιθέασι τὸ πᾶν.

4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν
σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς Ἀποστόλοις.

Τοῦ Χρυσοστόμου. Οὐ μικρὸν τοῦτο σχισθῆναι· τοῦτο ἦν ὃ ἔλεγεν ὁ Χριστὸς, "οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν."

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν
τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτοὺς,
6 συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας,
7 Λύστραν καὶ Δέρβην καὶ τὴν περίχωρον, κἀκεῖ ἦσαν
εὐαγγελιζόμενοι.

Τοῦ αὐτοῦ. Πάλιν ὥσπερ ἐπίτηδες ἐκτεῖναι βουλόμενοι τὸ κήρυγμα, μετὰ τὸ αὐξηθῆναι πάλιν αὐτοὺς ἐξάγουσιν· ὅρα πανταχοῦ τοὺς διωγμοὺς μεγάλα ἐργαζομένους ἀγαθὰ, καὶ τοὺς διώκοντας ἡττῶντας, τούς τε διωκομένους λαμπροτέρους ἀποφαίνοντας· ἐλθὼν γὰρ ἐν Λύστροις ποιεῖ θαῦμα μέγα, τὸν χωλὸν ἀναστήσας, καὶ "μεγάλῃ τῇ φωνῇ."

Ἀμμωνίου πρεσβυτέρου. Οὐδὲν οὖν ἄτοπον εἰ οἱ ἅγιοι φεύγουσι τοὺς ἐπιβουλεύειν αὐτοὺς μέλλοντας· καὶ οὐ δοκοῦσιν ἐκ τούτου δραπετεύειν τὸν ἀπὸ τοῦ μαρτυρίου πόλεμον ἐνβάσανον[u]. τοῦτο δέ μοι σεσημείωται διὰ τοὺς μεμψαμένους Ἀρειανοὺς τὸν μέγαν Ἀθανάσιον ἐν τῇ πίστει φεύγοντα, καὶ μὴ ἐκδιδόντα ἑαυτὸν τοῖς Ἀρειανοῖς εἰς τὸ θανατῶσαι αὐτόν.

ΚΕΦ. ΚΒ.

Περὶ τοῦ ἐν Λύστροις ἐκ γενετῆς χωλοῦ ἰαθέντος διὰ τῶν Ἀποστόλων· διόπερ εἶναί τε θεοὶ καὶ παρεῖναι[x] ἔδοξαν τοῖς ἐγχωρίοις. ἔνθα δὴ καὶ μετέπειτα λιθάζεται ὁ Παῦλος παρὰ τῶν ἀστυγειτόνων[y].

8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκά-
θητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ. ὃς οὐδέποτε
9 περιεπάτησεν. οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς
ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι ἔχει πίστιν τοῦ σωθῆναι,

[u] Sic. [x] μανῆναι Œcum. [y] ἀστυγ. Ἰουδαίων Œcum.

10 εἶπε μεγάλῃ τῇ φωνῇ· σοὶ λέγω ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ· ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός.

Τοῦ Χρυσοστόμου. *Διατί "μεγάλῃ τῇ φωνῇ;" ὥστε τοὺς ὄχλους πιστεῦσαι. ὅρα δὲ προσεῖχε, φησὶ, τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. εἶδες φιλοσοφίαν; οὐδὲν ἀπὸ τῆς χωλίας πρὸς τὴν σχολὴν τῆς ἀκροάσεως παρεβλάβη· "ὃς ἀτενίσας αὐτῷ," φησὶ, "καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι·" ᾔδει, ᾠκειοῦτο τῇ προαιρέσει· καίτοι ἐπὶ τῶν ἄλλων τοὐναντίον γέγονε· πρότερον ἰώμενοι τὰ σώματα, τότε τὰς ψυχὰς ἐθεραπεύοντο· οὗτος δὲ οὐχ οὕτως. ἐμοὶ δοκεῖ εἰς τὴν ψυχὴν τὴν αὐτοῦ ἰδεῖν τὸν Παῦλον.*

Ἡ τοῦ ἰωμένου πίστις σὺν τῇ τοῦ δικαίου εὐχῇ ἀνύει τὸ σπουδαζόμενον. σημειωτέον δὲ ὅτι ὁ πνευματικὸς ἄνθρωπος, ὡς θεῖον ἔχων ἐν ἑαυτῷ πνεῦμα, ὁρᾷ τὰ ἐν καρδίᾳ, διὰ τοῦ ἐνοικοῦντος ἐν ἑαυτῷ Πνεύματος φωταγωγούμενος.

Καὶ ἥλατο καὶ περιεπάτει.

Τοῦ Χρυσοστόμου. *Τεκμήριον τῆς ὑγείας τῆς ἀληθοῦς τὸ ἅλλεσθαι.*

11 Οἵ τε ὄχλοι ἰδόντες ὃ ἐποίησε Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαονιστὶ λέγοντες,

Τοῦ αὐτοῦ. *Ἀλλ' οὐκ ἦν τοῦτο οὐδέπω δῆλον· τῇ γὰρ οἰκείᾳ ἐφθέγγοντο φωνῇ, "λέγοντες ὅτι οἱ Θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς." διὰ τοῦτο οὐδὲν αὐτοῖς ἔλεγον· ἐπειδὴ δὲ ἰδόντες τὰ στέμματα, τότε ἐξελθόντες διέρρηξαν τὰ ἱμάτια αὐτῶν. Καὶ μετ' ὀλίγα—Ὅρα καὶ τῶν ἐθνῶν τὴν ἀφέλειαν καὶ τῶν Ἰουδαίων τὴν κακουργίαν· δι' ἔργων ἀπεδείκνυντο ὅτι ἄξιοι ἦσαν ἀκούειν· οὕτως ἐτίμων αὐτοὺς ἀπὸ σημείων μόνων· οἱ μὲν ὡς θεοὺς ἐτίμων, οἱ δὲ ὡς λυμεῶνας ἐδίωκον, καὶ οὐ προσέκοπτον τῷ κηρύγματι· ἀλλὰ τί φασιν; "οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς·" Ἰουδαῖοι δὲ ἐσκανδαλίζοντο· ἐπειδὴ οὐκ ὠνόμασε καὶ εἶπεν, ἐν τῷ ὀνόματι Ἰησοῦ ἔγειρε καὶ στῆθι ὀρθὸς, διὰ τοῦτο ὑπέλαβον αὐτὸν θεὸν εἶναι καὶ οὐ διάκονον θεοῦ· ἦν δὲ πρῶτον τὸν λόγον κηρύσσων αὐτῷ, καὶ τότε εἶπεν ἀνάστηθι· διὰ τοῦτο ἐπανορθοῦται αὐτῷ λέγων· "καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄνθρωποι," καὶ τὰ ἑξῆς.*

Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς·
12 ἐκάλουν τε τὸν Βαρνάβαν, Δία, τὸν δὲ Παῦλον, Ἑρμῆν,

Τοῦ Χρυσοστόμου. Ἐμοὶ δοκεῖ ἀπὸ τῆς ὄψεως ἀξιοπρεπὴς εἶναι ὁ Βαρνάβας. οὐ μικρὸς οὗτος πειρασμὸς ἐξ ἀμετρίας· ἀλλὰ καὶ ἐντεῦθεν τῶν Ἀποστόλων ἡ ἀρετὴ δείκνυται, πῶς πανταχοῦ πάντα ἀνατίθεασι τῷ Θεῷ.

Τοῦ αὐτοῦ. Εἶδες πῶς ἔθος τοῖς Ἕλλησιν ἀπὸ ἀνθρώπων θεοὺς ποιεῖν· ὥστε ὅταν λέγουσι, πόθεν ἡ εἰδωλολατρία; μάνθανε τὴν ἀρχήν· οὕτω καὶ τοὺς Ἀποστόλους ἐξ ἀνθρώπων ἐποίουν θεούς· οὕτω καὶ ὁ διάβολος ἐφιλονείκησε παρὰ τὴν ἀρχὴν τὴν ἀσέβειαν εἰσαγεῖν, λέγων, "ἔσεσθε ὡς θεοί." καὶ ἐπειδὴ τότε οὐκ ἴσχυσεν, ὕστερον ἐπιχειρεῖ πανταχοῦ φιλονεικῶν τὴν πολυθεΐαν εἰσαγαγεῖν.

Ἀμμωνίου. Ἐν τοῖς ἀναγραψαμένοις τὰς παλαιὰς ἱστορίας εὑρίσκεις, ὅτι ὁ Ζεὺς ἄνθρωπος ὢν ἑαυτὸν ἐθεοποίησε, λέγων ἑαυτὸν εἶναι θεόν· ὡς καὶ πολλοὶ τῶν Ῥωμαίων βασιλεῖς καὶ Μακεδόνων ἐχρηματίζον θεοί· διὸ οὐ χρὴ ἀπιστεῖν τοῖς πάλαι λεχθεῖσι περὶ τούτου, ὅτι ἠπατήθησαν τινὲς καὶ ὠνόμασαν τινὰς θεούς· ὅπου γε καὶ οὗτοι ἠπατήθησαν εἰς τὸν Βαρνάβαν καὶ Παῦλον· καὶ ὀπίσω δέ ἐστι τοῦτο σημειώσασθαι ἐπὶ Σίμωνος τοῦ μάγου, ὃν ἐν τῇ Σαμαρείᾳ ἔλεγον τὴν τοῦ Θεοῦ δύναμιν τὴν μεγάλην· οὓς ἐπιστομίζοντες, ἅμα δὲ καὶ ἠρέμα διδάσκοντες, οἱ περὶ Βαρνάβαν ἔλεγον, "Θεὸν οὐδεὶς ἑώρακε πώποτε·" ὃ οὖν φαινόμεθα καὶ ψηλαφώμεθα, οὐκ ἐσμὲν θεοὶ ἀλλὰ ἄνθρωποι· μόνον δὲ ἐπὶ τοῦ Ἰησοῦ τοῦτο γέγονεν· ὃς ἦν Θεὸς καὶ ἄνθρωπος ἐν ταυτῷ, κατὰ τὸν τῆς ἑνώσεως λόγον· ὧδε δὲ ψιλοὶ ἦσαν ἄνθρωποι, διὰ Πνεύματος θείου τερατουργοῦντες.

13 Ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. ὅ τε ἱερεὺς
τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως, ταύρους καὶ στέμ-
ματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε
θύειν.

Τοῦ Χρυσοστόμου εἰς τὴν πρὸς Ῥωμαίους ἑρμηνείαν λόγος α΄. Εἰ γάρ που δημηγορίας ἦν καιρὸς, αὐτῷ πανταχοῦ παρεχώρουν· διὸ καὶ Ἑρμῆς εἶναι ἐνομίζετο παρὰ τοῖς ἀπιστοῖς, διὰ τὸ τοῦ λόγου κατάρχειν.

14 Ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος διαρρήξαντες τὰ ἱμάτια ἑαυτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες καὶ λέγοντες,

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτοὺς πανταχοῦ δόξης καθαρούς· οὐ μόνον μὴ ἐφιεμένους, ἀλλὰ καὶ διδομένην ἀποκρουομένους· ὥσπερ καὶ Πέτρος ἔλεγε, “τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ “εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν·” καὶ οὗτοι τὸ αὐτὸ φησί. Καὶ μετ' ὀλίγα—Ὅρα πάντα μετὰ σφοδρότητος τοὺς Ἀποστόλους ποιοῦντας· διέρρηξαν τὰ ἱμάτια· ἐξεπήδησαν· ἔκραξαν· πάντα ἀπὸ διαθέσεως ψυχῆς ἀποστρεφομένης τὰ γενόμενα. πένθος γὰρ ἦν οὕτως· πένθος ἀπαραμύθητον· εἴγε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρίαν εἰσάγειν, ἣν ἦλθον καταλῦσαι· καὶ τοῦτο τοῦ διαβόλου ἦν κατασκεύασμα, ἀλλ' οὐκ ἴσχυσε. Καὶ πάλιν—Πρώτῃ ὄψει κατέπληξαν αὐτοὺς, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν· τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίησεν ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι· τοῦτο καὶ τῆς εὐσταθείας αὐτῶν· οὐκ ἂν ἄλλως ἔπαυον τὴν τοσαύτην ὁρμήν· οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. ὅταν οὖν τι δέῃ τῶν δεόντων γενέσθαι, μηδὲν παραιτώμεθα· εἰ γὰρ καὶ μετὰ ταῦτα καὶ μόλις ἔπεισαν· εἰ μὴ οὕτως εἰργάσαντο, τί οὖν ἂν ἐγένετο; εἰ μὴ γὰρ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἂν ταπεινοφρονεῖν, καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς.

Κυρίλλου. Ἔθος ἐστὶν Ἰουδαίοις ἐπὶ ταῖς κατὰ Θεοῦ δυσφημίαις περιρήγνυναι τὰ ἱμάτια. καὶ γοῦν ὁ Καϊάφας, Υἱὸν ἑαυτὸν τοῦ Θεοῦ λέγοντος τοῦ Χριστοῦ, περιέρρηξε τὴν ἐσθῆτα, διακεκραγώς τε καὶ λέγων, “ἐδυσφήμησε.” δεδράκασι δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταὶ Παῦλός τε καὶ Βάρναβας. γεγόνασι μὲν ἐν Λυκαονίᾳ· ἐπειδὴ δέ τινα τῶν ἠρρωστηκότων τοῦ πάθους ἀπήλλαττον, καὶ παράδοξον ἦν τοῖς ὁρῶσι τὸ χρῆμα, θύειν ἤθελον αὐτοῖς τῆς θεοσημείας οἱ θεωροί· ἔφασκον γὰρ “οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις ἦλθον “πρὸς ἡμᾶς· ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον “Ἑρμῆν, ὅτι αὐτὸς ἦν,” φησὶν, “ὁ ἡγούμενος τοῦ λόγου·” ἐπειδὴ δὲ τὸ δρώμενον δυσφημία τις ἦν, διέρρηξαν τὰ ἱμάτια ἑαυτῶν, παραδόσεσι Ἰουδαϊκαῖς καὶ ἐγγράφοις ἔθεσιν ἀκολουθοῦντες· ἔτι διαβέβληται τὸ ἔθος, ὡς οὐκ ὂν ἐκ νόμου καὶ ἀνόνητον παντελῶς· καὶ

γοῦν ἔφη πρὸς Ἰουδαίους ὁ τῶν ὅλων Θεὸς, πλαττομένους τὰ τοιάδε, καὶ τῆς ἀληθοῦς εὐσεβείας ἀποφοιτῶντας μακράν· " ἐπιστρέψατε " πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, ἐν νηστείᾳ καὶ κλαυθμῷ καὶ " ἐν κοπετῷ· καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια " ὑμῶν."

15 Ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ Θεὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Τοῦ Χρυσοστόμου. *Ἄνθρωποι μὲν ἐσμὲν, φησὶ, τούτων δὲ μείζους· ταῦτα γὰρ νεκρά. ὅρα αὐτοὺς οὐκ ἀνατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας· οὐδὲν περὶ ἀοράτων φθεγγομένους.*

16 Ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς, εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν·

Τοῦ αὐτοῦ. *Διατί δὲ εἴασεν, οὐκέτι φησί· τέως γὰρ πρὸς τὸ κατεπεῖγον ἵσταται· οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς.*

Σευήρου ἐκ τῆς πρὸς Ἀμμώνιον ἐπιστολῆς. *Καὶ γὰρ οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ὁ Θεὸς ἐν ἑκαστῇ γενεᾷ, τὰ ποδηγοῦντα τοὺς ἀνθρώπους πρὸς δικαιοσύνην ἐπιτελῶν· τὸ γὰρ αὐτεξούσιον οὐ βιαζόμενος, εἴασεν πάντας ἀνθρώπους πορεύεσθαι κατὰ τὸ σφίσι δοκοῦν· αὐτὸς δὲ ἐκεῖνα διαπαντὸς ἐνήργει τὰ δι' ὧν ἐνῆν λογικοὺς ὄντας αὐτοὺς τὸν δημιουργὸν ἐννοεῖν.*

17 Καίτοιγε οὐκ ἀμάρτυρον ἀφῆκεν ἀγαθουργῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν.

Τοῦ Χρυσοστόμου. *Ὅρα οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἄγει ἢ αὐτοὺς ἐκείνους· ἔμαθον γὰρ ὅτι οὐχ οὕτως σπουδάζειν δεῖ ἄξιόν τι εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν ποιεῖται· καὶ μὴν εἰ τοῦτο ἐποίει, οὐκ εἴασεν, ἀλλ' ἔδει κολασθῆναι αὐτούς· ἀλλ' οὐ λέγει τοῦτο φανερῶς. Καὶ μετ' ὀλίγα—Μάρτυρας αὐτοὺς λέγει τοὺς ἐνιαυσιαίους ὑετούς· ὢ τῆς μανίας τῆς Ἰουδαϊκῆς· εἰς δῆμον οὕτω τιμήσαντα τοὺς Ἀποστό-*

λους ἐτόλμησαν ἐμβῆναι, καὶ λιθάσαι τὸν Παῦλον· καὶ ἔξω τῆς πόλεως, δεδοικότες ἐκείνους, ὢ τῆς μανίας, ἔσυρον, νομίσαντες αὐτὸν τεθνάναι.

18 Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους
τοῦ μὴ θύειν αὐτοῖς, ἀλλὰ πορεύεσθαι ἕκαστον εἰς τὰ
ἴδια·

Τοῦ Χρυσοστόμου. Καὶ τούτῳ μάλιστα ἐθαυμάσθησαν· ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε ἀνάτρεψαι τὴν μανίαν ἐκείνην.

Ἀμμωνίου. Ὅρα τὸ ἄτυφον καὶ ἀκενόδοξον τῶν ἁγίων· ὅτι οὔτε θεοὶ ἠξιώθησαν κληθῆναι τῶν ἐθνῶν, ἀλλ' ἑαυτοὺς ἐταπείνουν λέγοντες, "καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν ἄνθρωποι·" διὰ τῆς ταπεινοφροσύνης ὑψοῦντες ἑαυτούς.

19 Διατριβόντων δὲ αὐτῶν καὶ διδασκόντων, ἐπῆλθον οἱ
ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ διαλεγομένων
αὐτῶν παρρησίᾳ, ἀνέπεισαν τοὺς ὄχλους, ἀποστῆναι ἀπ'
αὐτῶν· λέγοντες, ὅτι οὐδὲν ἀληθὲς λέγουσιν, ἀλλὰ
πάντα ψεύδονται.

Τοῦ Χρυσοστόμου. Ὄντως διαβόλου τέκνα, οὐκ ἐν ταῖς πόλεσι μόνον, ἀλλὰ καὶ ἔξω τούτων ταῦτα ποιοῦντες· καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ Ἀπόστολοι στῆσαι ἠπείγοντο.

Καὶ λιθοβολήσαντες τὸν Παῦλον ἔσυρον ἔξω τῆς
πόλεως, νομίσαντες αὐτὸν τεθνηκέναι.

Τοῦ αὐτοῦ. Ἐνταῦθα πληροῦται τὸ "ἀρκεῖ σοι ἡ χάρις μου· "ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται·" μεῖζον τοῦτο τοῦ τὸν χωλὸν ἐγεῖραι· οἱ μὲν οὖν ἐθνικοὶ ὡς θεοὺς ἐνόμιζον, οὗτοι δὲ ἔσυρον.

20 Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτὸν, ἀναστὰς εἰσ-
ῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ
21 Βαρνάβᾳ εἰς Δέρβην. εὐαγγελισάμενοί τε τὴν πόλιν
ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς τὴν
Λύστραν, καὶ εἰς Ἰκόνιον, καὶ εἰς Ἀντιόχειαν·

Τοῦ αὐτοῦ. Ὁρᾷς προθυμίαν· ὁρᾷς ζέοντα καὶ πεπυρώμενον·

εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν· ὥστε δειχθῆναι ὅτι εἶπον καὶ ὑπεχώρει, διὰ τὸ τὸν λόγον κατεσπαρκέναι, καὶ διὰ τὸ μὴ δεῖν ἐκκαίειν αὐτῶν τὸν θυμὸν, ταῦτα τῶν σημείων οὐχ ἧττονα λαμπροτέρους ἐποίει, καὶ μᾶλλον χαίρειν παρεσκεύαζεν. οὐδαμοῦ δὲ λέγει ὅτι ὑπέστρεψαν[u], χαίροντες ὅτι σημεῖα ἐποίησαν, ἀλλ' ὅτι ἠξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι· καὶ τοῦτο παρὰ τοῦ Χριστοῦ ἐδιδάσκοντο λέγοντος, "μὴ χαίρετε ὅτι τὰ δαιμόνια "ὑμῖν ὑπακούει·" ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστὶ τὸ πάσχειν τι διὰ τὸν Χριστόν.

22 **Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ, ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.**

Τοῦ Χρυσοστόμου. Τοῦτο ἔλεγον· τοῦτο ἐδείκνυον· ἐπιτηδείως δὲ γίνεται οὐ διὰ τῶν Ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν μαθητῶν, ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς τοιαῦτα δεῖ πάσχειν· ἵνα γενναίως στῶσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς.

Ἀμμωνίου. Ὅρα ὅτι ἄνευ κόπου καὶ μόχθου πολλοῦ οὐ δικαιοῦταί τις· στενὴν γὰρ διὰ τοῦτο καὶ τεθλιμμένην, ἀντὶ τοῦ θλίψεως μεστὴν, ἐκάλεσεν ὁ Κύριος τὴν πύλην τῆς εἰσόδου τῆς εἰς βασιλείαν ἀγούσης· οὐχ ἁπλῶς δὲ οἱαδήποτε θλίψις ἄγει εἰς βασιλείαν, ἀλλ' ἡ διὰ τὴν εἰς Θεὸν πίστιν. ὅρα γὰρ πῶς οἱ μαθηταὶ ἐν πρώτοις παρήγγελλον ἐπιμένειν τῇ εἰς Χριστὸν πίστει, ἧς ἄνευ σωθῆναι ἀδύνατον, κἂν διὰ πολλῶν τις θλίψεων παρέλθῃ. εἰ γὰρ τοῦτο ἦν, πᾶς ἄνθρωπος σχεδὸν εἰπεῖν ἐδικαιοῦτο· ὅτι τὸ πλεῖστον τῆς ζωῆς αὐτοῦ κόπος καὶ πόνος· καὶ ὡς ἐπὶ τὸ πολὺ πᾶσα ψυχὴ εἰς πόνον, καὶ πᾶσα κεφαλὴ εἰς λύπην· ἀδύνατον γὰρ μὴ λυπεῖσθαι ἄνθρωπον, ἢ διὰ τὰ μάταια τοῦ κόσμου, ἢ διὰ τὸν Θεόν· ἀλλὰ τὴν μὲν τοῦ βίου λύπην, διαδέχεται δάκρυον ἀκατάπαυστον· τὴν δὲ κατὰ Θεὸν, εὐφροσύνη καὶ χαρά· ὅπουγε καὶ ἐν τῷ νῦν βίῳ ἀρραβῶνα τῆς τοιαύτης δωρεᾶς λαμβάνοντες, ἀνεκδιήγητον χαρὰν ἔχουσιν οἱ οὕτως λυπούμενοι· καὶ νῦν τὰ

[u] ὑπέστρεψε Cod.

σπέρματα ἐν κλαυθμῷ καταβάλλοντες, τοὺς καρποὺς ἐν ἀγαλλιάσει μετὰ τὴν ἔνθεν ἐκδημίαν ἀπολαμβάνουσιν· αὕτη ἐστὶν ἡ ἔντρομος ἀγαλλίασις, ἡ κατὰ τὸν τοῦ Θεοῦ φόβον γινομένη τῇ ψυχῇ.

23 Χειροτονήσαντες δὲ αὐτοῖς κατ' ἐκκλησίαν πρεσβυτέρους, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν.

Τοῦ Χρυσοστόμου. Ἄλλη παραμυθία· καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς, καὶ μετὰ νηστειῶν αἱ χειροτονίαι· νηστεία τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν. διατί ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους, οὐδὲ ἐν Σαμαρείᾳ; ὅτι ἐκείνη μὲν ἐγγὺς ἦν τῆς Ἱερουσαλὴμ καὶ τῶν Ἀποστόλων· καὶ ἐν αὐτῇ δὲ Ἀντιοχείᾳ ὁ λόγος ἐκράτει· ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας· καὶ μάλιστα οἱ ἐξ ἐθνῶν ὀφείλοντες πολλὰ διδάσκεσθαι.

Ἀμμωνίου. Ὅρα ὅτι καὶ οἱ περὶ Παῦλον καὶ Βαρνάβαν ἐπισκόπων εἶχον ἀξίαν, ἐξ ὧν ἐχειροτόνουν οὐ μόνον διακόνους ἀλλὰ καὶ πρεσβυτέρους· καὶ ὀπίσω δὲ ἐσημειωσάμην, ὅτι μετὰ νηστειῶν καὶ εὐχῶν ἐποίουν οἱ μαθηταὶ τὰς χειροτονίας· σημείωσα δὲ καὶ τοῦτο, ὅτι εἰς Μίλητον ἐχειροτονήθησαν οἱ περὶ Βαρνάβαν καὶ Παῦλον· καὶ ἐξ αὐτῆς ἐξελθόντες, εὐηγγελίσαντο τὰς μέχρι τῆς Πισιδίας πόλεις, καὶ ὅσας ἄλλας ὁ λόγος ἐσήμανε τέως· ἄλλο δὲ ἀντίγραφον εὗρον ἔχον ἀντὶ Μιλήτου Ἀντιόχειαν, ὃ καὶ πιθανώτερόν μοι μᾶλλον ἐφάνη.

24 Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς τὴν Παμ-
25 φυλίαν· καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατέβη-
26 σαν εἰς Ἀτταλίαν· κἀκεῖθεν ἀποπλεύσαντες εἰς Ἀντιό-
χειαν, ὅθεν ἦσαν παραδεδόμενοι τῇ χάριτι τοῦ Θεοῦ εἰς
τὸ ἔργον ὃ ἐπλήρωσαν.

Τοῦ Χρυσοστόμου. Ἵνα γὰρ μὴ καταπέσῃ τὰ φρονήματα τῶν μαθητῶν, ὅτι οἱ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτοὺς καὶ διελέχθησαν· καὶ ὅρα πρῶτον εἰς Δέρβην ἐξέρχεται, διδοὺς αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ· καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν· θυμουμένοις μὲν αὐτοῖς

εἴκων, πεπαυμένοις δὲ ἐπιτιθέμενος, ὅρα ὅτι οὐ πάντα χάριτι ἀλλὰ καὶ ἰδίᾳ σπουδῇ διώκουν.

27 Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν,
ἀνήγγελλον ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν,

Οὐκ εἶπαν ὅσα ἐποίησαν αὐτοὶ, ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν·[y] ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν.

Καὶ ὅτι ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως.

Θυρῶν ἄνοιξιν τὴν διδασκαλίαν καλεῖ, ἣν τὰ ἔθνη δι' αὐτῶν παρεδέξατο, πάλαι βεβυσμένα τῇ πατρίᾳ πλάνῃ καὶ τοῖς δεισιδαιμονίας μαθήμασι τὰ ὦτα ἔχοντα πρὸς πάντα λόγον θεοσεβῆ.

28 Διέτριβον δὲ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

Τοῦ Χρυσοστόμου. Μεγάλη γὰρ οὖσα ἡ πόλις ἐδεῖτο τῶν διδασκάλων. Καὶ μετ' ὀλίγα—Ὅρα πανταχοῦ τῆς εἰς τὰ ἔθνη διορθώσεως ἀναγκαίαν τὴν ἀρχὴν εἰσαγομένην· πρὸ τούτου ἐγκαλούμενος ἀπελογίσατο, καὶ ἐν τάξει ἀπολογίας τὸ πᾶν εἶπεν· ὅπερ εὐπαράδεκτον τὸν λόγον ἐποίει· ἔπειτα τῶν Ἰουδαίων ἀποστραφέντων, οὕτως ἦλθον εἰς τὰ ἔθνη. ἐνταῦθα πάλιν ἄλλην ἀμετρίαν ὁρῶν εἰσαγομένην οὕτως ἵστησι τὸν νόμον· ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς, ἅτε παρὰ τοῦ Θεοῦ διδαχθέντας, ἀδιαφόρως διαλέγεσθαι πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων· καὶ οὐκ ἔλεγον περιτομὴν ἁπλῶς, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δύνασθε· οὗ τοὐναντίον ἦν· ὅτι περιτεμνόμενοι σωθῆναι οὐκ ἠδύναντο· ὅρα συνεχῶς τοὺς πειρασμούς· ἔνδοθεν, ἔξωθεν· καλῶς δὲ οἰκονομεῖται τοῦτο Παύλου παρόντος, ἵν' ἀντείπῃ· καὶ οὐκ εἶπε Παῦλος, τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων; ἀλλ' ἐπείσθη δι' ἐκείνους. καὶ ὅρα, μανθάνουσι λοιπὸν ἅπαντες τὰ εἰς τὰ ἔθνη γεγενημένα Σαμαρεῖται, καὶ ἔχαιρον. Καὶ μετ' ὀλίγα—Ἐν μὲν τοῖς Ἱεροσολύμοις οὐκ ἦσαν ἐξ ἐθνῶν τινὲς, ἐν δὲ Ἀντιοχείᾳ εἰκὸς εἶναι, καὶ διὰ τοῦτο κατέβησαν, ἔτι νοσοῦντες τὴν φιλαρχίαν, καὶ βουλόμενοι προσηλύτους ἔχειν τοὺς ἐξ ἐθνῶν· καίτοι Παῦλος νομομαθὴς ἦν, ἀλλ' οὐκ ἔπασχε τοῦτο.

[y] Post hæc aliquid videtur intercidisse, nam seqq. non cohærent.

ΚΕΦ. ΚΓ.

Ὅτι οὐ δεῖ περιτέμνεσθαι τοὺς ἐξ ἐθνῶν πιστεύοντας, δόγματι καὶ κρίσει τῶν Ἀποστόλων.

1 Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον
τοὺς ἀδελφοὺς, ὅτι ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει τοῦ
Μωϋσέως, οὐ δυνήσεσθε σωθῆναι.

Ἀμμωνίου. "Ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ "δύνασθε σωθῆναι·" σημειωτέον ὅτι ἔθος καλεῖ τὸ ἔννομον πρόσταγμα ἡ γραφή· οὐδὲ γὰρ ἀγράφως, ἀλλ' ἐγγράφως καὶ τοῦτο εἶπε Μωϋσῆς· ἢ τάχα καὶ διὰ τοῦτο ἐλύθη ἀπὸ τῶν Ἀποστόλων τοῦτο, ὡς ἔθος ὂν καὶ οὐχ ὡς νόμιμον· πλὴν τοῦτο δεῖ καταχρηστικῶς [z] εἰπεῖν, ὅτι οὐδὲ τὰ τῆς Ἐκκλησίας ἔθη χρὴ παραχαράττειν.

2 Γενομένης δὲ στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ
Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτοὺς, ἔταξαν ἀναβαί-
νειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν
πρὸς τοὺς Ἀποστόλους καὶ τοὺς πρεσβυτέρους εἰς Ἱε-
3 ρουσαλὴμ, περὶ τοῦ ζητήματος τούτου. οἱ μὲν οὖν προ-
πεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τήν τε Φοινί-
κην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν
ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.
4 παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, ὑπεδέχθησαν ἀπὸ
τῆς ἐκκλησίας καὶ τῶν Ἀποστόλων καὶ τῶν πρεσβυτέ-
ρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν.

Τοῦ Χρυσοστόμου. Πῶς τοίνυν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ· "οὐδὲ, ἀνῆλθόν," φησιν, "εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ "ἐμοῦ Ἀποστόλους, οὐδὲ ἀνεθέμην;" ὅτι πρῶτον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον δὲ, οὐ μαθησόμενος παραγέγονεν, ἀλλ' ἑτέρους πείσων· αὐτὸς μὲν γὰρ ἐξ ἀρχῆς ταύτης εἴχετο τῆς γνώμης· ἣν καὶ οἱ Ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν τὸ μὴ δεῖν περιτέμνεσθαι· ἐπειδὴ δὲ οὐκ ἐδόκει τέως αὐτοῖς ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς ἐν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν

z καταχριστικῶς Cod.

οὐκ αὐτός τι εἰσόμενος πλεῖον, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις τούτοις ψηφίζονται· οὕτως ἐξ ἀρχῆς τὰ δέοντα συνεώρα, καὶ οὐδενὸς ἐδεῖτο διδασκάλου· ἀλλὰ μετὰ πολλὴν διάκρισιν ἔμελλον οἱ Ἀπόστολοι κυροῦν ταῦτα, ἃ αὐτὸς πρὸ τῆς διακρίσεως ἄνωθεν εἶχεν ἀκίνητα παρ' ἑαυτῷ. Καὶ μετ' ὀλίγα—Ἐπειδὴ δὲ τοῖς ἀδελφοῖς ἔδοξε καὶ παρ' ἐκείνων μαθεῖν, ἀπῆλθεν ὑπὲρ ἐκείνων οὐχ ὑπὲρ ἑαυτοῦ· εἰ δὲ λέγει ὅτι οὐκ ἀνῆλθον, ἔστι κἀκεῖνο εἰπεῖν· ὅτι οὔτε ἐν προοιμίοις τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε ἡνίκα ἀνῆλθεν, ἐπὶ τῷ μαθεῖν· καὶ γὰρ ἀμφότερα ἐπισημαίνεται λέγων, "εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵ-"ματι·" οὐκ εἶπεν ἁπλῶς "οὐ προσανεθέμην," ἀλλ' "εὐθέως."

5 Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες, ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως·

Τοῦ αὐτοῦ. Πολλὴ ἐπιτριβὴ τῶν Φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων καὶ οὐ πειθομένων τοῖς Ἀποστόλοις· ἀλλ' ὅρα ἐκείνους πῶς ἐπιεικῶς καὶ οὐ μετὰ αὐθεντίας λέγουσι· τὰ γὰρ τοιαῦτα ἐπιθύμητα καὶ πεπηγμένα μᾶλλον· ὅρα οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ Πνεύματος· ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια ἐπιεικῶς διαλέγονται· καὶ ὅρα οὐκ ἀπέρχονται διαβάλλοντες τοὺς ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν· οὕτως ἐμελέτων τὸ φιλαρχεῖν· καὶ οὐκ εἰδότων τῶν Ἀποστόλων ἐπέμφθησαν· ἀλλ' ὅμως οὐδὲν τούτων προήνεγκαν· ἀλλ' ὅτε ἀπέδειξαν, τότε σφόδρα γράφουσι· μέγα γὰρ πανταχοῦ ἡ ἐπιείκεια.

Ἀμμωνίου. Οὐχ οἱ ἀπὸ ἐθνῶν πιστοὶ, ἀλλ' οἱ ἀπὸ Ἰουδαίων ἀπῄτουν τοὺς πιστοὺς περιτέμνεσθαι, καὶ τὰ ἄλλα τοῦ νόμου σαρκικὰ ποιεῖν· οὓς, ὡς ἔτι τὰ τοῦ νόμου τοῦ παλαιοῦ φρονοῦντας, καὶ εἰς ἰδίαν καύχησιν θέλοντας περιτεμεῖν τοὺς πιστοὺς, οὐκ ἀπεδέξαντο οἱ μαθηταί· καίτοι καὶ αὐτοὶ ἐκ περιτομῆς ὄντες· οὐ γὰρ τὸ ἴδιον θέλημα ἐζήτουν στῆσαι, ἀλλὰ τὸ κοινωφελὲς τοῦ κόσμου. σημειωτέον δὲ ὅτι αἱρετικοὶ ἦσαν οἱ Φαρισαῖοι· καὶ ὅτι τὸ τῶν αἱρετικῶν ὄνομα, καὶ πρὸ τῶν Χριστιανῶν, τοις οὐκ ὀρθῶς φρονοῦσιν ἐπετίθετο.

6 **Συνήχθησαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.**

Τοῦ αὐτοῦ. *Πάλιν καὶ ἔνθεν ἐπιστοχάσασθαι, ὅτι ἄλλην τινὰ ἀξίαν ἐπαναβαίνουσαν τοὺς* [a] *πρεσβυτέρους εἶχον οἱ Ἀπόστολοι· διὸ οὐ συμπεριέλαβον αὐτοὺς τοῖς πρεσβυτέροις κοινῷ ὀνόματι πάντας σημᾶναι.*

7 Πολλῆς δὲ ζητήσεως γενομένης, ἀναστὰς Πέτρος
εἶπε πρὸς αὐτοὺς, ἄνδρες ἀδελφοὶ, ὑμεῖς ἐπίστασθε ὅτι
ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ Θεὸς διὰ τοῦ
στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγε-
8 λίου, καὶ πιστεῦσαι. καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρ-
τύρησεν αὐτοῖς,

Τοῦ Χρυσοστόμου. *Ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος καὶ μέχρι τοῦ νῦν ἰουδαΐζοντα· ὑμεῖς, φησὶν, ἐπίστασθε· παρῆσαν ἴσως καὶ οἱ καλέσαντες αὐτῷ πάλαι ἐπὶ Κορνηλίου, καὶ εἰσελθόντες μετ' αὐτοῦ· διὰ τοῦτο αὐτοὺς παράγει μάρτυρας· "ἀφ' ἡμερῶν," φησιν, "ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο." τί ἐστιν ἐν ὑμῖν; τουτέστιν ἐν Παλαιστίνῃ, ἢ παρόντων ὑμῶν· "διὰ τοῦ στόματός μου·" ὅρα πῶς δείκνυσι δι' αὐτοῦ τὸν Θεὸν φθεγγόμενον, καὶ οὐδὲν ἀνθρωπίνον. "καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρ- " τύρησεν αὐτοῖς·" ἐπὶ τὴν πνευματικὴν μαρτυρίαν ἄγει αὐτούς.*

Ἀμμωνίου. *Ὅτι τοὺς περὶ δογμάτων λόγους μετὰ πολλῆς ζητήσεως ἐποιοῦντο οἱ πάλαι πιστοὶ, καὶ μετὰ πολλῆς σπουδῆς· καὶ ὅτι τοσοῦτον ἦν αὐτοῖς ὠφεληθῆναι διὰ λόγων, ὅτι οὐκ ἀπώκνησαν οἱ ἀπὸ Ἀντιοχείας πέμψαι εἰς Ἱερουσαλὴμ καὶ ἐρωτῆσαι τὸ ἀμφιβαλλόμενον· καίτοι μὴ πρωτοτύπως περὶ θεότητος ἢ τῆς τοῦ Υἱοῦ οἰκονομικῆς σαρκώσεως ἢ περὶ τοῦ Πνεύματος, ἢ Ἀγγέλων ἢ ἀρχῶν, ἢ οὐρανοῦ, ἢ ἄλλου τοιούτου ζητηθέντος· ἀλλὰ περιτομῆς, μέρους ἐλαχίστου τῶν ἀσχημόνων τοῦ σώματος τοῦ ἀνθρώπου· ᾔδεισαν γὰρ ὅτι " ἰῶτα ἓν ἢ μία κεραία τοῦ νόμου" πνευματικῆς ἔγεμεν* [b] *ἐμφάσεως· καὶ ἐδειλίασαν οἱ ἐν Ἀντιοχείᾳ μαθηταὶ αὐθεντῆσαι· ἀλλὰ τοσοῦτον ἐφρόντιζον καὶ τῶν δοκούντων ψιλῶν εἶναι*

[a] Verba εἶχον οἱ Ἀπ. usque ad πρεσβυτέροις suppl. rec. m. in marg.
[b] Sic.

ζητημάτων, ὅτι δὴ οἱ μὲν ἀπὸ Ἀντιοχείας ἀπέστειλαν Βαρνάβαν καὶ Παῦλον ἐρωτήσοντας τοὺς ἐν Ἱεροσολύμοις· οἱ δὲ ἀπὸ Ἱερουσαλὴμ μαθηταὶ τοὺς περὶ Ἰούδαν καὶ Σίλαν ἔπεμψαν μετὰ τῶν ἰδίων γραμμάτων εἰς Ἀντιόχειαν.

Δοὺς αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς καὶ ἡμῖν· Πανταχοῦ ἐξισοῖ τὰ ἔθνη.

9 Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

Τοῦ Χρυσοστόμου. Ἀπὸ τῆς πίστεως μόνης φησὶν, ἄξιοι φανέντες, τῶν αὐτῶν ἔτυχον· ταῦτα καὶ ἐκείνων παιδευτικὰ, ταῦτα καὶ ἐκείνους διδάξαι δύναται, ὅτι πίστεως δεῖ μόνης καὶ οὐκ ἔργων, οὐδὲ περιτομῆς· οὐ γὰρ δὴ περὶ τῶν ἐθνῶν ἀπολογούμενοι ταῦτα λέγουσι μόνον· ἀλλὰ καὶ ἐκείνους παιδεύοντας ἀποστῆναι τοῦ νόμου· ἀλλὰ τέως οὔπω τοῦτο.

Ἀμμωνίου. Οὐδεμία, φησὶ, διαφορὰ πιστῶν· εἴτε Ἰουδαῖοι εἰσὶν, εἴτε Ἕλληνες, ὅπου ἡ πίστις καθαρισμὸν ποιεῖ τῶν ἁμαρτιῶν τῶν ἀπὸ τῆς καρδίας ἐξιόντων. οὗτος δὲ ὁ καθαρισμὸς ἔοικε περιτομῇ· καὶ ἀντὶ τῆς ἐν σαρκὶ περιτομῆς δίδοται ἡ ἐν Πνεύματι περιτομὴ, καθαρίζουσα τῇ πίστει τῇ εἰς Χριστὸν τὰ κρυπτά· οὕτω δὲ οὐκ ἦν κοινωφελὴς ἡ σαρκικὴ περιτομὴ, ὅτι μόνῳ τῷ ἄρρενι ἐδόθη· οὐδὲν δὲ τῶν ἀληθινῶν προσώπων συστέλλεται· ἐν γὰρ τῇ ἀληθῆ πίστει οὐκ ἔνι ἄρρεν καὶ θῆλυ· οὐκ ἔνι Ἕλλην ἢ βάρβαρος· ἀλλὰ πάντες ἕν ἐσμεν.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν,

Τοῦ Χρυσοστόμου. Τί ἐστι "τί πειράζετε τὸν Θεὸν," ὡς οὐκ ἰσχύοντα, φησὶ, σῶσαι τῇ πίστει; τουτέστι, τί ἀπιστεῖτε τῷ Θεῷ; ἄρα ἀπιστίας ἐστὶ τὸν νόμον εἰσφέρειν· εἶτα δείκνυσι καὶ τοὺς οὐδὲν ὠφελουμένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει, οὐκ ἐπ' αὐτοὺς, καὶ τὴν κατηγορίαν ὑποτέμνεται.

Κυρίλλου. Καὶ γοῦν ὅτι τὲ εἰ φορτικὸς καὶ δύσοιστος ὁ νόμος, διωμολογήκασιν ἀληθῶς οἱ θεσπέσιοι μαθηταὶ, ταῖς τινῶν ἀμαθίαις ἐπιπλήττοντες· ἔφασκον γάρ, "νῦν οὖν τί πειράζετε"— καὶ ἑξῆς.

Τοῦ αὐτοῦ. Φορτικὸς[c] μὲν γὰρ ὁμολογουμένως ὁ νόμος ἦν τοῖς ἐξ Ἰσραήλ· ὡμολόγουν δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταί· καὶ αὐτὸς δὲ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ Σωτὴρ προσφωνῶν καὶ λέγων· "δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν·" κοπιῶντας δὲ καὶ πεφορτισμένους τοὺς ὑπὸ νόμον εἶναι φησίν, ἑαυτὸν δὲ πρᾶον ὠνόμαζεν, ὡς οὐκ ἔχοντος τοῦτο τοῦ νόμου.

Ἀμμωνίου. Οὐκοῦν εἰ ζυγὸς ὁ νόμος, δεῖ τῷ προφήτῃ πειθαρχεῖν λέγοντι "ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν·" τὰ σαρκικὰ τοῦ νόμου λέγων ἡμᾶς ἀποσείσασθαι, τουτέστι τοῦ φυλάττειν τὸν νόμον Μωϋσέως, ὅπερ ἦν δυσχερέστατον· δύναμις γὰρ ὑπάρχει τῆς ἁμαρτίας, καθά φησιν ὁ θεσπέσιος Παῦλος· λέγει γὰρ ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ· "τὸ γὰρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος·" καὶ τοῦτο τὸ χωρίον ἐξηγούμενος ὁ ἁγιώτατος Ἰωάννης ὁ Κωνσταντίνου πόλεως ἐπίσκοπος οὕτω φησί· "πῶς δύναμις τῆς ἁμαρτίας ὁ νόμος;" ὅτι μὲν γὰρ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, καὶ χαλεπωτέραν καὶ ἐν αὐτῇ τὴν ἰσχὺν οὕτως ἔχει, δῆλον· πῶς δὲ καὶ ταύτης δύναμις ὁ νόμος; ὅτι χωρὶς αὐτοῦ ἀσθενὴς ἦν, πραττομένη μὲν, οὐ δυναμένη δὲ οὕτως καταδικάσαι· τὸ μὲν γὰρ κακὸν ἐγίνετο· σαφῶς δὲ οὐκ ἐδείκνυτο οὕτως· ὥστε οὐ μικρὸν εἰσήνεγκεν ὁ νόμος τὸ καὶ γνωρίσαι τὴν ἁμαρτίαν μᾶλλον, καὶ ἐπιτεῖναι τὴν κόλασιν· εἰ δὲ βουλόμενος κωλῦσαι, χαλεπωτέραν ἐποίησεν, οὐ παρὰ τὸν ἰατρὸν τὸ ἔγκλημα, ἀλλὰ παρὰ τὸν κακῶς τῷ φαρμάκῳ χρησάμενον· ἐπεὶ καὶ ἡ παρουσία τοῦ Χριστοῦ μᾶλλον ἐβάρησε τοὺς Ἰουδαίους· ἀλλ' οὐ διὰ τοῦτο αὐτῇ ἐγκαλέσομεν· ἀλλὰ ταύτην μὲν καὶ θαυμασόμεθα· ἐκείνους δὲ καὶ μειζόνως μισήσομεν, βλαβέντας δι' ὧν ὠφελεῖσθαι ἔδει· ὅτι γὰρ οὐχ ὁ νόμος οὗτος τὴν ἁμαρτίαν ἐδυνάμωσεν, ὁ Χριστὸς αὐτὸν ἐπλήρωσεν ἅπαντα, καὶ ἁμαρτίας ἐκτὸς ἦν.

Ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν
11 βαστάσαι; ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ

[c] φορτικῶς Cod.

Χριστοῦ πιστεύομεν σωθῆναι, καθ᾽ ὃν τρόπον κἀκεῖνοι.
12 ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ
Παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ
τέρατα ἐν τοῖς ἔθνεσι δι᾽ αὐτῶν.

Τοῦ Χρυσοστόμου. Πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα, ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ῥωμαίους εἶπε; ταῦτα καὶ οὗτος· "εἰ γὰρ Ἀβραὰμ," φησὶ, "ἐξ ἐργῶν ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν." ὁρᾷς ὅτι ταύτων μᾶλλόν ἐστι παιδευτικὰ ἡ ἀπολογία ὑπὲρ τῶν ἐθνῶν· ἀλλ᾽ εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγεν, ὕποπτος ἦν· ἀρχὴν δὲ λαβόμενος ἀδεῶς φθέγγεται· ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν κατ᾽ αὐτῶν γινόμενα· εἰ μὴ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδὲ τὰ μετὰ ταῦτα· ἀλλὰ καὶ εἰ ἤθελον προσάγεσθαι τὰ ἔθνη, μανθάνουσιν ὅτι οὐδὲ αὐτοὺς δεῖ πᾶν ὁρᾶν.

Ἀμμωνίου. Σημειωτέον ὅτι τὰ δυσκατορθωτὰ ἐπιτάγματα τῆς σαρκὸς οὐ δεῖ ἐπικλᾶν τισίν· οἷον ἄκραν νηστείαν ἢ γυμνότητα, ἢ σιωπήν· εἰ μή γέ τις ταῦτα ἑαυτῷ ἐπιτάξει· εἰ γὰρ καὶ δυσχερῆ, ἀλλὰ μὴν οὐκ ἀκατόρθωτα, ἀλλὰ καὶ γενόμενα ὑπὸ πολλῶν καὶ γινόμενα· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι· ὅμοιον τοῦ "χάριτί ἐστε σεσωσμένοι·" ὥστε οὖν πάλαι μὲν οἱ νόμοι τοὺς πάντα διαφυλάττοντας τὰ εἰρημένα τῷ νόμῳ ἔσωζε, νῦν δὲ ἡ χάρις τοῦ Κυρίου, καὶ δίχα τῆς τοῦ νόμου παραφυλακῆς, διὰ τῆς πίστεως σώζει.

13 Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος, λέ-
γων,

Τοῦ Χρυσοστόμου. Ἐπίσκοπος ἦν καθά φησιν οὗτος· διὸ καὶ ὕστερος λέγει· "καὶ τὸ ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα," ἐνταῦθα πληροῦται· ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπό τε νέων ἀπό τε παλαιῶν βεβαιούμενον τῶν προφητῶν τὸν λόγον· οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι καθάπερ Πέτρος ἢ Παῦλος· καὶ καλῶς οἰκονομεῖται δι᾽ ἐκείνων ταῦτα γενέσθαι τῶν οὐ μελλόντων ἐγχρονίζειν τοῖς Ἱεροσολύμοις· τοῦτον δὲ τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπεύθυνον, μηδὲ μὴν ἀπεσχίσθαι τῆς γνώμης.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ἘΚ ΤΟΥ͂ ὙΠΟΜΝΉΜΑΤΟΣ ΤΗ͂Σ ΠΡῸΣ ΚΟΡΙΝΘΊΟΥΣ ἘΠΙΣΤΟΛΗ͂Σ ΕἾΣ ΤῸ ῬΗΤῸΝ ΤῸ ΦΆΣΚΟΝ. "ἜΠΕΙΤΑ ὬΦΘΗ ἸΑ-" ΚΏΒΩΙ." Ἐμοὶ δοκεῖ τῷ ἀδελφῷ τῷ ἑαυτοῦ· αὐτὸς γὰρ αὐτὸν λέγεται κεχειροτονηκέναι, καὶ ἐπίσκοπον ἐν Ἱεροσολύμοις πεποιηκέναι πρῶτον.

14 Ἄνδρες ἀδελφοὶ, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο,
καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν
15 λαὸν τῷ ὀνόματι αὐτοῦ· καὶ τούτῳ συμφωνοῦσιν οἱ
λόγοι τῶν προφητῶν,

Συμεὼν ὁ ἐν τῷ Λουκᾷ προφητεύσας· "νῦν ἀπολύεις τὸν δοῦ-" λόν σου, δέσποτα."

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. Πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς καὶ τελειοτέρα αὕτη ἡ δημηγορία, ὅπουγε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασιν.

16 Καθὼς γέγραπται, μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοι-
κοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν· καὶ τὰ
κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐ-
17 τήν· ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώ-
πων τὸν Κύριον,

Εἶτα ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν· τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε, διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὰν προφητείαν, "καθὼς γέγραπται," φησὶ, "μετὰ ταῦτα ἀναστρέψω" καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν," καὶ τὰ ἑξῆς· τί οὖν; ἠγέρθη τὰ Ἱεροσόλυμα· ἀλλ' οὐχὶ κατεστράφη μᾶλλον; ποίαν λέγει ἔγερσιν; τὴν μετὰ Βαβυλῶνα· τί δέ ἐστι "καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο·" σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο· οὗτος δὲ ἡμερώτερον· οὕτω γὰρ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ, τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν, αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων[b] φαίνεσθαι· "λαβὼν δὲ ἐξ ἐθνῶν," φησὶ, "λαὸν τῷ ὀνό-" ματι αὐτοῦ·" οὐχ ἁπλῶς ἐξελέξατο, ἀλλὰ "τῷ ὀνόματι αὐτοῦ·" τουτέστι τῇ δόξῃ αὐτοῦ· οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τῇ προλήψει τῶν ἐθνῶν, ἀλλὰ καὶ μείζων ἔσται ἡ δόξα· ἐνταῦθα τί μέγα

[b] ἡμετέρων Cod. sed corr. rec. m.

αἰνίττεται· ὅτι πρὸ πάντων οὗτοι· εἰ δέ τις ἀκριβῶς ἐξετάζοι, νῦν ἡ βασιλεία τοῦ Δαβὶδ ἕστηκε τοῦ ἐκγόνου αὐτοῦ, βασιλεύοντος πανταχοῦ· τί γὰρ ὄφελος τῶν οἰκημάτων καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποῖον δὲ βλάβος ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; καὶ τοῦ Δαβὶδ λαμπρότερον γέγονε· νῦν πανταχοῦ τῆς οἰκουμένης ᾄδεται· τοῦτο ἐξέβη, οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ; διὰ τὸ ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον· εἰ τοίνυν διὰ τοῦτο ἀνέστη ἡ πόλις, διὰ τῶν ἐξ αὐτῶν δείκνυσιν, ὅτι τῆς οἰκοδομίας τῆς πόλεως αἴτιον γέγονε τὸ τὰ ἔθνη κληθῆναι· τινὲς δέ εἰσιν οἱ κατάλοιποι; οἱ ὑπολειπόμενοι τότε· ἀλλ' ὅρα αὐτῶν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα· λέγει Κύριος ὁ ποιῶν πάντα ταῦτα· οὐ λέγει, ἀλλὰ ποιεῖ· ἄρα Θεοῦ ἔργον ἦν· ἄλλο δὲ ἦν τὸ ζητούμενον, ὅπερ σαφέστερον ὁ Πέτρος ἔλεγεν, "εἰ "δεῖ αὐτοὺς περιτέμνεσθαι."

Τοῦ Χρυσοστόμου. Πεπτώκει γὰρ ὄντως πτῶμα ἀνίατον, καὶ τῆς κραταιᾶς ἐκείνης δεόμενον χειρός· καὶ οὐκ ἦν ἑτέρως ἀναστῆναι τὴν φύσιν τὴν ἡμετέραν, μὴ τοῦ τὴν ἀρχὴν διαπλάσαντος αὐτὴν χεῖρα ὀρέξαντος, καὶ διατυπώσαντος ἄνωθεν τὴν δι' ὕδατος ἀναγέννησιν καὶ Πνεύματος.

Κυρίλλου. Σκηνὴν Δαβὶδ τὸ τῶν Ἰουδαίων σημαίνει γένος. ἰστέον δὲ ὅτι Κύρου τῆς αἰχμαλωσίας ἀνέντος τὸν Ἰσραὴλ, κατῆλθον πάλιν εἰς τὴν Ἰουδαίαν, καὶ ᾠκοδόμησαν τὸν θεῖον ναὸν, τειχίσαντες τὰς ἠρημωμένας πόλεις, ᾤκουν ἐν αὐταῖς ἀσφαλῶς κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος, τουτέστιν εἰς ἡμέρας πολλὰς καὶ χρόνους μακρούς· δεῖγμά τε καὶ πληροφόρια γεγόνασι τοῖς ἄλλοις ἔθνεσι, τοῦ χρῆναι λοιπὸν ἐπιστρέφειν πρὸς τὸν Θεόν. Καὶ μετ' ὀλίγα— Ὁ μὲν οὖν τῆς ἱστορίας ἐν τούτοις λόγος· ὁ δὲ ἐσωτέρω καὶ ἀληθέστερος εἴη ἂν ἐν Χριστῷ. ἐπειδὴ γὰρ ἐκ νεκρῶν ἀνεβίω τὴν εἰς θάνατον αὐτοῦ πεσοῦσαν σκηνὴν, τουτέστι τὴν ἀπὸ γῆς σάρκα ἐγείραντος τοῦ Θεοῦ καὶ Πατρὸς, τότε δὴ τότε πάντα τὰ ἀνθρώπινα πρὸς τὸ ἀρχαῖον ἀνέστη σχῆμα, καὶ πάντα ἡμῶν τὰ κατερριμμένα πρὸς νέαν ὄψιν ἐνήνεκται. εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις κατὰ τὰς γραφὰς, συνεγηγέρμεθα γὰρ αὐτῷ· καὶ κατέ-

σκαψε μὲν ὁ θάνατος τὰς ἁπάντων σκηνὰς, ἀνῳκοδόμησε δὲ ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ.

Καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου
18 ἐπ' αὐτούς· λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. γνω-
στὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ.

Τοῦ Χρυσοστόμου. "Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα "τὰ ἔργα αὐτοῦ·" εἶτα τὸ ἀξιόπιστον τοῦ λόγου· ὅτι οὐδὲν καινὸν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προτετύπωτο· καὶ ἀξίωμα πάλιν, "διὸ ἐγὼ "κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι," καὶ τὰ ἑξῆς.

19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν.

Ὁ σταυρωθεὶς οὖν ἦν ὁ λέγων ταῦτα ἐν Ἡσαΐᾳ· "αὐτοῦ γὰρ "τὸ ὄνομα ἐπικέκληται πάντα τὰ ἔθνη·" Χριστιανοὶ γὰρ προσαγορεύονται.

Τοῦ Χρυσοστόμου. Τουτέστι μὴ ἀνατρέπειν· εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν· Καὶ πάλιν—"Τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι," φησί· καὶ καλῶς φησὶ μετ' ἐξουσίας τὸ "ἐγὼ κρίνω·" διὰ τοῦτό φησι καλὸν εἶναι· διατί οὖν μὴ καὶ Ἰουδαίοις ταῦτα ἐπεστέλλομεν; Μωϋσῆς αὐτοῖς διαλέγεται· ὅρα πόση ἡ συγκατάβασις· ἔνθα οὐδὲν ἔβλαπτεν, ἐπέστησεν αὐτὸν διδάσκαλον, καὶ ἐχαρίστατο χάριν οὐδὲν ἐμποδίζουσαν, ἐπιτρέψας Ἰουδαίοις ἀκούειν αὐτοῦ· κατὰ ταῦτα καὶ ἀπαγαγὼν ἐξ ἐθνῶν· ὅρα σύνεσιν· δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν καὶ ἐφιστᾶν αὐτοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἐξ αὐτοῦ· μανθάνουσι διὰ τὴν τούτων ἀτοπίαν δείκνυσιν, ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα.

20 Ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος.

Τοῦ αὐτοῦ. Αὗται γὰρ εἰ καὶ σωματικαὶ, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι· ἐπειδὴ μεγάλα εἰργάζοντο κακὰ, τούτων μάλιστα

αὐτοὺς ἔπαυσεν· οἰκονομικῶς καὶ ἡ ἀντιλογία· ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα.

21 Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς
κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν
σάββατον ἀναγινωσκόμενος.

Διδύμου. Εἰ καὶ πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ κατὰ πᾶν σάββατον ἐν μόναις ταῖς συναγωγαῖς ἀνεγινώσκετο Μωϋσῆς, ἀλλ' οὖν μετὰ τὴν ἐπιδημίαν ἐν ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ οὐ κωλύεται ἀναγινώσκεσθαι· καὶ ὅρα εἰ δυνατὸν τοῦτο γενέσθαι ἐκ τοῦ, "ἄχρι γὰρ σήμερον ἡνίκα ἂν ἀναγινώσκηται Μωϋσῆς·" ἀλλὰ καὶ τὸ "πρόσεχε τῇ ἀναγνώσει," οὐ περὶ μόνων τῶν τῆς καινῆς βιβλίων λέγεται· ὥσπερ οὐδὲ τὸ "πᾶσα γραφὴ θεόπνευστος καὶ "ὠφέλιμος·" εἰ γὰρ μὴ ἀνεγινώσκετο τὰ παλαιὰ γράμματα ἐν ταῖς ἐκκλησίαις, οὐκ ἀκρίτως Γαλάταις ἐπεστέλλετο, τὸ "λέγετέ μοι οἱ "ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;" καὶ τὰ ἑξῆς.

22 Τότε ἔδοξε τοῖς Ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις
σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν
πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ,
Ἰούδαν τὸν καλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας
23 ἡγουμένους ἐν τοῖς ἀδελφοῖς· γράψαντες διὰ χειρὸς αὐ-
τῶν τάδε,

Τοῦ Χρυσοστόμου. Ὁρᾷς αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας· καὶ ὅρα ὥστε ἀξιοπιστότερον γενέσθαι, πέμπουσι τοὺς παρ' αὐτῶν, ἵν' ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον· καὶ ὅρα πῶς φορτικοὺς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν.

Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τῆς
κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς
24 τοῖς ἐξ ἐθνῶν, χαίρειν. Ἐπειδὴ ἠκούσαμεν, ὅτι τινὲς ἐξ
ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες
τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν
νόμον, οἷς οὐ διεστειλάμεθα.

Τοῦ αὐτοῦ. Ἀρκοῦσα αὕτη κατηγορία κατὰ τῆς ἐκείνων προπετείας, καὶ ἀξία τῆς τῶν Ἀποστόλων ἐπιεικείας, οὐδὲν παρ' ἑτέρων

εἰρηκότων. Καὶ μετ' ὀλίγα—"Ορα οὐδὲν φορτικώτερον κατ' ἐκείνων λέγοντας, ἀλλ' εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον· τοῦτο γὰρ καὶ τοὺς ἐκεῖ στασιάζοντας ὁμολογῆσαι ἐποίει· οὐκ εἶπον ὅτι οἱ ἀπατεῶνες, καὶ ὅσα τοιαῦτα. καίτοι, ἔνθα ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος· ὡς ὅταν λέγῃ· "ὦ πλήρης παντὸς "δόλου·" ἐνταῦθα δὲ κατορθωθέντος οὐκέτι χρεία ἦν.

25 Ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν,

Τοῦ αὐτοῦ. Εἶτα ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν.

Ἀμμωνίου. Σημειωτέον ὅτι οὔτε Ἰάκωβος οὔτε Πέτρος ἐτόλμησαν, καίτοι κρίναντες αὐτὸ καλὸν εἶναι, δίχα πάσης τῆς ἐκκλησίας δογματίσαι τὰ περὶ τῆς περιτομῆς· ὅπου τὲ οὔτε πάντες ηὐθέντησαν, εἰ μὴ ἐπείσθησαν ὅτι τοῦτο δοκεῖ καὶ τῷ Ἁγίῳ Πνεύματι· οὗ καὶ προέταξαν τὴν αὐθεντείαν ἐν τῇ ἐπιστολῇ εἴποντες· "ἔδοξε τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν, Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώ"ποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυ"ρίου·" τηλικοῦτοι ἦσαν οὗτοι, ὅτι ἐμαρτυρήθησαν ὑπὸ τῶν μαθητῶν μεγάλοι εἶναι.

Ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς
26 ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τοῦ Χρυσοστόμου. Ἵνα μὴ δόξῃ διαβολῆς εἶναι Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποσταλῆναι, ὅρα ἐγκωμία αὐτῶν· "ἀνθρώ"ποις," φησι, "παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνό"ματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

Τοῦ Χρυσοστόμου. Ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν παρεῖναι μόνον· ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλο ἀντ' ἄλλου εἶπον· τὸ ἐγκώμιον τὸ περὶ Παύλου ἐνέφραξεν αὐτῶν τὰ στόματα.

28 Ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος,

Τοῦ αὐτοῦ. Ταῦτα γὰρ ἡ καινὴ οὐ διετάττετο· οὐδαμοῦ περὶ τούτων διελέχθη ὁ Χριστὸς, ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι· καὶ πνικτῶν, φησὶν, ἐνταῦθα τὸν φόνον ἀπείργει.

Τοῦ αὐτοῦ. Καίτοι ἤρκει εἰπεῖν “τῷ Ἁγίῳ Πνεύματι·” τὸ μὲν “τῷ Ἁγίῳ Πνεύματι,” ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι· τὸ δὲ “ἡμῖν,” ἵνα διδαχθῶσιν ὅτι καὶ αὐτοὶ ἀποδέχονται καὶ ἐν περιτομῇ ὄντες.

Κυρίλλου ἐκ τοῦ β' τεύχους τῶν κατὰ Ἰουλιανοῦ. Πῶς γὰρ οὐκ ἀληθὲς εἰπεῖν, ὅτι τὸ χρῆναι λοιπὸν τῆς τοῦ νόμου σκιᾶς ὀλιγωρεῖν ἐκέλευσε τοῖς διὰ τῆς πίστεως κεκλημένοις εἰς ἀλήθειαν· ἃ γὰρ ἦν εἰκὸς ἀποπεραίνειν δύνασθαι τοὺς ἔτι νηπίους, διὰ τῆς τῶν Ἀποστόλων ἐθεσμοθέτει φωνῆς· φάσκοντες δὲ τὸ “μηδὲν πλέον “ἐπιτιθέναι ὑμῖν βάρος,” ἐδίδασκον ἐναργῶς, ὡς ὄντα διαβριθῆ τὸν νόμον καὶ δυσδιακόμιστον παντελῶς, καὶ αὐτοῖς τοῖς ἐξ Ἰσραὴλ οὐκ ἂν ἐπιθεῖεν αὐτοί· ἐδόκει δὴ οὖν τῷ Πνεύματι, φυλάττεσθαι παρ' αὐτῶν ἥκιστα μὲν τὸν νόμον, τὰ δὲ οἰστὰ καὶ εὐδιακόμιστα πειρᾶσθαι πληροῦν, τοὺς ὑπὲρ τῶν ἔτι μειζόνων ἱδρῶτας οὔπω διενέγκειν ἰσχύοντας ὀκλάζοντι νῷ, ἄρτι τὲ καὶ μόλις ἀδρυνομένῳ πρὸς τὴν ἐν Χριστῷ πολιτείαν καὶ ζωήν.

Σευήρου. “Ἔδοξε τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν·” μηδέν σε, φησὶν, ὁ αἱρετικὸς, ἀδελφὲ, ξενίσῃ τῶν εἰρημένων· ὡς ἀδελφόν σε καλεῖ, καὶ ὡς πολέμιον ἀναιρεῖ· μὴ θαυμάσῃς, φησιν, εἰ ὑπὲρ τοῦ Ἁγίου Πνεύματος εἶπον οἱ Ἀπόστολοι· ὅταν ταῦτα λέγῃ, ἀπὸ τῆς γραφῆς τὰ βέλη προσφέρομεν· τί οὖν ἔστι πρὸς αὐτοὺς εἰπεῖν; εἰ τὸ συνῆφθαι τοὺς Ἀποστόλους τῷ Ἁγίῳ Πνεύματι ἐλαττοῖ τοῦ Πνεύματος τὴν δόξαν· οὐκοῦν τὸ συνῆφθαι Μωσῆν τῷ Θεῷ ἐλαττοῖ τοῦ Θεοῦ τὴν δόξαν; λέγει γὰρ ἡ γραφή· “ἐπίστευσεν ὁ “λαὸς εἰς τὸν Θεὸν καὶ εἰς Μωσῆν” ἀλλὰ καὶ ἕτερον προενέγκωμεν βέλος· εἰ καθαιρεῖ τοῦ Πνεύματος τὴν ἀξίαν συνημμένη ἡ δόξα τῶν Ἀποστόλων, ὑβρίζει καὶ τὸν Θεὸν, καὶ ἐλαττοῖ αὐτοῦ τὴν ἀξίαν Σαμουὴλ προσκείμενος· γέγραπται γάρ, “καὶ ἐφοβήθη “πᾶς ὁ λαὸς τὸν Κύριον καὶ τὸν Σαμουήλ·” πάλιν καὶ τρίτον ἄλλο προσενέγκωμεν βέλος κατὰ τῆς ἀσεβείας· εἰ ἐλαττοῖ τοῦ Πνεύματος τὴν ἀξίαν καὶ τὴν θεϊκὴν αὐθεντίαν, τὸ συνῆφθαι τῷ Πνεύματι τοὺς Ἀποστόλους, ἐλαττοῖ τοῦ Θεοῦ τὴν ἀξίαν Γεδεὼν

προσκείμενος αὐτοῦ τῇ προσηγορίᾳ· "ἐβόησε γὰρ ἅπας ὁ λαὸς, "πόλεμος τῷ Κυρίῳ καὶ τῷ Γεδεών·" ὥσπερ οὖν συνῆπται Μωυσῆς τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος, ἀλλ' ὡς προφήτης· καὶ Γεδεὼν τῷ Θεῷ, οὐχ ὡς ὁμίτιμος, ἀλλ' ὡς στρατηγὸς τοῦ πολέμου· οὕτως καὶ οἱ Ἀπόστολοι τῷ Πνεύματι, ὡς κήρυκες τοῦ εὐαγγελίου. γνώριζε τοίνυν τὴν αὐθεντίαν, καὶ μὴ ὕβριζε τοῦ Πνεύματος τὴν ἀξίαν.

29 Πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. ἔρρωσθε.

Τοῦ Χρυσοστόμου. Δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα. "ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε·" δεικνύει ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ' ἀρκεῖ τοῦτο· ἠδύναντο μὲν γὰρ καὶ χωρὶς γραμμάτων, ἀλλ' ὥστε νόμον εἶναι ἔγγραφον· πάλιν ὥστε πεισθῆναι τῷ νόμῳ καὶ ἐκεῖνοι ἔλεγον, καὶ μετ' εἰρήνης.

Τοῦ αὐτοῦ. "Πλὴν τῶν ἐπάναγκες ἀπέχεσθαι·" τὰ τέσσαρα ταῦτα ἀπαγορεύσαντες ποιεῖν τὰ ἔθνη, τὰ λοιπὰ αὐτοῖς συνεχώρησαν· ἔστι δὲ ταῦτα· "ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ "πνικτοῦ, καὶ πορνείας."

30 Οἱ μὲν οὖν ἀπολυθέντες κατῆλθον εἰς Ἀντιόχειαν· καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν·

Τοῦ αὐτοῦ. Ὅρα βραχεῖαν ἐπιστολὴν, οὐδὲν πλέον ἔχουσαν· οὐδὲ κατασκευὰς οὐδὲ λογισμοὺς, ἀλλ' ἐπίταγμα· Πνεύματος γὰρ ἦν νομοθεσία.

31 Ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει.

Τοῦ αὐτοῦ. Εἶτα κἀκεῖνοι αὐτοὺς παρεκάλουν καὶ βεβαιώσαντας αὐτούς· πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο· οὕτως ἀπῆλθον μετ' εἰρήνης.

32 Ἰούδας τὲ καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς, καὶ ἐπεστήριξαν.

Ἀμμωνίου. Ἰδοὺ καὶ οὗτοι προφῆται ἦσαν· σημειωτέον δὲ ὅτι καὶ ἡ νέα διδασκαλία ἔσχε προφήτας πολλοὺς, οὐ μόνον ἡ παλαιὰ γραφή.

33 Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ
34 τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστειλάντας αὐτούς. ἔδοξε
35 δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. Παῦλος δὲ καὶ Βαρνάβας
διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμε-
νοι, μετὰ καὶ ἑτέρων πολλῶν, τὸν λόγον τοῦ Κυρίου.

Τοῦ Χρυσοστόμου. Οὐκέτι στάσεις καὶ μάχαι. Παῦλος δὲ λοιπὸν ἐδίδασκεν· οὐδεὶς τύφος ἦν ἐν τῇ ἐκκλησίᾳ· μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, οὐκ ἐπιπηδᾷ· πολλὴ ἡ εὐταξία· οὐδὲν ὁ Ἰωάννης ἐνταῦθα οὐδὲ οἱ λοίποὶ Ἀπόστολοι, ἀλλὰ σιγῶσιν· ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος, καὶ οὐκ ἀγανακτοῦσιν· οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή.

* Ἀντίρρησις Παύλου πρὸς Βαρνάβαν περὶ Μάρκου.

36 Μετὰ δέ τινας ἡμέρας εἶπε πρὸς Βαρνάβαν ὁ Παῦλος,
ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς τοὺς
κατὰ πᾶσαν πόλιν, ἐν αἷς ἐκηρύξαμεν τὸν λόγον τοῦ
37 Κυρίου, πῶς ἔχουσι. Βαρνάβας δὲ ἐβούλετο συμπαρα-
38 λαβεῖν καὶ Ἰωάννην τὸν καλούμενον Μάρκον· Παῦλος
δὲ ἠξιοῦτο, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας,
καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαρα-
λαμβάνειν τοῦτον.

Τοῦτο γὰρ ζωή· τοῦτο παράκλησις· τοῦτο παραμυθία διδασκάλῳ νοῦν ἔχοντι, ἡ ἐπίδοσις τῶν μαθητευομένων· οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας πρὸς Ἀναστάσιον ὕπατον ἐπιστολῆς. Εἰ τοῖς Ἀποστόλοις οὕτως ἀναγκαῖον κατεφαίνετο τὸ ἐπιστρέφειν, καὶ τὰς αὐτὰς περινοστεῖν πόλεις πολλάκις, ἐν αἷς τὸν τοῦ Εὐαγγελίου λόγον κατήγγελλον, καὶ ἐπισκέπτεσθαι τοὺς πεπιστευκότας, καὶ ἀνακρίνειν πῶς ἔχουσι, ποίαν ἕξομεν ἡμεῖς πρὸς Θεὸν ἀπολογίαν, μηδὲ διὰ γραμμάτων πληροῦντες ὅπερ ἐπλήρουν ἐκεῖνοι, μετὰ πολλοῦ πόνου βαδίζοντες τοῖς

ἰδίοις ποσὶ, καὶ αὐτομολοῦντες πρὸς τοὺς χρείαν ἔχοντας· καὶ τὰ πρὸς σωτηρίαν λυσιτελοῦντα διδάσκοντες;

Ἀμμωνίου. Σημειωτέον ὅτι ἔργον τῶν ἡγουμένων περιεργάζεσθαι τοὺς ὑπ' αὐτῶν φωτισθέντας· μήπως ἄρα οὐχ ὑγιαίνουσι τῇ πίστει, ἀλλὰ χωλεύουσι· καὶ δεῖ αὐτοὺς διορθωθῆναι.

Τοῦ Χρυσοστόμου. Καίτοι οὐκ ἔδει ἀξιοῦν αὐτὸν ἔχοντα κατηγορεῖν μετὰ ταῦτα· τοῦτο καὶ ἐπὶ Θεοῦ γίνεται καὶ τῶν ἀνθρώπων· ὁ μὲν ἀξιοῖ, ὁ δὲ ὀργίζεται· οἷον ὡς ὅταν λέγῃ, "ὅτι ὁ πατὴρ αὐτῆς ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς·" καὶ πάλιν· "ἄφες "με, καὶ θυμωθεὶς ἐξαλείψω τὸν λαὸν τοῦτον·" καὶ ὁ Σαμουὴλ ὅταν πενθῇ τὸν Σαοὺλ, οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν ὀργίζεται, ὁ δὲ οὐκέτι· τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται· καὶ ὁ παροξυσμὸς εἰκότως, ἵνα ἐκεῖνος παιδευθῇ, καὶ μὴ δόξῃ σκηνὴ τὸ πρᾶγμα εἶναι. Καὶ μετ' ὀλίγα—Καθάπερ γάρ τις στρατηγὸς οὐκ ἂν ἕλοιτο σκευοφόρον ἔχειν ἀεὶ βάναυσον, οὕτω δὲ καὶ ὁ Ἀπόστολος· καὶ τοῦτο καὶ τοὺς ἄλλους ἐπαίδευσε, καὶ αὐτὸν ἐρρύθμιζεν[c] ἐκεῖνον.

39 Ἐγένετο οὖν παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων,

Τοῦ Χρυσοστόμου. Μήτινα τὰ προλαβόντα θορυβείτω· "ἐν "ἡμέρᾳ ἀγαθῇ ἀμνησία κακῶν" μηδεὶς παραταττέτω· μηδεὶς λεγέτω· ἐχρῆν ἐν ἱερεῦσι Χριστοῦ μικροψυχίαν εἶναι. μὴ γὰρ ἐπελαθόμεθα ὅτι ἄνθρωποι ἔσμεν· καὶ πολλάκις καὶ ἄκοντες πταίομεν· ἔχεις εἰκόνα δυναμένην παραμυθήσασθαι· οὐ τοὺς ἁγίους ὑβρίζω· μὴ γένοιτο· ἀλλ' ἐξ ἐκείνων τὰ πάθη δεικνύων· ἐγένετο μεταξὺ Παύλου καὶ Βαρνάβα μικροψυχία· οὐ τοῦ μὲν ἑνὸς μέρους δικαιοσύνην τιμῶντος, τοῦ δὲ ἑτέρου ἀδικίαν, ἀλλ' ἑκάστου μέρους σκοπῷ εὐσεβείας δουλεύοντος· ἡ δὲ αἰτία τῆς μικροψυχίας ἐστὶν αὕτη. Μάρκος τις ἦν συνοδοιπορῶν αὐτοῖς πρὸς τὸν εὐαγγελικὸν δρόμον ἀπὸ Παλαιστίνης μέχρι Πέργης τῆς Παμφυλίας· εἶτα τῶν Ἀποστόλων εὐτόνῳ κεχρημένων δρόμῳ, καὶ ἀκαμπεῖ τῇ ψυχῇ πρὸς τοὺς ἀγῶνας ὁπλιζομένων, Μάρκος ὡς ἄνθρωπος ναρκήσας, καὶ μὴ εὐτονῶν πρὸς τὸν δρόμον τὸν τοσοῦτον, καὶ πρὸς τοὺς ἐν ἑκάστῃ πόλει ἀνακύπτοντας ἀγῶνας καὶ κινδύνους καὶ

[c] ἐρύθμιζεν Cod.

μάχας ἀποταξάμενος τῷ δρόμῳ τῶν Ἀποστόλων, ἐπανῆλθεν εἰς τὴν Παλαιστίνην· ἣν οὖν οὐ Χριστὸν ἀρνησάμενος, ἀλλὰ τὸν δρόμον τὸν πολὺν ὡς βαρὺν παραιτησάμενος· ἐπανῆλθε πάλιν Παῦλος καὶ Βαρνάβας καρποὺς εὐσεβείας γέμοντες, καὶ τῷ δρόμῳ τῆς εὐσεβείας στεφανούμενοι, καὶ εὐαγγελιζόμενοι τὴν ἐν Ἱεροσολύμοις ἐκκλησίαν. τῶν ἐθνῶν οὖν πάντων ἐπαινούντων τὸν Παῦλον καὶ τὸν Βαρνάβαν ἐπὶ τοῖς κατορθώμασιν, ὁ Μάρκος λυπηθεὶς ἐπλήγει τὴν ψυχήν· κατὰ τὸν λόγον τοῦτον ἐνενόησεν ἴσως πρὸς ἑαυτὸν, τοῦτο λέγων· ὅτι εἰ ἤμην κοινωνὸς τῶν πόνων, ἐγενόμην ἄρτι κοινωνὸς καὶ τῶν ἐπαίνων· πολλοὶ γὰρ πολλάκις αὐτὰς τὰς ἀρετὰς διὰ τὸν πόνον φυγόντες, διὰ τὰς ἐξ αὐτῶν εὐφημίας αἱροῦνται πονεῖν· τί οὖν; μεταμεληθεὶς ὁ Μάρκος ἐβουλεύσατο ἐπανιοῦσιν αὐτοῖς τοῖς Ἀποστόλοις συνδραμεῖν· ὁ οὖν Βαρνάβας μετανοήσαντα αὐτὸν ἐδέξατο· ὁ δὲ Παῦλος ἐφιλονείκει καὶ ἔλεγε, "τὸν μὴ "συνελθόντα ἡμῖν εἰς τὸ ἔργον Κυρίου οὐ δεῖ συμπαραλαμβάνειν·" ἦν οὖν στάσις, οὐκ ἀδικίας, ἄλλα δικαιοσύνης καὶ μικροψυχίας καὶ φιλανθρωπίας· ὁ Παῦλος ἐζήτει τὸ δίκαιον, ὁ Βαρνάβας τὸ φιλάνθρωπον. στασιάζοντες οὖν τὰς γνώμας, εἰ καὶ συνεφώνουν τῇ εὐσεβείᾳ, εἰς τοσοῦτον ἦλθον παροξυσμὸν, ὡς καὶ χωρισθῆναι ἀπ' ἀλλήλων· οὕτω γέγραπται· διέστησαν δὲ οὐ πίστει, οὐδὲ διαθέσει, ἀλλὰ ἀνθρωπίνῃ μικροψυχίᾳ· ἐγένετο δὲ οἰκονομία· ὡς γὰρ διέστησαν, ὁ Βαρνάβας τὸν Μάρκον παραλαβὼν ἐξῆλθεν εἰς τὸν οἰκεῖον δρόμον· ὠφέλησε δὲ τὸν Μάρκον ἡ Παύλου ἀκρίβεια· ὡς γὰρ εἶδεν ἑαυτὸν οὕτως ἐκβληθέντα διὰ τὴν ῥαθυμίαν, ἐσπούδαζε καὶ τῇ προθυμίᾳ τῷ δευτέρῳ δρόμῳ καλύψαι τὴν προτέραν νωχελίαν· συνῆν τοίνυν ὁ Μάρκος τῷ Βαρνάβᾳ σπουδάζων καὶ τρέχων· ὁ Παῦλος ἐν ταῖς Ἐκκλησίαις παρήγγειλε μὴ δεχθῆναι τὸν Μάρκον· οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα σπουδαιότερον ποιήσῃ· ὡς δὲ εἶδεν ὁ ἅγιος Παῦλος προσλαβόντα τῇ σπουδῇ τὸν Μάρκον· καὶ ἀπολογησάμενον διὰ τῶν δευτέρων, ἄρχεται αὐτὸν παρατίθεσθαι· καὶ τί φησιν; "ἀσπάζεται ὑμᾶς Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα· περὶ "οὗ ἐλάβετε ἐντολὰς, ἐὰν ἔλθῃ πρὸς ὑμᾶς δέξασθαι αὐτόν·" καὶ νῦν παραμυθείσθω τὰ ἀρχαῖα τὴν νέαν ὑπόθεσιν· εἰ γὰρ τότε μεταξὺ Παύλου καὶ Βαρνάβα ἐγένετο μικροψυχία, τί θαυμαστὸν εἰ μεταξὺ ἡμῶν;

—— Τοῦ Χρυσοστόμου. Δοκεῖ μὲν εἶναί τις παροξυσμός· τὸ δὲ πᾶν οἰκονομία ἐστὶν, ὥστε τοὺς προσήκοντας ἕκαστον τόπους ἀπολαβεῖν· καὶ ἔδει οὐχ ὁμοτίμους εἶναι, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δὲ ἄρχεσθαι· καὶ τοῦτο οἰκονομικόν· Κύπριοι μὲν γὰρ οὐδὲν τοιοῦτον ἐπεδείξαντο, οἷον οἱ ἐν Ἀντιοχείᾳ καὶ οἱ λοιποί· καὶ ἐκείνου μᾶλλον ἐδέοντο τοῦ ἤθους τοῦ ἁπαλωτέρου, οὗτοι δὲ τούτου. Καὶ ἐν τοῖς προφήταις τοῦτο εὑρίσκομεν, διαφορους γνώμας καὶ διάφορα ἤθη· οἷον ὁ Ἠλίας αὐστηρὸς, Μωυσῆς πρᾶος· οὕτω δὴ καὶ ἐνταῦθα σφοδρότερός ἐστιν ὁ Παῦλος· καὶ ὅρα καὶ οὕτω τὸ ἐπιεικές· "ἠξίου," φησὶ, "τὸν ἀποστάντα," καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα— Λαμβάνουσιν ἑαυτοὺς, ὥστε παιδεῦσαι καὶ ἀπαρτίσαι διὰ τοῦ χωρισμοῦ τοὺς δεομένους τῆς παρ' αὐτῶν διδασκαλίας. Καὶ μετ' ὀλίγα—πρῶτον μὲν οὖν οὐδὲν κακὸν γέγονεν, εἰ ὁλοκλήροις ἔθνεσιν ἀρκοῦντες ἀπεσχίσθησαν ἀπ' ἀλλήλων· ἀλλὰ καὶ μέγα ἀγαθὸν, ἄλλως μηδὲ τοῦτο κρύψαντα. Καὶ μετ' ὀλίγα—Τίς μὲν οὖν ἀμεῖνον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι· τέως δὲ ὅτι μεγάλη γέγονεν οἰκονομία· εἴγε οὗτοι μὲν ἔμελλον δεύτερον ἐπισκέψεως ἀξιοῦσθαι, ἐκεῖνοι δὲ οὐδὲ ἅπαξ. Καὶ μετ' ὀλίγα—Τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; μὴ γένοιτο· ὁρᾷς γὰρ πανταχοῦ μετὰ τοῦτο Βαρνάβαν πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἐπιστολαῖς. "παροξυσμός," φησιν, "ἐγένετο·" οὐκ ἔχθρα οὐδὲ φιλονεικία· τοσοῦτον ἴσχυσεν ὁ παροξυσμὸς ὥστε χωρίσαι· καὶ εἰκότως· ὅπερ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελὲς, τοῦτο μετὰ ταῦτα οὐ προήκατο διὰ τὴν πρὸς ἐκεῖνον κοινωνίαν. ἐμοὶ δοκεῖ κατὰ συναίνεσιν γεγενῆσθαι ὁ χωρισμὸς, καὶ πρὸς ἀλλήλους εἰπεῖν· ὅτι ἐπειδὴ ἐγὼ βούλομαι, σὺ δὲ οὐ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους· ὥστε πάνυ εἴκοντες ἀλλήλοις τοῦτο ἐποίουν· ἐβούλετο γὰρ στῆναι τὸ Παύλου Βαρνάβας· διὰ τοῦτο ἀνεχώρησεν. εἴθε καὶ ἡμεῖς τοιούτους ἐχωριζόμεθα χωρισμοὺς, ὥστε ἐπὶ κήρυγμα ἀπιέναι.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς τοὺς ἐπισκόπους ἐπιστολῆς. Ταῦτα γέγραπται πρὸς τύπον ἡμέτερον, ἵνα μὴ καταπίπτωμεν, οὐ δὲ γὰρ ἔνεστιν ἀνθρώπους ὄντας μὴ παροξύνεσθαι· παροξυνθέντας δὲ χρὴ μεταβάλλεσθαι.

Ἐξ ἀνεπιγράφου. Ὁ παροξυσμὸς τῶν Ἀποστόλων οὐ μάχης

ἕνεκεν ἀλλ' οἰκονομίας γέγονεν· ἐπειδὴ γὰρ ὁ Παῦλος ἔμελλεν συνέκδημον λαμβάνειν τὸν Τιμόθεον, εἰκότως τὸ Πνεῦμα τὸ Ἅγιον τῷ Βαρνάβᾳ τὸν Μάρκον παρέδωκεν· ὅτι δὲ καὶ Παῦλος αὐτὸν ἠγάπα, ἄκουσον αὐτοῦ γράφοντος τῷ Τιμοθέῳ· "Μάρκον ἀναλα-" βὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν·" οἶμαι δὲ τοῦτο γράφειν αὐτὸν, δι' ἀμφοτέρων κηδευθῆναι βουλόμενος.

Ἀμμωνίου. *Διὰ τοὺς κεκαυτηριασμένους τὴν συνείδησιν, ὡς διὰ συντόμου ἀπολογητέον περὶ τῶν Ἀποστόλων Βαρνάβα καὶ Παύλου· οἱ ἐπὶ τοσοῦτον ἐπέτειναν τὴν φιλονεικίαν, ὅτι καὶ ἐχωρίσθησάν, φησιν. ὁ Μάρκος ἔδοξεν ἡμαρτηκέναι ἀπολιπὼν αὐτούς· ὁ Παῦλος πρὸς τὸ σωφρονισθῆναι αὐτὸν ὠργίζετο, καὶ ἤθελεν αὐτὸν πρὸς ὀλίγον λυπῆσαι· ἵνα αἰσθόμενος ἐκεῖνος μετανοήσῃ, καὶ λοιπὸν ὑποταγῇ τῷ μὴ ποιεῖν τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ παρὰ τὴν ἑαυτοῦ θέλησιν ἀκολουθεῖν πρὸς τὸ ἔργον τῆς διακονίας· οὕτως ἐποίησε καὶ ἐπὶ τοῦ Κορινθίου· ἐκβαλὼν αὐτὸν τῆς ἐκκλησίας, καὶ αὐτὸς ὑπὲρ αὐτοῦ παρακαλῶν, ἡνίκα μετεμελήθη· οὕτως οὖν ἤθελε καὶ τὸν Μάρκον δαμάσαι. ὁ δὲ Βαρνάβας ἁπλούστερος ὢν, συνεχώρησεν αὐτῷ μᾶλλον καὶ δίχα ἐκπλήξεως τὸ ἁμάρτημα· ὃν ὁ Παῦλος παρεκάλει λέγων, μὴ οὕτως ὡς ἔτυχε τὸν δραπετεύσαντα τῆς συνοδίας προσλαβεῖν, ἀλλ' ἀποστραφῆναι αὐτὸν, διότι οὐκ αὐτοὺς ἐνύβρισε τοῦτο ποιήσας, ἀλλὰ τῆς διακονίας καταφρόνησας, τὸν Θεὸν ἐξουδένωσε. τούτῳ οὖν τῷ σκοπῷ ἀντέλεγεν ὁ Παῦλος τῷ Βαρνάβᾳ· ἀμέλει οὐδὲ ὠργίζετο, ἀλλὰ παρεκάλει αὐτὸν, ὡς φησὶν ἡ γραφὴ, "Παῦλος δὲ ἠξίου·" οὐκοῦν ὁ μὲν Βαρνάβας χρηστότητα εἶχε πρὸς τοὺς ὑπηκόους ἕτοιμον, ὁ δὲ Παῦλος ἀποτομίαν, πρὸς καιρὸν ἀποδίδους τοὺς καταφρονητὰς τῷ διαβόλῳ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα μεταμεληθῶσιν. οὐκοῦν ἀμφότεροι κατὰ τὸν οἰκεῖον σκοπὸν καλῶς ἔπραξαν· ἀπεχωρίσθησαν δὲ καὶ διὰ τοῦτο ἀπ' ἀλλήλων· ἐπείπερ οὐκ ἦσαν μιᾶς ἕξεως ἀμφότεροι· καὶ ἠδύνατο καὶ οὕτως, διὰ τῆς ἄγαν ἀνεξικακίας μὴ θέλων κρίνειν ἄλλον, δυσωπῆσαι τοὺς πιστούς· καὶ ὁ Παῦλος διὰ τοῦ ἐπιστατικοῦ ἑαυτοῦ καὶ ζηλοτυπικοῦ, σῶσαι καὶ σωφρονίσαι τοὺς ἀμελεῖς· οὕτω γὰρ διδάσκει λέγων· "ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον·" οὐχ ὡς μὴ δυνάμενοι δὲ φέρειν ἀλλήλων τὰ ἐλαττώματα ἀπέστη-*

σαν· ὅπουγε πολὺν συνέζησαν χρόνον, συγκαμόντες ἀλλήλοις καὶ συγκινδυνεύοντες· ἀλλ' ἵνα μή τις τὸ ἀνώμαλον τῆς αὐτῶν ὁρῶν πολιτείας σκανδαλισθῇ πρὸς ἕνα, ἢ τὸν Παῦλον ὄργιλον καλῶν, ἢ τὸν Βαρνάβαν καταφρονητὴν καὶ ἑαυτοῦ γινόμενον· μὴ θέλοντα δὲ τοὺς ἁμαρτάνοντας ἐπιστομίζειν, ἀλλὰ παρορῶντα τοὺς τῆς ἑαυτῶν ἀμελοῦντας σωτηρίας· ἐθνικοῖς μάλιστα μέλλοντες εὐαγγελίζεσθαι, τοῖς μηδεμίαν ἔχουσι διάκρισιν καλοῦ καὶ κακοῦ· καὶ πολλάκις ἐκ τοῦ διαφόρου τῆς αὐτῶν πολιτείας, ὡς ἀσύμφωνον ἐχόντων ἕξιν, ἀσύμφωνον καὶ τὸ παρ' αὐτῶν εὐαγγελιζόμενον μυστήριον ὑποπτεύοντες εἶναι· ὅπερ μᾶλλον ὑπονοήσαντες, ἀπέστησαν ἀπ' ἀλλήλων· οὕτως εὖ ἔχειν κρίναντες πρὸς τὴν τοῦ λόγου διακονίαν.

Τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον ἐκπλεῦ-
40 σαι εἰς Κύπρον· Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξ-
ῆλθε,

Τοῦ Χρυσοστόμου. *Θαυμαστὸς οὗτός ἐστιν ὁ ἀνὴρ καὶ σφόδρα μέγας· πάνυ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη· τὸ μὲν γὰρ Παύλου φοβερὸν ἐπέστρεφεν αὐτόν· τοῦ δὲ Βαρνάβα χρηστὸν ἐποίει μηκέτι ἀπολειφθῆναι· ὥστε μάχονται μὲν, πρὸς ἓν δὲ τέλος ἀπαντᾷ τὸ κέρδος· καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ· καὶ Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ αὐτὸν ἐφίλησε· καὶ διορθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων· τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι.*

Παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν.

Τοῦ αὐτοῦ. *Τί τοῦτό ἐστιν; ηὔξαντο, φησιν, ἐδεήθησαν τοῦ Θεοῦ· ὅρα πανταχοῦ μεγάλα δυναμένην τὴν εὐχὴν τῶν ἀδελφῶν· καὶ λοιπὸν πεζῇ ὥδευε, καὶ διὰ τῆς ὁδοιπορίας ὠφελῆσαι τοὺς ὁρῶντας βουλόμενος.*

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ τὴν Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

Τοῦ Χρυσοστόμου. *Ὅρα τὴν σύνεσιν Παύλου· οὐ πρότερον ἐπ' ἄλλας ἔρχεται πόλεις, πρὶν ἢ τὰς δεξαμένας τὸν λόγον ἐπισκέψασθαι· καὶ γὰρ ἀνοίας ἐστὶν εἰκῇ τρέχειν· τοῦτο καὶ ἡμεῖς*

ποιῶμεν· τοὺς πρώτους παιδεύομεν, ἵνα μὴ οὗτοι ἐμπόδιον γένωνται τοῖς μετὰ ταῦτα. "πῶς ἔχουσι," φησί· καὶ τοῦτο ἠγνόει εἰκότως· ὅρα αὐτὸν ἀεὶ διεγηγερμένον, μεριμνῶντα· οὐκ ἀνεχόμενον καθῆσθαι· καίτοι μυρίους ὑπέμεινε κινδύνους· ὁρᾷς ὅτι οὐ δειλίας ἦν τὸ εἰς Ἀντιόχειαν ἐλθεῖν· καθάπερ ἰατρὸς ἐπὶ τῶν καμνόντων ποιεῖ· καὶ τὴν ἀνάγκην τῆς ἐπισκέψεως ἐδήλωσεν, εἰπών· "ἐν αἷς "κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου·" ἀπέστη ὁ Βαρνάβας, καὶ οὐκέτι συνῆλθεν.

ΚΕΦ. ΚΔ.

Περὶ κατηχήσεως Τιμοθέου, καὶ τῆς κατὰ ἀποκάλυψιν ἀφίξεως Παύλου εἰς Μακεδονίαν.

1 Κατήντησε δὲ καὶ εἰς Δέρβην καὶ Λύστραν· καὶ
ἰδού, μαθητής τις ἦν ἐκεῖ, ὀνόματι Τιμόθεος, υἱὸς γυναι-
2 κὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος· ὃς ἐμαρτυ-
3 ρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. τοῦτον
ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν,

Τοῦ αὐτοῦ. Ὄντως ἄξιον ἐκπλαγῆναι τοῦ Παύλου τὴν σύνεσιν· ὁ τοσαῦτα μαχεσάμενος περὶ τῆς περιτομῆς· ὁ πάντα κινήσας, καὶ μὴ πρότερον ἀποστάς, ἕως οὗ κατόρθωσε, τοῦ δόγματος κυρωθέντος, περιέτεμε τὸν μαθητήν· οὐ μόνον ἑτέρους οὐ κωλύει, ἀλλὰ καὶ αὐτὸς τοῦτο ἐργάζεται· καὶ οὐδὲν ἁπλῶς ἐποίει προλήψει· "τοῦτον ἠθέλησε," φησι, "ἐξελθεῖν σὺν αὐτῷ·" καὶ τὸ θαυμαστὸν τοῦτο· ὅτι καὶ ἐπηγάγετο αὐτὸν διὰ τοὺς Ἰουδαίους, φησί, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· οὐκ ἂν γὰρ ἠνέσχοντο παρὰ τοῦ ἀκροβύστου τὸν λόγον ἀκοῦσαι· καὶ τί; ὅρα τὸ κατόρθωμα· περιέτεμεν, ἵνα περιτομὴν καθέλῃ· τὰ δόγματα γὰρ ἐκήρυττε τὰ τῶν Ἀποστόλων· ὁρᾷς μάχην, καὶ διὰ μάχης οἰκοδομὴν[d], οὐ παρ' ἑτέρων πολεμούμενοι, ἀλλὰ καὶ αὐτοὶ ἐναντία ποιοῦντες, οὕτω τὴν ἐκκλησίαν ᾠκοδόμουν· δόγμα εἰσήνεγκαν μὴ περιτέμνειν, καὶ περιέτεμε· κηρύττει μὴ περιτέμνειν, καὶ περιτέμνει τῇ πίστει καὶ τῷ πλήθει· "ἐπερίσσευον," φησί, "τῷ ἀριθμῷ καθ' ἡμέραν." εἶδες τὸ κέρδος τῆς περιτομῆς· εἶτα λοιπὸν οὐκ ἐνδιατρίβει τούτοις, ἅτε ἐπισκέψασθαι ἐλθών, ἀλλὰ τί; πόρρω πρόεισιν.

[d] Verba κ. δ. μάχης οἰκοδ. suppl. rec. m.

Τοῦ Χρυσοστόμου. *Οὗτος αὐτὸς ὁ μακάριος Παῦλος, ὁ περιτομὴν ἀναιρῶν μέλλων ποτε τὸν Τιμόθεον πέμπειν τοῖς Ἰουδαίοις διδάσκαλον, περιτεμὼν αὐτὸν πρότερον, οὕτως ἔπεμψεν· ἐποίησε δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσελθὼν διὰ περιτομῆς καταλύσῃ περιτομήν· ἀλλὰ τὴν αἰτίαν αὐτὸς ἠπίστατο καὶ Τιμόθεος, τοῖς δὲ μαθηταῖς οὐκ εἶπεν· εἰ γὰρ ἔγνωσαν ὅτι διὰ τοῦτο περιέτεμε, ἵνα λύσῃ τὴν περιτομὴν, οὐδ' ἂν τὴν ἀρχὴν ἤκουσαν αὐτοῦ δημηγοροῦντος, καὶ τὸ πᾶν ἂν διερρύη κέρδος· νῦν δὲ ἡ ἄγνοια τὰ μέγιστα αὐτοὺς ὠφέλησε· νομίζοντες γὰρ αὐτὸν ὡς νόμου φύλακα τοῦτο ποιεῖν, καὶ εὐμενῶς ἐδέξαντο καὶ προσηνῶς, καὶ αὐτὸν καὶ τὴν ἐκείνου διδασκαλίαν· δεξάμενοι γὰρ κατὰ μικρὸν καὶ παιδευθέντες, ἀπέστησαν τῶν παλαιῶν· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ παρὰ τὴν ἀρχὴν τὴν αἰτίαν ᾔδεσαν· μαθόντες γὰρ αὐτὴν ἀπεστράφησαν· ἀποστραφέντες δὲ ἔμειναν ἐπὶ τῆς πλάνης τῆς προτέρας.*

Ἀμμωνίου. *Τὴν αἰτίαν εἰπὼν δι' ἣν περιέτεμε τὸν Τιμόθεον ὁ Παῦλος, ἐξέφυγε τὰ τῶν μεμψιμοίρων ἐγκλήματα· "Ἰουδαίας "πιστῆς" ἀπὸ Ἰουδαίων φησί· σημειωτέον δὲ ὅτι τοσοῦτον ἦσαν Ἰουδαῖοι τοῦ νόμου καταφρονήσαντες, ὅτι καὶ Ἕλλησιν ἐγαμοῦντο, καὶ Ἑλληνίδας ἐγάμουν.*

Ἐξ ἀνεπιγράφου. *Πολλῆς ζητήσεως ἐν τοῖς προλαβοῦσι γενομένης τοῖς Ἀποστόλοις καὶ πρεσβυτέροις, αὐτῷ δὲ τῷ Παύλῳ ἕνεκεν τῆς περιτομῆς, καὶ πάντων ὁμοῦ κρινάντων μὴ δεῖν περιτέμνεσθαι, τινὸς ἕνεκεν Παῦλος τὸν Τιμόθεον λαβὼν περιέτεμε· καίτοι πρὸ τούτου μαθητὴν ὑπάρχοντα δόκιμον; τί δὴ οὖν ἄρα βούλεται; μὴ πρὸς Ἰουδαϊσμὸν ἐξέκλινε; καὶ τοῖς ἤδη θεσπισθεῖσι παρὰ πάντων ἐναντία διαπράττεται, ἑαυτῷ δὲ καὶ πρῶτον; μὴ γένοιτο. τίνος οὖν ἕνεκε τοῦτο ποιεῖ; πρᾶγμα μέγιστον καὶ πᾶσιν ὁμοῦ τοῖς Ἀποστόλοις καταθύμιον κατορθῶσαι βουλόμενος· ποῖον δὴ τοῦτο; ἄνω καὶ κάτω διέβαλλον αὐτὸν οἱ Ἰουδαῖοι, ὡς πανταχοῦ τὸν νόμον ἀνατρέποντα, καὶ τοὺς ἐξ ἐθνῶν ἀποστασίαν διδάσκοντα, καὶ σφόδρα πρὸς αὐτὸν ἀπεχθῶς διέκειντο· ἐπεὶ οὖν τὸν Τιμόθεον εὗρε μαθητὴν ἐξ Ἑλλήνων εὐδόκιμον, καὶ πρὸς ὑπηρεσίαν ἑαυτοῦ ἐπιτήδειον, καὶ συνέκδημον ἔχειν αὐτὸν ἠβούλετο· διὰ τοὺς καταφλυαροῦντας αὐτοῦ ἀσεβῶς, λαβὼν περιέτεμεν αὐτόν·*

μή μοι, φησὶν, ἐγκαλεῖτε, ὦ Ἰουδαῖοι, ὡς ἀνατρέποντι τὸν νόμον· ἰδοὺ καὶ αὐτὸς στοιχῶ τῷ νόμῳ· τοῦτο δὲ ποιεῖ, οὐ συνιστῶν τὴν περιτομήν· μὴ γένοιτο· ἀλλὰ διὰ τῆς τοιαύτης κατασκευῆς ἑλκῦσαι τούτους πρὸς ἑαυτὸν βουλόμενος· μή μοι προφάσεις, ὦ Ἰουδαῖοι, ὡς ἀνατρέποντι τὸν νόμον· ἰδοὺ καὶ αὐτὸς στοιχῶ τῷ νόμῳ· ἰδοὺ πάντες οἱ σὺν ἐμοὶ μαθηταὶ τοῦ Κυρίου περιτετμημένοι εἰσίν. εἰ γὰρ ἦν Τιμόθεος ἀπερίτμητος διδάσκαλος ὢν, πάντες ἂν ἀπεπήδησαν ἀπ᾽ αὐτοῦ· ὅτι δὲ τοῦτο τυγχάνει ἀληθὲς, δείκνυσιν ἡ βίβλος ἐν τοῖς ἐφεξῆς· εἰ γὰρ τοσαύτη γέγονεν αὐτοῦ κατηγορία διὰ Τρόφιμον τὸν Ἐφέσιον, ὃν ἐνόμιζον, ὅτι ὁ Παῦλος εἰς τὸ ἱερὸν εἰσήγαγεν· ἐξ Ἑλλήνων δὲ ἦν οὗτος· τί ἄρα ἂν ἔπαθεν, εἰ Τιμόθεα ὄντα διδάσκαλον ἐξ ἀκροβύστων εἶχε σὺν αὐτῷ; εἰ δὲ βούλοιτό τις ἀκριβῶς κατανοῆσαι τῶν Ἀποστόλων τὴν σύνεσιν· ὅτι πάντα ἐποίουν τῆς σωτηρίας τῶν Ἰουδαίων ἕνεκεν· αὐτὸν τοῦτον θεάσοιτο τὸν διδάσκαλον τῆς οἰκουμένης ἁγνισθέντα τῶν συναποστόλων τῇ γνώμῃ· καὶ ἐν τῷ ἱερῷ διαγγέλλοντα τὴν ἐκπλήρωσιν τοῦ ἁγνισμοῦ· εὕροι δέ τις καὶ τὸν κορυφαῖον τῶν μαθητῶν Πέτρον ὑποκριθέντα Ἰουδαϊσμόν. καὶ ταῦτα μὲν τοὺς Ἀποστόλους παντελῶς ἔβλαπτεν οὐδέν· ἐγένετο δὲ τοῖς Ἰουδαίοις σωτηρίας ὑπόθεσις, καὶ τῆς εἰς Χριστὸν πίστεως ἀρχή· ὅτι διδασκάλους εἶχε τοιούτους, ὡς ἐνόμιζον φυλάττοντας τὸν νόμον.

Καὶ λαβὼν περιέτεμεν αὐτὸν, διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ ἅπαντες, ὅτι Ἕλλην ὁ πατὴρ αὐτοῦ ὑπῆρχεν.

Τοῦ Ἁγίου Ἀθανασίου πρὸς Ναυατιανοὺς[e] τοὺς ἑαυτοὺς ὀνομάσαντας καθαροὺς βιβλίου λόγου β΄. Ἵν᾽ οὖν μὴ κωλύετε εἰς συναγωγὰς παραβάλλειν διὰ τὸ ἀπερίτμητον εἶναι τὸν Τιμόθεον, οὕτως συμπαρεῖναι τοῦθ᾽ ᾠκονόμησεν οὐχὶ καὶ ἐδογμάτισεν.

Ἐξ ἀνεπιγράφου. Ἰδοὺ σαφῶς δόγματα κέκληκε τὴν ἀποχὴν τῶν εἰδωλοθύτων, πορνείας τὲ, καὶ πνικτοῦ· ἅπερ εἰς κανονικῆς ζωῆς ὁρᾷ διατύπωσιν. ταῦτα γὰρ βίον ῥυθμίζει σώφρονα καὶ λογικοῖς ἀνθρώποις πρέποντα.

[e] ναβατιανοὺς Cod.

4 Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς
φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν Ἀποστό-
λων καὶ πρεσβυτέρων τῶν ἐν Ἱεροσολύμοις.

Ἀμμωνίου. Δόγματα λέγει· οὐ τὸ τῆς ἐνσάρκου οἰκονομίας μυστήριον· ὅπερ κηρύσσων ἔλεγε· "μὴ δ' ἂν ἐγὼ ἢ ἄλλος τις, ἢ "ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβετε, μετα-"πεισθῆτε·" ἀλλὰ τὰ περὶ τοῦ μὴ φυλάττεσθαι τὴν περιτομὴν, καὶ ὅσα τούτοις ὅμοια, ἃ ἐν τῷ νόμῳ ἦν· ἀλλὰ τὸ ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας· ταῦτα γὰρ ἦν δόξαντα τῷ Ἁγίῳ Πνεύματι, καὶ θεσπισθέντα διὰ τῶν ἐν Ἱεροσολύμοις μαθητῶν, καὶ βεβαιωθέντα καὶ κρατυνθέντα καὶ δεχθέντα διὰ [f] τῶν ἐν Ἀντιοχείᾳ.

5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ
6 ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. διῆλθον δὲ τὴν
Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν,

Τοῦ Χρυσοστόμου. Ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν ἔβλαψε περιτομὴ, ἀλλὰ καὶ τὰ μέγιστα ὠφέλησεν.

Κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λαλῆσαι τὸν
7 λόγον ἐν τῇ Ἀσίᾳ, ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπεί-
ραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι·

Τοῦ αὐτοῦ. Διατί μὲν ἐκωλύθησαν οὐ λέγει· ὅτι δὲ ἐκωλύθησαν, εἶπε, παιδεύων ἡμᾶς πείθεσθαι μόνον, καὶ μὴ ζητεῖν· καὶ δεικνὺς ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν.

8 Καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ· παρελ-
θόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρωάδα.

Ἀμμωνίου. Σημειωτέον ὅτι οὐδὲν ἐποίουν ἰδίᾳ αὐθεντίᾳ οἱ Ἀπόστολοι· ἀλλὰ πάντα ἃ ἐποίουν, ὑπὸ τοῦ Πνεύματος νυττόμενοι ἐποίουν ἢ οὐκ ἐποίουν· ὥστε οὖν οὐκ ἀκίνδυνον μέμφεσθαι τὰ ὑπὸ τῶν Ἀποστόλων γινόμενα, ἢ πολυπραγμονεῖν τὰ ὑπὸ τοῦ Πνεύματος διατυπούμενα· οὐ δεῖ οὖν ζητεῖν, διατί ἄρα οὐκ ἐπέτρεψε τὸ Πνεῦμα τῷ Παύλῳ κηρύξαι ἐν Ἀσίᾳ.

9 Καὶ ὅραμα διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνὴρ Μα-

[f] κρατυνθ. καὶ δεχθ. διὰ add. rec. m.

κεδών τις ἦν ἑστὼς, καὶ παρακαλῶν αὐτὸν καὶ λέγων, διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν.

Τοῦ αὐτοῦ. Οὐκέτι δι' ἀγγέλου καθάπερ Φίλιππος, καθάπερ Κορνήλιος· ἀλλὰ τί; δι' ὁράματος φαίνεται αὐτῷ λοιπὸν ἀνθρωπινώτερον, οὐκέτι θειότερον· ἔνθα γὰρ εὔκολον τὸ πεισθῆναι, ἀνθρωπινώτερον· ἔνθα δὲ πολλῇ βίᾳ, θειότερον· ἐπειδὴ γὰρ κηρύξαι μὲν ἠπείγετο, μόνον εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ· μὴ κηρύξαι δὲ οὐκ ἂν ἠνέσχετο· εἰς τοῦτο Πνεῦμα Ἅγιον ἀποκαλύπτει· οὕτω καὶ ἐκεῖ τῷ Πέτρῳ, "ἀναστὰς κατάβηθι·" οὐ γὰρ δὴ καὶ τὰ εὔκολα τὸ Πνεῦμα εἰργάζετο, ἀλλ' ἤρκει καὶ ὄναρ.

Ἀμμωνίου. Ὅσα ἐστὶ κοινωφελῆ ὁράματα καὶ θεοσεβείας ἐχόμενα, τούτοις δεῖ πειθαρχεῖν· ταῦτα γὰρ καὶ ἀνεγράφησαν μόνα ἐν τῇ γραφῇ.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν
εἰς τὴν Μακεδονίαν,

Τοῦ Χρυσοστόμου. Οὕτως αὐτῷ καὶ ὁ Χριστὸς φαίνεται λέγων· "Καίσαρί σε δεῖ παραστῆναι."

Συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Θεὸς εὐαγ-
11 γελίσασθαι αὐτούς. ἀναχθέντες οὖν ἀπὸ Τρωάδος, εὐθυ-
δρομήσαμεν εἰς Σαμοθράκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπο-
12 λιν, κἀκεῖθεν εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος
Μακεδονίας πόλις κολώνεια.

Τοῦ αὐτοῦ. Στοχαζόμενοι τουτέστι, τῷ καὶ Παῦλον ἰδεῖν καὶ μηδένα ἕτερον τὸ ὅραμα, καὶ τῷ κωλυθῆναι ὑπὸ τοῦ Πνεύματος, καὶ τῷ πρὸς τοῖς ὁρίοις εἶναι· ἀπὸ τούτων ἁπάντων πάντα συνῆγον· τουτέστι καὶ ὁ πλοῦς τοῦτο ἐνέφαινεν, οὐ γὰρ ἐγένετο βραδυτής· εἰς αὐτὴν τὴν ῥίζαν τῆς Μακεδονίας ἐγένοντο· οὐκ ἂν εἰ κατὰ παροξυσμὸν ἐνήργησε τὸ Πνεῦμα τὸ Ἅγιον· ἡ δὲ τοσαύτη προκοπὴ σημεῖον τοῦ μὴ εἶναί τι ἀνθρώπινον· εἶτα λέγει καὶ τοὺς τόπους, ἅτε ἱστορίαν ἐξηγούμενος, καὶ δεικνὺς ποῦ ἐνεχρόνισεν· ἐν ταῖς μείζοσι δηλονότι, τὰς γὰρ ἄλλας παρείη· ἀξίωμά ἐστι πόλεως ἡ κολώνεια.

Ἀμμωνίου. Σημειωτέον ὅτι σὺν τῷ Παύλῳ ἦν ἐν ταῖς πόλεσι

ταύταις ὁ Λουκᾶς· ὡς ἐξ ὧν καὶ τὸ πρόσωπον ἑαυτοῦ συμπεριλαμβάνει, λέγων· "ἐζητήσαμεν, εὐθυδρομήσαμεν."

Ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας
13 τινάς· τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς
πόλεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ[e] εἶναι,

Τοῦ Χρυσοστόμου. *Ὅρα πάλιν τὸν Παῦλον Ἰουδαΐζοντα, καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τόπου.*

Ἀμμωνίου. "*Παρὰ ποταμὸν οὗ ἐνομίζετο προσευχῇ*[f] *εἶναι·*" *μᾶλλον μὴ οὔσης ἐκεῖ συναγωγῆς διὰ τὸ σπάνιον, παρὰ τὸν ποταμὸν ἔξω τῆς πόλεως λάθρα συνήγοντο οἱ δῆθεν θεοσεβεῖς.*

Τοῦ Χρυσοστόμου. *Οὐ γὰρ δὴ ἔνθα ἦν συναγωγὴ μόνον, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες· ἅτε σωματικώτεροι ὄντες Ἰουδαῖοι, καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων, ὅτε καὶ ὄχλον εἰκὸς συνελθεῖν.*

Καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί.

Τοῦ Χρυσοστόμου. *Ὅρα τὸ ἄτυφον πάλιν· γυνὴ καὶ ταπεινὴ αὕτη καὶ ἀπὸ τῆς τέχνης· ἀλλ' ὅρα φιλόσοφον γυναῖκα· πρῶτον αὕτη ἐμαρτύρησε τὸ τὸν Θεὸν καλέσαι αὐτήν· ὅρα δὲ πῶς οὐκ αἰσχύνεται τὰ ἐπιτηδεύματα ὁ τὴν ἱστορίαν γράφων· ἅτε δὴ καὶ ἀργίας οὔσης μᾶλλον προσεῖχον τοῖς λεγομένοις· καὶ οὐδὲ ἡ πόλις αὕτη μεγάλη ἡ τῶν Φιλιππησίων· ταῦτα δὴ μαθόντας καὶ ἡμεῖς, μηδένα ἐπαισχυνώμεθα· παρὰ βυρσεῖ μένει Πέτρος, παρὰ πορφυροπώλιδι ὁ Παῦλος καὶ ξένῃ· ποῦ ὁ τύφος; ἄρα τοῦ Θεοῦ δεόμεθα ὥστε ἀνοῖξαι καρδίαν· ὁ Θεὸς ἀνοίγει καρδίας τὰς βουλομένας· ἔστι γὰρ πεπωρωμένας ἰδεῖν· τὸ μὲν ἀνοῖξαι τοῦ Θεοῦ ἦν, τὸ δὲ προσέχειν, αὐτῆς· ὥστε καὶ θεῖον καὶ ἀνθρώπινον ἦν· "ἔξω τῆς πόλεως·" ἐπιτήδειος ἦν ὁ τόπος πρὸς τὴν ἀκρόασιν, πειρασμῶν ἀπηλλαγμένος καὶ κινδύνων.*

14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως
Θυατείρων, σεβομένη τὸν Θεὸν, ἤκουεν·

Ἀμμωνίου. *Σημειωτέον ὅτι δεῖ πρῶτον τὰς κατηχήσεις γίνεσθαι· καὶ ὅταν δέξωνται τὸν λόγον οἱ ἀκούοντες, τότε ἐπιφέρειν καὶ τὸ βάπτισμα. εἰ δέ τις τολμήσειεν εἰπεῖν, ὅτι ἰδοὺ ὃν βούλε-*

[e] προσευχῇ Cod. [f] Sic.

ται ὁ Θεὸς σώζει· ὃν γὰρ θέλει ἐλεεῖ· καὶ οὗ θέλει, διανοίγει τὴν καρδίαν· ὡς ζητῶν αὐτῷ τὴν αἰτίαν περιάψαι τοῦ σώζεσθαι ἡμᾶς ἢ μὴ σώζεσθαι· ἵνα αἴτιον εἶναι τὸν Θεὸν φήσωσιν· ὅρα γάρ, φησι, πῶς διήνοιξε τὴν καρδίαν τῆς Λυδίας. πρὸς ὃν δεῖ εἰπεῖν· "ἐρευνᾶτε τὰς γραφάς·" ὁ γὰρ μὴ ἐρευνῶν οὐκ εὑρίσκει τὸ ζητούμενον· τί οὖν φαμεν Θεοῦ χάριτι, ὃ ἐπὶ τοῦ Κορνηλίου ἐλέχθη; ὅτι ἐκείνοις ἀνοίγει θύραν ὁ Θεὸς τοῖς θεοσεβῶς μὲν ζῶσι, πλανωμένοις δὲ περὶ τὴν πίστιν, διὰ τὴν πατροπαράδοτον κακοπιστίαν· ἰδοὺ γὰρ καὶ αὐτὴ ἔσεβε μὲν τὸν Θεόν, ἠγνόει δὲ τὸ πῶς δεῖ σωθῆναι, ὅπερ αὐτῇ ὁ Κύριος ἀνεπλήρωσε διὰ τῆς ἀληθοῦς διδασκαλίας· ὡς τὸ ῥητόν φησι, "σεβομένη τὸν Θεόν·" ἐκ δὲ τοῦ ἐναντίου, ὅταν ὁ Θεὸς οὐκ ἀνοίγῃ καρδίαν τινός, διὰ τοῦτο οὐκ ἀνοίγει, ἐπεὶ ἄθεός ἐστι, καὶ εἰς μάτην δέχεται τοὺς λόγους· κἂν γὰρ δι' ἐναργῶν ἀποδείξεων συστήσῃ τις τὸν θεῖον λόγον, ὥσπερ καὶ οἱ Ἀπόστολοι διὰ σημείων καὶ τεράτων· ἀλλ' οὖν δουλεύειν θέλων τοῖς ἑαυτοῦ πάθεσι καὶ κακίᾳ, ἀποτρέπεται τὸν λόγον· αὐτὸς ἑαυτῷ αἴτιος γενόμενος· οὐδέποτε γὰρ ὁ Θεὸς συνεργεῖ τινι εἰς κακόν· ἀλλ' εἰς μὲν τὰ καλὰ διὰ τὴν αὐτοῦ φιλαγαθίαν συνευδοκεῖ· ἐπὶ δὲ κακῶν, συγχωρεῖ πορεύεσθαι ἕκαστον ἐν τοῖς ἐπιθυμήσασιν αὐτοῦ· πρὸς ὃ οὖν θέλει τις ζῇ.

Ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

Τοῦ Χρυσοστόμου. Οὐκ ἄρα οἱ Ἀπόστολοι ἦσαν οἱ κατορθοῦντες, ἀλλ' ἡ προοδοποιοῦσα χάρις αὐτοῖς· ἐκείνων μὲν γὰρ ἦν τὸ περιιέναι καὶ κηρύττειν, τὸ δὲ πείθειν τοῦ ἐνεργοῦντος αὐτοῖς Θεοῦ· καθὼς καὶ ὁ Λουκᾶς, ὅτι φησὶ "διήνοιξε τὴν καρδίαν αὐτῶν." καὶ πάλιν, "οἷς ἦν δεδομένον ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ."

15 Ὡς δὲ ἐβαπτίσθη, αὐτὴ καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα,

Σκοπεῖ πῶς ἅπαντας ἔπεισεν· εἶτα βλέπε σύνεσιν, πῶς δυσωπεῖ τοὺς Ἀποστόλους· πόσης ταπεινότητος γέμει τὰ ῥήματα, πόσης σοφίας.

Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε· καὶ παρεβιάσατο ἡμᾶς.

Οὐδὲν δὲ ἐντρεπτικώτερον· τίνα οὐκ ἂν ἐμάλαξε ταῦτα τὰ ῥήματα; οὐκ ἠξίωσεν, οὐ παρεκάλεσεν ἁπλῶς, ἀλλ᾽ αὐτοὺς ἀφῆκε κυρίους εἶναι, καὶ ἠνάγκασε σφοδρῶς· "καὶ παρεβιάσατο ἡμᾶς" τούτοις τοῖς ῥήμασι· Καὶ ἑτέρως πάλιν. Ὅρα γὰρ πῶς εὐθέως καρποφορεῖ· κέρδος ἡγεῖται μέγα· τουτέστιν ὅτι ἐκρίνατε δῆλον, ἐγχειρίσαντές μοι τοιαῦτα μυστήρια· καὶ οὐκ ἐτόλμησε πρὸ τούτου καλέσαι· διατί δὲ οὐκ ἐβούλοντο οἱ περὶ Παῦλον, ὡς καὶ βιασθῆναι αὐτούς; ἤτοι ἐκείνην[g] ἐκκαλούμενοι εἰς μείζονα προθυμίαν· ἢ ἐπειδὴ ἔλεγεν ὁ Χριστὸς, "τίς ἐστιν ἄξιος ἐρωτήσατε, καὶ "ἐκεῖ μείνατε·" ἀλλὰ δι᾽ οἰκονομίαν ἐποίουν· καὶ ἐβαπτίσθη, καὶ δέχεται τοὺς Ἀποστόλους μετὰ τοσαύτης ἱκετηρίας· μετὰ πλειόνος ἢ ὁ Ἀβραάμ· καὶ οὐκ εἶπεν οὐδὲν ἄλλο τεκμήριον, ἀλλ᾽ ἐκεῖνο ἀφ᾽ οὗ ἐσώθη· οὐκ εἶπεν εἰ μεγάλην γυναῖκα, εἰ εὐλαβῆ κεκρίκατέ με, ἀλλὰ πιστὴν τῷ Κυρίῳ· εἰ τῷ Κυρίῳ, πολλῷ μᾶλλον ὑμῖν.

16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς τὴν προσευχὴν, παιδίσκην τινὰ, ἔχουσαν πνεῦμα Πύθωνος, ὑπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς, μαντευομένη.

Τοῦ Χρυσοστόμου. Εἰπὲ δή μοι τίς οὗτος ἐστὶν ὁ δαίμων· θεός, φησι, Πύθων· ἀπὸ τοῦ τόπου οὗτος λέγεται· ὁρᾷς ὅτι καὶ ὁ Ἀπόλλων δαίμων ἐστί· καὶ ἐβούλετο εἰς πειρασμοὺς αὐτοὺς ἐμβαλεῖν, ὥστε παροξῦναι· ὦ μιαρὲ καὶ παμμίαρε, εἰ τοίνυν οἶδας ὅτι ὁδὸν σωτηρίας καταγγέλλουσι, τί μὴ ἐξίστασαι ἐκείνων; ἀλλ᾽ ὅπερ Σίμων ἐβούλετο λέγων, "δότε μοι, ᾧ ἂν ἐπιθῶ τὰς "χεῖρας, λαμβάνῃ Πνεῦμα Ἅγιον," τοῦτο καὶ οὗτος ἐποίει, ἐπειδὴ εἶδεν εὐδοκιμοῦντας· οὐδὲ ὑποκρίνεται· ταύτῃ προσεδόκησεν αὐτὸν ἀφίεσθαι ἐν τῷ στόματι, εἰ τὰ αὐτὰ κηρύξειεν· εἰ δὲ παρὰ ἀνθρώπου οὐ λαμβάνει τὴν μαρτυρίαν ὁ Χριστὸς Ἰωάννου λέγων, πολλῷ μᾶλλον παρὰ δαίμονος· οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ· τὸ γὰρ κηρύττειν οὐκ ἀνθρώπων, ἀλλὰ Πνεύματός ἐστιν Ἁγίου.

Τοῦ αὐτοῦ ἐκ τῆς κθ´ ὁμιλίας τῆς α´ εἰς τοὺς[h] Κορινθίους ἐπιστολῆς. Λέγεται ἡ Πυθία αὕτη γυνή τις οὖσα ἐπικα-

g Sic. h τῆς $\overset{\text{τ`}}{\text{εἰς}}$ ᾱ $\overset{\text{θ´}}{\text{Κοριν}}$. Cod.

θῆσαι τῷ τρίποδι τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον· καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαλυόμενον μορίων, πληροῦν τὴν γυναῖκα τῆς μανίας· καὶ ταύτην τὰς τρίχας λύουσαν, λοιπὸν βακχεύεσθαί τε καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παροινίᾳ[i] γενομένην, τὰ τῆς μανίας φθέγγεσθαι ῥήματα· οἶδα ὅτι ᾐσχύνθητε καὶ ἠρυθριάσατε ταῦτα ἀκούσαντες· ἀλλ' ἐκεῖνοι καὶ μέγα φρονοῦσι, καὶ διὰ τὴν ἀσχημοσύνην καὶ διὰ τὴν μανίαν ταύτην.

ΔΙΔΥΜΟΥ. Περὶ τοῦ καλουμένου Πυθῶνος μαντικοῦ πνεύματος ἐρεῖ τις, ὡς οὐκ εἴη πονηρὸν οὐδὲ ἀκάθαρτον· οὐδὲν γὰρ περὶ αὐτοῦ γέγραπται τοιοῦτον· προσχρώμενος τῇ μαρτυρίᾳ αὐτοῦ, ᾗ εἶπε περὶ Παύλου καὶ τῶν συνόντων· φησὶ γάρ, "οὗτοι οἱ ἄνθρωποι "δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί·" πῶς γὰρ πονηρόν, τὸ οὕτω διακείμενον περὶ θείων ἀνδρῶν, καὶ γινῶσκον πῶς καταγγέλλουσιν· ἕτερος δὲ πᾶσαν τὴν κατάθεσιν τὴν πρὸς τὰ χρηστήρια καὶ μαντεῖα ἀπαγορεύων ἐρεῖ· οὐ σπουδαῖον πνεῦμα τὸ ἐπὶ μισθῷ μαντευόμενον· εἴπερ γὰρ ἦν τοιοῦτον, κἂν συνεχώρει Παῦλος πείθοντι παραδέχεσθαι τὴν τῆς σωτηρίας ὁδόν· ἀλλ' οὐ συνεχώρησε· στραφεὶς γὰρ πρὸς τὴν παιδίσκην πότερον[k] διαπονηθείς, εἶπε τῷ πνεύματι ἐξελθεῖν ἀπ' αὐτῆς· πειστέον τῶν τὰς φύσεις εἰσαγόντων; τί ἐροῦσι περὶ τῶν οὕτως ἐχόντων πνευμάτων, ἃ ἐκ τοῦ φανεροῦ οὔτε πονηρὰ οὔτε ἀστεῖα φαίνεται; ἡμᾶς γὰρ οὐ θλίψει προσάπτοντας προαίρεσιν πᾶσι τοῖς λογικοῖς, καθ' ἣν ἄνεσις καὶ ἐπίτασις γίνεσθαι ἀρετῶν τε καὶ κακιῶν· πρέπει δὲ μᾶλλον τὸ νομίζειν πᾶν μαντικὸν Πνεῦμα φαῦλον εἶναι· διὸ καὶ κωλύει ἡ θεόπνευστος γραφὴ καθόλου τὴν μαντίαν, ὡς οὐκ ἐπὶ καλοῦ γινομένην· εὑρεῖν οὖν ἐστιν ἐνδιαπίπτοντας ἐπὶ πολλῶν τοὺς μαντικοὺς δαίμονας· ὡς ἐπὶ τῷ Πυθωνίῳ πνεύματι διαπονηθεὶς Παῦλος, ἐξέβαλεν αὐτὸ τῆς ἀνθρώπου· ἅμα κἀκείνην ἐλευθερῶν τῆς κατεχούσης μανίας, καὶ δεικνὺς ὡς οὐ πρέπουσα μαρτυρία ἡ ἀπὸ πονηρῶν τοῖς κήρυξι τῆς ἀληθείας· δεδιέναι γὰρ ἐπέρχεται, μὴ συναρπάσαντες οἱ τοιοῦτοι δαίμονες, δι' ὧν εἰρήκασιν ἀληθῶς, τοὺς εὐχερεῖς τῶν ἀνθρώπων, ψευδῆ τινα καὶ πονηρὰ καταμίξαντες τῇ μαρτυρίᾳ, πιστευθέντες, μεγίστης βλάβης αἴτιοι γένωνται· διὸ

[i] παραινῖα Cod. [k] Sic.

οὐδὲ τοῖς αἱρετικοῖς προσεκτέον ῥητὰ γραφικὰ προφέρουσι· βλάπτουσι γὰρ μᾶλλον ἢ ὠφελοῦσι προφέροντες τὰ οἷς οὐ πιστεύουσιν ὡς θεῖα.

17 *Αὕτη κατακολουθοῦσα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας.*

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. *Γνῶθι σαφῶς ὅτι καὶ δαίμονες ἴσασι Θεὸν ὕψιστον ὄντα Ἰησοῦν τὸν ἐσταυρώμενον· τούτου γὰρ δοῦλος ὑπάρχων ὁ Παῦλος διαβεβαιοῦται λέγων· "Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ."*

ἈΜΜΩΝΊΟΥ. *Τὸ τῆς Πυθοῦς πνεῦμα μαντείας ἐποίει· διὰ δὲ τοῦτο Πυθῶνος πνεῦμα ἐκαλεῖτο· ἐπειδὴ ἡ Πυθία, ἤτοι ὁ ἐν τῇ Πυθίᾳ δαίμων Ἀπόλλων καλούμενος, ἐμαντεύετο· καὶ ἠπάτα τοὺς ἀνθρώπους, λέγων αὐτοῖς τὰ γεγενημένα· οὐδὲν γὰρ ἦν δυσχερὲς τῷ δαίμονι ἰδεῖν τὰ γενόμενα ἐν Ῥώμῃ σήμερον, καὶ εὐθὺς ἀπαγγεῖλαι αὐτά· ὃ καὶ ἐποίησε τῷ Κροίσῳ, ἤτοι τοῖς ὑπὲρ αὐτοῦ μαντευομένοις, ἡνίκα ἐπείραζεν αὐτὸν ὁ Κροῖσος διὰ τῶν εἰς τὴν Πυθίαν ὄντων, τί ποιεῖ σήμερον ὁ Κροῖσος· καὶ ἀκόπως ὁρῶν τὰ ἐν Λυδίᾳ, ἤρχετο εὐθὺς ἐν τῇ Πυθίᾳ, καὶ ἀπήγγελλεν αὐτοῖς· ἔλεγεν οὖν περὶ τῶν παρελθόντων εὐχερῶς. πολλάκις δὲ καὶ περὶ τῶν μελλόντων ἔλεγε στοχασμῷ, ὥσπερ τοῦ Κύρου, ὁρῶν αὐτοῦ τὴν ἀρχικὴν ἕξιν, καὶ τὴν μεγαλοφυΐαν ἐκ παιδός· οὐδὲν οὖν δυσχερὲς τῷ δαίμονι ἀσωμάτῳ ὄντι ὁρᾶν τὰ πόρρω ὄντα, καὶ ἀπατᾶν τοὺς ἀνθρώπους ἐν οἷς ἐζήτουν μαντεύεσθαι· ὅπουγε ὡς ἐπὶ τὸ πλεῖστον περὶ τῶν παρελθόντων ἢ ὄντων ἐρωτῶσιν οἱ ἀφερέπονοι, καὶ πάντα ὡς ἐὰν παραστῇ ποιοῦντες, ἐρωτῶντες περὶ ἀπολλομένων πραγμάτων ἢ περὶ ἀπόντων· ἄρα ζῇ ὁ ὢν ἐν τῇδε τῇ πόλει ἀπόδημος; ὅ, ὡς εἶπον, εὔκολον ἦν εἰπεῖν τῷ δαίμονι, ἢ δι' ἀνδρὸς ἢ διὰ γυναικὸς δι' αὐτῶν λαλῶν· ἀμέλει γοῦν καὶ ἕως νῦν τινὲς τοὺς δαιμονῶντας, ἐν τῷ καιρῷ καθ' ὃν ἐπιτίθενται τοῖς ἀνθρώποις, πειρῶνται ἐπερωτᾶν τινὰ, ὅπερ ἐστὶν ἄθεον· σημειωτέον δὲ ὅτι καὶ διὰ τῶν δαιμόνων οἷς ἐπίστευον οἱ Ἕλληνες ἐκηρύττετο ὁ Χριστός· καὶ αὐτῶν διαμαρτυρουμένων καὶ λεγόντων, ὅτι οἱ Ἀπόστολοι δοῦλοί εἰσι τοῦ Θεοῦ· καὶ σωτήριόν ἐστι τὸ παρ' αὐτῶν κήρυγμα· καὶ ὅτι Θεὸς ὁ Ἰησοῦς, οὐ ψιλὸς ἄνθρωπος· τοῦτο γὰρ ἦν τὸ κήρυγμα τῶν περὶ*

Σίλαν καὶ Παῦλον· ἁρμόζει δὲ κατὰ Νεστοριανῶν καὶ Παυλιανιστῶν· ὅτε δὲ διεμαρτύρατο πολλάκις ὁ δαίμων, ὅτι τὸ κηρύγμα τῶν Ἀποστόλων σώζει· τότε καὶ ὁ Παῦλος ἐξέβαλεν αὐτόν· ἵνα δείξῃ τοῖς αὐτὸν[k] πιστεύουσιν, ὅτι ἰσχυρότερος αὐτοῦ ἦν πᾶς πιστὸς, καὶ ἐξουσίαν εἶχεν ὡς ὑποταγέντα αὐτῷ τὸν δαίμονα συγχωρῆσαι μένειν καὶ ἀπολῦσαι· ὅρα δὲ πῶς ἐνήργησε τῶν Χριστοῦ δούλων ὁ λόγος· ὅτι εὐθὺς ἅμα τῇ κελεύσει αὐτῶν τὰ δαιμόνια ἐξῄει.

18 Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε, παραγγέλλω σοι, ἐν ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ' αὐτῆς· καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

Τοῦ Χρυσοστόμου. Τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ ὁ Παῦλος ἐκώλυσε; κἀκεῖνος κακούργως ἐποίει, καὶ οὗτος συνετῶς· ἐβούλετο λοιπὸν ἀξιόπιστον ἑαυτὸν ποιεῖν· εἰ γὰρ προσηκάτο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ' ἐκείνου δεχθείς· διὰ τοῦτο ἀνέχεται καθ' ἑαυτοῦ εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ ἑαυτοῦ, καὶ αὐτὸς συγκαταβάσει κέχρηται πρὸς τὴν ἀπώλειαν. τὸ μὲν οὖν πρῶτον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἁπλῶς ἑαυτὸν ἐπιρρίπτειν τοῖς σημείοις· ὡς δὲ ἐπέμενε τοῦτο ποιῶν, καὶ τὸ ἔργον ἐδείκνυ, τότε ἐκέλευσεν αὐτὸ ἐξελθεῖν. Καὶ μετ' ὀλίγα— "Διαπονηθεὶς δὲ ὁ Παῦλος," τουτέστι τὴν κακουργίαν εἶδε τοῦ δαίμονος, καθὼς αὐτὸς λέγει· "οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν."

Σευήρου ἀπὸ[l] Ἐξέβαλε τὸ πνεῦμα ὁ Ἀπόστολος, ἅμα κἀκείνην ἐλευθερῶν τῆς κατεχούσης μανίας, καὶ δεικνὺς ὡς οὐ πρέπουσα μαρτυρία τοῖς κήρυξι τῆς ἀληθείας ἡ ἀπὸ πονηρῶν πνευμάτων. πρὸς δὲ τούτοις ἐδεδοίκει, μὴ συναρπάσαντες οἱ τοιοῦτοι δαίμονες τοὺς εὐχερεῖς τῶν ἀνθρώπων δι' ὧν εἰρήκασι τἀληθῆ, ψευδῆ τινὰ καὶ πονηρὰ καταμίξαντες τῇ μαρτυρίᾳ, πιστευθέντες ὡς πάλιν ἀληθεύοντες, μεγίστης βλάβης αἴτιοι γένωνται τοῖς πολλοῖς.

[k] Sic.

[l] Hæc rec. man. add. sed in marg. ead. m. ἀνξανε (π superscr.). quod vult ἐξ ἀνεπιγράφου. Hoc et verum esse, similitudo eorum, quæ paulo ante excerpta sunt e Didymo, cum his, demonstrare videtur. Nam hi duo sæpissime quadrant; et alterum e Didymo sua mutuare, potius crediderim.

Ὥσπερ σκολιὸς ποὺς ὀρθῷ ὑποδήματι οὐκ ἐναρμόζεται, οὕτως οὐδὲ καρδίαις ἐνδιαστρόφοις ἡ αἴνεσις τοῦ Θεοῦ ἐπιτρέπει· διὰ τοῦτο οἶμαι, ὡς οὐ πρέποντος τῷ στόματι τῶν δαιμόνων τοῦ περὶ τοῦ Σωτῆρος λόγου, ἀφαιρεῖται αὐτῶν τὴν ἐξουσίαν, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσι· καὶ τῷ Πύθωνι ὁ Παῦλος ἐπιτιμᾷ, ἵνα μὴ ἀπὸ ἀκαθάρτου ἅγος συνίσταται.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς
ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σί-
λαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας.

Τοῦ Χρυσοστόμου. Πανταχοῦ τὰ χρήματα αἴτια τῶν κακῶν· ὢ τῆς ὠμότητος τῆς Ἑλληνικῆς· ἐβούλοντο δαιμονᾶν τὸ κοράσιον ὥστε χρηματίζεσθαι.

20 Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον,
οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰου-
21 δαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξ-
εστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσι.

Τοῦ αὐτοῦ. Τί λέγεις; πείθῃ τῷ δαίμονι; διατί οὖν οὐχὶ καὶ ἐνταῦθα ἐκεῖνος λέγει, ὅτι "δοῦλοι Θεοῦ τοῦ ὑψίστου;" σὺ λέγεις, ὅτι "ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν·" ἐκεῖνος λέγει, ὅτι καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας· σὺ λέγεις, παραδιδόασιν ἡμῶν ἔθη, ἃ οὐκ ἔξεστι παραδέχεσθαι· ὅρα οὐδὲ τῷ δαίμονι προσέχοντας, ἀλλὰ πρὸς ἓν ὁρῶντας τὴν φιλαργυρίαν.

22 Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, καὶ οἱ στρατη-
γοὶ, περιρρήξαντες αὐτῶν τὰ ἱμάτια, ἐκέλευον ῥαβδί-
ζειν·

Τοῦ αὐτοῦ. Ὁ μὲν οὖν Παῦλος τὸ πᾶν εἰργάσατο, καὶ τὰ θαύματα καὶ τὴν διδασκαλίαν· τῶν δὲ κινδύνων καὶ ὁ Σίλας κοινωνεῖ. Καὶ μετ' ὀλίγα—Διατί μὴ εἶπον ὅτι τὸν δαίμονα ἐξέβαλον; εἰς Θεὸν ἠσέβησαν· ἧττα γὰρ αὐτοῖς ἦν· ἀλλ' ἐπὶ καθοσίωσιν τρέπονται, ὡς Ἰουδαῖοι λέγοντες· "οὐκ ἔχομεν βασιλέα εἰ "μὴ Καίσαρα."

23 Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς

φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι, ἀσφαλῶς τηρεῖν αὐτούς·

Τοῦ αὐτοῦ. Ὅρα δὲ αὐτοὺς οὐκ ἀποκρινομένους, οὐδὲ ἀπολογουμένους, ἵνα μείζονος θαύματος αἴτιοι γένωνται· ὅταν γάρ φησιν ἀσθενῶ, τότε δυνατός εἰμι· "ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ "δύναμίς μου, ἐν ἀσθενείᾳ τελειοῦται·" ὥστε καὶ ἐπιεικείας θαυμασθῆναι αὐτούς.

Ἀμμωνίου. "Παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τη- "ρεῖν αὐτούς·" ὥστε οὖν εἰδότες αὐτῶν τὴν δύναμιν ἐφρεναπάτουν ἑαυτοὺς λέγοντες, ὅτι ἀσφαλῶς αὐτοὺς τηρεῖ· καὶ ἐμαρτύρουν καὶ αὐτοὶ, ὅτι οὐκ ἦσαν οἱ τυχόντες ἄνθρωποι, ἀλλὰ μεγάλοι τινὲς, ἐξουσίαν ἔχοντες ποιεῖν ὃ θέλουσι διὰ τοῦ Κυρίου.

24 Ὃς παραγγελίαν ταύτην λαβὼν, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν,

Τοῦ Χρυσοστόμου. Καὶ τοῦτο αὐτὸ οἰκονομικῶς· ἐπειδὴ θαῦμα μέλλει γενέσθαι μέγα· ἐπιτήδειος ὁ τόπος πρὸς τὴν ἀκρόασιν· ὅσῳ ἀκριβεστέρα ἡ φυλακὴ γίνεται, τοσούτῳ τὸ θαῦμα λαμπρότερον.

Καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον.

Τοῦ αὐτοῦ. Ὡς ἂν εἴποι τις, εἰς τὸ ἔργον· πόσων ταῦτα δακρύων ἄξια; οἷα μὲν ἔπαθον ἐκεῖνοι· ἡμεῖς δὲ ἐν τρυφῇ· ἡμεῖς δὲ ἐν θεάτροις· ἡμεῖς δὲ ἀπολλύμεθα καὶ καταποντιζόμεθα, ἄνεσιν ζητοῦντες πανταχοῦ, οὐδὲ μέχρι ῥημάτων διὰ τὸν Χριστὸν ἀνεχόμενοι λυπηθῆναι, οὐδὲ μέχρι λόγου.

* Περὶ τοῦ συμβάντος ἐκεῖ σεισμοῦ καὶ θαύματος, καὶ ὅπως πιστεύσας ὁ εἱρκτοφύλαξ, ἐν αὐτῇ τῇ νυκτὶ ἐβαπτίσθη πανέστιος.

25 Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν· ἐπηκρόωντο δὲ αὐτῶν οἱ δέσμιοι.

Τοῦ αὐτοῦ. Τί τούτων ἴσον γένοιτ' ἂν τῶν ψυχῶν; ἐμαστίχθησαν πολλὰς πληγὰς λαβόντες, ὑβρίσθησαν, περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, εἰς τὸ ξύλον ἦσαν ἐμβεβλημένοι, καὶ οὐδὲ οὕτω καθεύδειν ἠνείχοντο, ἀλλ' ἐπαννύχιζον· ὁρᾶτε ὅσον ἡ θλίψις ἀγαθόν·

ἡμεῖς ἐπὶ ἁπαλοῖς ὄντες στρώμασιν, οὐδένα δεδοικότες, ὅλην τὴν νυκτὰ καθεύδομεν· τάχα διὰ τοῦτο ἐπαννύχιζον, ἐπειδὴ ἐν τούτοις ἦσαν· οὐχ ἡ τοῦ ὕπνου τυραννὶς αὐτοὺς εἷλεν· οὐχ ἡ ἀλγηδὼν ἔκαμψεν· οὐχ ὁ φόβος εἰς ἀπορίαν ἐνέβαλεν· ἀλλὰ ταῦτα δὴ μᾶλλον ἦν τὰ διεγείροντα αὐτούς.

Τοῦ αὐτοῦ. *Τίνος ἕνεκεν μεσονύκτιον τὸ πρᾶγμα γέγονε; τίνος δὲ καὶ μετὰ σεισμοῦ; ἀκούσατε Θεοῦ οἰκονομίαν καὶ θαυμάσατε· πάντων τὰ δεσμὰ ἐλύθη, καὶ αἱ θύραι ἀνεῴγησαν· ἀλλὰ τοῦτο μόνον διὰ τὸν δεσμοφύλακα γέγονεν· οὐ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν· ὅτι γὰρ οὐκ ᾔδεσαν οἱ δεσμῶται ὅτι λελυμένοι εἰσὶ, δῆλον ἀπὸ τῆς φωνῆς Παύλου· τί γάρ φησιν; ἐφώνησε φωνῇ μεγάλῃ λέγων· " μηδὲν πράξῃς σεαυτῷ κακόν· πάντες γὰρ ἐσμὲν " ἐνθάδε·" οὐκ ἂν δὲ πάντες ἦσαν ἔνδον, εἰ εἶδον τὰς θύρας ἀνεῳγμένας καὶ ἑαυτοὺς λελυμένους· οἱ γὰρ τοίχους διατεμόντες, καὶ ὀρόφους καὶ θριγκία ὑπερβαίνοντες, καὶ πάντα τολμῶντες μετὰ δεσμῶν, οὐκ ἂν ἐκαρτέρησαν, καὶ τῶν δεσμῶν λελυμένων, καὶ τῶν θυρῶν ἀνεῳγμένων, ἔνδον μένειν· καὶ τοῦ δεσμοφύλακος καθεύδοντος αὐτοῦ.* Καὶ μετ' ὀλίγα—*Οἱ δεδεμένοι ἐν νυκτὶ δεσμοῦνται, οὐκ ἐν ἡμέρᾳ· μετὰ πολλῆς οὖν τῆς σπουδῆς ἦν ἰδεῖν λελυμένους πάλιν καὶ καθεύδοντας· εἰ δὲ ἐν ἡμέρᾳ ἐγένετο ταῦτα, πολὺς ἂν ἐγένετο θόρυβος· τίνος οὖν ἕνεκεν καὶ ἐσείσθη τὸ οἴκημα; ὥστε διαναστῆναι τὸν δεσμοφύλακα ἐπὶ τὴν τοῦ πράγματος θέαν· οὗτος γὰρ ἦν ἄξιος τῆς σωτηρίας μόνος.*

Ἀμμωνίου. *Τῷ ψαλμῳδῷ πειθόμενοι λέγοντι· " μεσονύκτιον " ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐποίουν τοῦτο."*

Σευήρου ἐκ τοῦ κατὰ τῆς διαθήκης Λαμπετίου συντάγματος. *Ἰδοὺ σαφῶς φησι τὸ γράμμα τὸ ἱερὸν, ὅτι καὶ ὕμνουν· καὶ οὐκ ἐν καρδίᾳ μόνον, ἀλλὰ ὥστε καὶ ἐξακούεσθαι, κατὰ τὸ ἐν Ψαλμοῖς[1] εἰρημένον· " φωνῇ μου πρὸς τὸν Κύριον ἔκραξα· " φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην·" μετὰ γὰρ τῆς μεγαλοφωνίας τῶν πράξεων δεῖ καὶ θυσίας αἰνέσεως ἀναφέρειν διὰ παντὸς τῷ Θεῷ· τουτέστι " καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ," καθὼς Παῦλός φησι· καὶ Δαβὶδ δὲ τὸ αὐτὸ τοῦτο δηλῶν, λέγει· " αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον· καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσο-*

[1] ἐμψαλμοῖς Cod.

"μαι·" τὰ γὰρ τοῦ Πνεύματος λόγια διὰ τοῦ στόματος ᾄδοντες, τὴν βλάβην τῶν δαιμόνων ἐκκλίνομεν, τῶν ἐχθρῶν τῆς ἡμετέρας ζωῆς· δραπετεύουσι γὰρ ὥσπερ βέλεσι βαλλόμενοι τοῖς ψαλμοῖς, οὕτω γὰρ καὶ ὁ ἅγιος Βασίλειος· "ψαλμὸς δαιμόνων φυγαδευτήριον· τῆς τῶν ἀγγέλων βοηθείας ἐπαγωγὸν ὅπλον ἐν φόβοις νυκτερίνοις." Καὶ μετ' ὀλίγα—"Εἰσαγομένων στοιχείωσις, προκοπτόντων αὔξησις, τελειουμένων στήριγμα."

26 Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι
τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἠνεῴχθησαν δὲ παρα-
χρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.
27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνε-
ῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαι-
ραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς
28 δεσμίους. ἐφώνησε δὲ ὁ Παῦλος φωνῇ μεγάλῃ, λέγων,
μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐν-
θάδε.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σεισμὸς ἐγένετο, ὥστε ἀφυπνισθῆναι ἐκεῖνον· αἱ θύραι ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονός· ταῦτα δὲ οἱ δεσμῶται οὐχ ἑώρων· ἢ γὰρ ἂν ἔφυγον ἅπαντες. Καὶ μετ' ὀλίγα—Ἐθαύμασε Παῦλον· τὴν φιλανθρωπίαν Παύλου ἐξεπλάγη, τὴν ἀνδρίαν, ὅτι καὶ φυγεῖν δυνάμενος οὐκ ἔφυγεν· ὅτι καὶ αὐτὸν ἐκώλυσε τῆς σφαγῆς. διατί δὲ μὴ ἄλλο σημεῖον γέγονεν; ὅτι μάλιστα τοῦτο αὐτὸν ἐφειλκύσατο, ἱκανὸν πεῖσαι, ὅπουγε καὶ αὐτὸς ἐκινδύνευσεν· οὐ γὰρ οὕτως τὰ θαύματα ἡμᾶς αἱρεῖ, ὡς τὰ εἰς ἡμετέραν σωτηρίαν ἥκοντα· ἵνα μὴ δόξῃ ἀπὸ ταυτομάτου γεγενῆσθαι ὁ σεισμός· ἐπηκολούθησε καὶ τοῦτο ἐκείνῳ μαρτύρουν· καὶ ἐν νυκτὶ φαίνεται· οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν ἐποίουν· οὐκ ἦν πονηρὸς ὁ δεσμοφύλαξ.

ΤΟΥ ΑΥΤΟΥ. Ἔσεισε τὸ δεσμωτήριον, ἵνα σαλεύσῃ τῶν ἀπίστων τὴν διάνοιαν· ἵνα λύσῃ τὸν δεσμοφύλακα· καὶ ἵνα καταγγείλῃ τὸν λόγον τοῦ Θεοῦ. Καὶ πάλιν—Εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν· ὥσπερ γὰρ ὁ τοῦ Κυρίου θάνατος τὸν θάνατον ἐθανάτωσεν, οὕτω καὶ τὰ Παύλου δεσμὰ τοὺς δεσμώτας ἔλυσε, τὸ δεσμωτήριον ἔσεισε, τὰς θύρας ἀνέῳξε· καίτοι οὐκ αὐτὴ τῶν

δεσμῶν ἡ φύσις ἐστὶν, ἀλλ' ἡ ἐναντία κατέχειν ἐν ἀσφαλείᾳ τὸν δεδεμένον, οὐχὶ τοὺς τοίχους ἀνοίγειν αὐτῷ· ἀλλὰ τῶν μὲν δεσμῶν ἁπλῶς φύσις οὐκ ἔστιν αὕτη· δεσμῶν δὲ τῶν διὰ Χριστὸν αὕτη.

29 Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος γενόμε-
30 νος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ· καὶ προαγα-
γὼν αὐτοὺς ἔξω, εἶπε, Κύριοι, τί δεῖ με ποιεῖν ἵνα
σωθῶ;

ΤΟΥ ΑΥΤΟΥ. *Ὅρα αὐτὸν οὐκ ἐπειδὴ διεσώθη ἐπὶ τούτῳ στέργοντα· ἀλλὰ τὴν δύναμιν ἐκπλαγέντα· εἶδες τί ἐκεῖ γέγονε, καὶ τί ἐνταῦθα· ἐκεῖ παιδίσκη ἀπηλλάγη πνεύματος, καὶ εἰς δεσμωτήριον ἐνέβαλον αὐτοὺς, ὅτι ἠλευθέρωσαν αὐτὴν τοῦ δαίμονος· ἐνταῦθα ἔδειξαν θύρας ἀνεῳγυίας, καὶ ἤνοιξαν αὐτοῦ τῆς καρδίας τὰς θύρας· ἔλυσε δεσμὰ διπλᾶ· ἧψεν ἐκεῖνος τὸ φῶς· τὸ γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ φῶς ἔλαμπε· καὶ εἰσεπήδησε καὶ προσέπεσε· καὶ οὐκ ἐρωτᾷ πῶς τοῦτο γέγονεν, ἢ τί γέγονεν· ἀλλ' εὐθέως φησὶ, "τί δεῖ με ποιεῖν ἵνα σωθῶ;"*

ἈΜΜΩΝΊΟΥ. *Πάλιν ἔνθέν ἐστι στοχάσασθαι τὸ αὐτεξούσιον τῆς τῶν ἀνθρώπων πίστεως. ἰδοὺ γὰρ τοσούτου γενομένου φόβου μόνος ὁ δεσμοφύλαξ ἐπίστευσε· καίτοί γε ἔδει μάλιστα τοὺς δεσμώτας κινηθῆναι πρὸς τὸ πιστεῦσαι· ὅπού γε καὶ πλείονος ἐπειράσθησαν τῆς θαυματουργίας· ἄφνω τὰς σιδηρᾶς αὐτῶν χειροπέδας ἑωρακότες διαρρηχθείσας· ἀλλ' ἠλίθιοι ὄντες, πρὸς μὲν τὸ παρὸν ἐδειλίασαν, τῶν θεμελίων τῆς φρουρᾶς ἀνακινηθέντων καὶ τῶν θυρῶν ἀνεῳχθείσων· καταφρονηταὶ δὲ ὄντες τοῦ Θεοῦ, μετὰ τὸ πρᾶγμα τοσοῦτον ἐπελάθοντο τοῦ γεγονότος, ὥστε μηδὲ λαλῆσαι τῷ δεσμοφύλακι ἢ ἄλλῳ τινὶ τὸν γεγονότα φόβον· ἢ γὰρ ἂν ἤμελλον ὑπὸ τοῦ δεσμοφύλακος ἢ ὑπὸ τῶν περὶ Παῦλον ἀκοῦσαι τὸ αἴτιον τῆς θαυματουργίας, καὶ πολλάκις κατανυγῆναι εἰς θεοσέβειαν. ἡγοῦμαι δὲ καί τι τοιοῦτον γεγενῆσθαι καὶ ἐν ᾅδου, κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν κατῆλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ Λόγος κάτω, πρὸς ὀλίγον τοῦ θανάτου γευσάμενος· καὶ ἐσείσθησαν τὰ θεμέλια τῆς γῆς, καὶ πάντων τὰ δεσμὰ ἐλύθησαν· καὶ ὅσοι μὲν προσέδραμον τῷ Σωτῆρι καὶ ἐπίστευσαν*

εἰς αὐτὸν, ἐσώθησαν, ὡς ὁ δεσμοφύλαξ καὶ οἱ αὐτοῦ· ὅσοι δὲ ἀποπροσεποιήσαντο καὶ οὐκ ἀντεποιήσαντο τοῦ πολυπραγμονῆσαι τὸ παράδοξον τοῦ θαύματος, οὗτοι ἔμειναν πάλιν ἐν ᾅδου· ὥσπερ γὰρ οἱ περὶ Παῦλον ἐξῆλθον ἀπολυθέντες ἔω ἀπὸ τῆς φυλακῆς, οὕτω καὶ ὁ Χριστὸς ἔννυχος πρωίας ἀνελθὼν ἀπὸ τοῦ ᾅδου καὶ ἀπολυθεὶς, οὐ γὰρ ἦν[m] *αὐτὸν εἰκὸς, Θεὸν ὄντα, κρατεῖσθαι ὑπὸ τοῦ θανάτου, ἀνέστη, καὶ συντυχὼν τοῖς πιστοῖς αὐτοῦ μαθηταῖς, καὶ ταῖς περὶ Μαρίαν γυναιξὶν ἐν πρώτοις, καὶ παρακαλέσας αὐτοὺς καὶ παραθαρσύνας πρὸς τὴν πίστιν, καὶ λέγων, "θαρσεῖτε," ἀνελήφθη εἰς οὐρανοὺς, ἐνδημήσας πρὸς τὸν πατέρα ἑαυτοῦ τὸν Θεόν· οὕτω γὰρ καὶ οἱ περὶ Σίλαν ἐξελθόντες ἀπὸ τοῦ δεσμωτηρίου, καὶ συντυχόντες ταῖς περὶ Λυδίαν, καὶ τοῖς πιστοῖς ἀδελφοῖς, ἀπεδήμησαν. σημειωτέον δὲ ὅτι ἄνευ τοῦ πιστεῦσαι εἰς τὸν Ἰησοῦν, ἀδύνατον σωθῆναι· κἂν σώφρων τις ᾖ, κἂν κενόδοξος, κἂν πραῢς, κἂν εἴτι δήποτε ἕτερον εἴπῃς ἀρετῆς ἐχόμενον, διὰ τοὺς ψευδοφιλοσόφους, καὶ τοὺς Ἰουδαίους.*

31 Οἱ δὲ εἶπον, πιστεῦσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χρι-
32 στὸν, καὶ σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. καὶ ἐλάλη-
σαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, σὺν πᾶσι τοῖς ἐν τῇ
οἰκίᾳ αὐτοῦ.

Οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν, ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτὸν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργασάμενος.

Οὗτος ἐστὶν ὁ Στεφανᾶς, ὃν μνημονεύει Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ Ἐπιστολῇ.

33 Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς,
ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ
34 αὐτοῦ πάντες παραχρῆμα· ἀναγαγὼν δὲ αὐτοὺς εἰς τὸν
οἶκον παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικεὶ
πεπιστευκὼς τῷ Θεῷ.

Τοῦ Χρυσοστόμου. *Ἔλουσεν αὐτοὺς, καὶ ἐλούθη· ἐκείνους μὲν ἀπὸ τῶν πληγῶν ἔλουσεν, αὐτὸς δὲ ἀπὸ τῶν ἁμαρτιῶν ἐλούθη·*

[m] In marg. abscissa leg. add. rec. m. *σ̄′ ἔννυχ̀ ρωῖ ἀνελ^θ̀ τὸ τοῦ ᾅδου καὶ τολυθεὶς οὐ γὰρ ἦν.* hinc defectum supplevimus.

ἔθρεψε καὶ ἐτράφη· καὶ "ἠγαλλιάσατό," φησι, καίτοι οὐδὲν ἦν ἀλλὰ ῥήματα μόνον καὶ ἐλπίδες χρησταί· τοῦτο σημεῖον ἦν τοῦ πεπιστευκέναι, ὅτι πάντων ἀφείθη· τί δεσμοφύλακος χεῖρον; τί δὲ ἀγριώτερον; μετὰ πολλῆς αὐτὸν ὑπεδέξατο τῆς τιμῆς· οὐκ ἐπειδὴ ἐσώθη εὐφράνθη, ἀλλὰ "πεπιστευκὼς τῷ Κυρίῳ."

Τοῦ Αὐτοῦ. Ἀπὸ ἑνὸς σημείου προσέδραμε, καὶ ἐβαπτίσθη μετὰ τοῦ οἴκου αὐτοῦ παντός· τὸ μὲν γὰρ γεγονὸς σημεῖον· εἶδε μόνος αὐτὸς, τὸ δὲ κέρδος οὐ μόνος ἐκαρπώσατο, ἀλλὰ μετὰ τῆς γυναικὸς καὶ τοῦ οἴκου παντός· εἰ δὲ χρὴ εἰπεῖν Εὐοδίαν καὶ Συντύχην, τὴν μὲν γυναῖκα εἶναι τοῦ δεσμοφύλακος, τάχα καὶ αὐτὸν τὸν ἄνδρα.

Ἀμμωνίου. Ἰδοὺ πάλιν καὶ ὧδε προλαμβάνει ἡ κατήχησις τὸ βάπτισμα· διὸ τὸν τέλειον ἄνδρα, Ἕλληνα ὄντα καὶ ἔξω ἔχοντα, οὐκ ὀφείλει βαπτίζειν τις, ἐν ᾧ μὴ δύναται ἀκοῦσαι λόγον κατηχητικὸν καὶ καταδέξασθαι, μάλιστα εἰ μηδέποτε ἐμνήθη λόγων θείων· βλέπε δὲ ὅτι διὰ τὴν ἀνάγκην εὐθὺς μετὰ τὴν κατήχησιν ἐπηκολούθησε τὸ βάπτισμα· δέος γὰρ ἦν, μὴ διωχθέντος τοῦ δυναμένου βαπτίσαι, μείνῃ ἀμέτοχος τῆς ζωῆς ὁ βουλόμενος, διὰ τὸ μὴ εἶναι τὸν τοῦτο ποιοῦντα.

35 Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς
ῥαβδούχους, λέγοντες, ἀπόλυσον τοὺς ἄνδρας ἐκείνους·
36 ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους πρὸς τὸν
Παῦλον, ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπολυθῆτε·
νῦν οὖν ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ.

Τοῦ Χρυσοστόμου. Καὶ τῶν στρατηγῶν δηλωσάντων ὁ Παῦλος οὐκ ἐξέρχεται, ἀλλὰ καὶ διὰ τὴν Λυδίαν καὶ τοὺς ἀλλοφύλους φοβεῖ αὐτοὺς, ἵνα μὴ νομισθῶσιν ἠξιωκότες ἀπολελύσθαι· ἵνα καὶ τοὺς ἄλλους ἐν παρρησίᾳ καταστήσωσι· διπλοῦν, ἀγαπητοὶ, τὸ ἔγκλημα ἦν, ὅτι καὶ Ῥωμαίους, καὶ ἀκατακρίτους καὶ δημοσίᾳ· ὁρᾷς ὅτι καὶ ἀνθρώπινα κατεσκεύαζον πολλά.

Τοῦ Χρυσοστόμου. Καὶ αὐτοὶ οἱ στρατηγοὶ οἱ μαστίξαντες αὐτοὺς, εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες· τῷ τε εὐθέως πέμψαι καὶ ἀφεῖναι αὐτούς· καὶ τῷ φοβηθῆναι ὕστερον.

37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτοὺς, δείραντες ἡμᾶς δη-
μοσίᾳ, ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας,·
ἔβαλον εἰς φυλακὴν, καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν;
οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγέτωσαν.

Τοῦ αὐτοῦ. Ἵνα μὴ δόξῃ ὡς κατάδικος ἀπολύεσθαι καὶ ὡς ἡμαρτηκὼς, διὰ τοῦτό φησι, "δείραντες ἡμᾶς δημοσίᾳ," καὶ τὰ ἑξῆς· ἵνα μὴ τῆς χάριτος αὐτῶν ᾖ τὸ πρᾶγμα· ὅρα διάφορα τὴν χάριν οἰκονομοῦσαν· πῶς ἐκεῖνος ἐξῆλθε; πῶς οὗτος; καίτοι ἀμφότεροι Ἀπόστολοι.

* Ὅτι παρακληθέντες, τότε ἐξῆλθον ἐκ τοῦ δεσμωτηρίου.

38 Ἀπήγγειλαν δὲ τοῖς στρατιώταις οἱ ῥαβδοῦχοι τὰ
ῥήματα ταῦτα· ἐφοβήθησαν δὲ ἀκούσαντες ὅτι Ῥωμαῖοι
39 εἰσὶ, καὶ ἐλθόντες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγαγόντες
ἠρώτων ἀπελθεῖν ἀπὸ τῆς πόλεως.

Τοῦ αὐτοῦ. Οὐχ ὅτι ἀδίκως ἐνέβαλον ἠρώτων αὐτοὺς ἐξελθεῖν τῆς πόλεως· χάριν ᾐτήσαντο ταύτην· οἱ δὲ ἐλθόντες πρὸς τὴν Λυδίαν, καὶ βεβαιώσαντες αὐτὴν, οὕτως ἐξῆλθον· οὐ γὰρ ἔδει τὴν ξενοδόχον ἀφεῖναι ἐν ἀγῶνι καὶ μερίμνῃ· ἐξῆλθον δὲ, οὐκ ἐκείνοις πειθόμενοι, ἀλλ' ἐπὶ τὸ κήρυγμα σπεύδοντες, τῆς πόλεως διὰ τοῦ θαύματος ἱκανῶς ὠφεληθείσης· ἔδει γὰρ μὴ παρεῖναι λοιπὸν, τὸ γὰρ θαῦμα μεῖζον φαίνεται τῶν ἐργαζομένων.

40 Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον πρὸς τὴν
Λυδίαν· καὶ ἰδόντες τοὺς ἀδελφοὺς, παρεκάλεσαν αὐ-
τοὺς, καὶ ἐξῆλθον.

Ἀμμωνίου. Ὦ πόσην εἶχον ἀτυφίαν καὶ ἀγάπην· ὅτι οὐκ ἄλλως ἠνέσχοντο ἐκδημῆσαι, καὶ ταῦτα παρὰ τῶν στρατηγῶν κατασπευδόμενοι, εἰ μὴ εἰσῆλθον πρὸς τὴν εὐτελῆ γυναῖκα καὶ τοὺς λοιποὺς, οὓς καὶ ἀδελφοὺς ἐκάλουν, καὶ συνετάξαντο αὐτοῖς.

ΚΕΦ. ΚΕ.

Περὶ στάσεως γενομένης ἐν Θεσσαλονικῇ τοῦ κηρύγματος ἕνεκεν, φυγῆς τε Παύλου εἰς Βεροίαν, κἀκεῖθεν εἰς Ἀθήνας.

1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ τὴν Ἀπολλω-
νίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν συναγωγὴ τῶν
Ἰουδαίων.

Τοῦ Χρυσοστόμου. Πάλιν μὲν τὰς μικρὰς παρατρέχουσι πόλεις, ἐπὶ δὲ τὰς μείζους ἐπείγονται· ἐκεῖθεν, καθάπερ ἔκ τινος πηγῆς, μέλλοντος τοῦ λόγου διαρρεῖν εἰς τὰς πλησίον.

2 Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτοὺς, καὶ ἐπὶ σάββατα τρία διελέχθη αὐτοῖς ἀπὸ τῶν γραφῶν,

Τοῦ Χρυσοστόμου. Καίτοι εἰπὼν, "στρεφόμεθα εἰς τὰ ἔθνη," οὐκ ἀφίει τούτους· πολὺν γὰρ πρὸς αὐτοὺς εἶχε πόθον· ἄκουε γὰρ αὐτοῦ λέγοντος· "ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ "ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν· καὶ "ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου." ἐποίει δὲ τοῦτο διὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, καὶ τὴν δόξαν· καὶ τοῦτο, ἵνα μὴ σκάνδαλον ᾖ τοῖς Ἕλλησι.

3 Διανοίγων καὶ παρατιθέμενος, ὅτι ἔδει τὸν Χριστὸν παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ὃν καταγγέλλω ὑμῖν.

Τοῦ αὐτοῦ. Ὁρᾶς ὅτι πρὸ πάντων τὸ πάθος κηρύττει· οὕτως οὐκ ᾐσχύνοντο· ἀλλ' ᾔδεσαν τοῦτο σωτήριον ἕν. Καὶ μετ' ὀλίγα— Τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἐποίει, ἄνω καὶ κάτω ἀπὸ τῶν γραφῶν διαλεγόμενος· οὐ πανταχοῦ ἀπὸ τῶν σημείων· ἐπειδὴ πρὸς τοῦτο ἐναντίως εἶχον, ὡς πλάνους καὶ γόητας διαβάλλοντες· ὁ δὲ ἀπὸ τῶν γραφῶν πείθων οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν.

4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων πλῆθος πολὺ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.

Τοῦ αὐτοῦ. Τὸ κεφαλαῖον εἶπε τῆς διαλέξεως· οὕτως ἀπέριττός ἐστιν, οὐ πανταχοῦ τὰς δημηγορίας αὐτοῦ λέγων.

5 Ζηλώσαντες δὲ Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων ἄνδρας τινὰς πονηροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν·

Ἀμμωνίου. Διττοῦ ὄντος τοῦ ζήλου, τὸν χείρονα ἐπετήδευον Ἰουδαῖοι· ζῆλον οὖν ὧδε τὸν φθόνον καλεῖ.

Καὶ ἐπίσταντες[n] τῇ οἰκίᾳ Ἰάσωνος, ἐζήτουν αὐτοὺς
6 προαγαγεῖν εἰς τὸν δῆμον· μὴ εὑρόντες δὲ αὐτοὺς, ἔσυ-
ρον τὸν Ἰάσωνα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρ-
χας, βοῶντες, ὅτι οἱ τὴν οἰκουμένην ὅλην ἀναστατώσαν-
7 τες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων·

Τοῦ Χρυσοστόμου. Ὢ τῆς τυραννίδος· ἀπὸ τῶν οἰκιῶν εἷλκον αὐτοὺς ἁπλῶς· ἐπειδὴ γὰρ οὐδὲν ἐναντίον ἔλεγον τοῖς δεδογμένοις, παρεκίνουν τὴν πόλιν· ἐφ' ἕτερον ἔγκλημα αὐτοὺς ἄγουσι· καὶ τί φοβεῖσθε, φησὶν, Ἰησοῦν, εἴγε τέθνηκεν; ὅρα πανταχοῦ τοὺς διωγμοὺς τὸ κήρυγμα ἐκτείνοντας.

Τοῦ αὐτοῦ. Τούτου τοῦ Ἰάσωνος μέμνηται Παῦλος ἐν τῷ τέλει τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, λέγων· "ἀσπάζεται ὑμᾶς "Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος καὶ Ἰάσων, καὶ Σωσίπα-"τρος ὁ συγγενής μου."

Καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος
πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι, Ἰησοῦν.
8 ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας
ταῦτα·

Ἀμμωνίου. Οὕτω μὲν καὶ οἱ τούτων πατέρες κατηγόρουν τοῦ Ἰησοῦ, λέγοντες ὅτι βασιλέα ἑαυτὸν καλεῖ· πλὴν ἐκεῖνοι, κἂν εἶχον τινὰ κατὰ τὸ φαινόμενον εὐαπάτητον λόγον, διότι ἔζη ὁ κατηγορούμενος, οὗτοι ποίαν εἶχον ἀποφυγὴν τοῦ ψεύδους, λέγοντες, ὅτι Ἰησοῦν καταγγέλλουσι βασιλέα, τὸν κατ' αὐτοὺς ἀποθανόντα· ἤτοι ζῶντα μὲν, οὐ φαινόμενον δέ· περὶ οὗ οὐδέποτε εἶχον οἱ ἐπὶ γῆς βασιλεῖς φοβηθῆναι, μὴ ὁρῶντες αὐτὸν ὅλως φαινόμενον· λῆρος οὖν τὰ παρ' αὐτῶν κατηγορούμενα· ἀλλ' ὡς ἔοικε τὸ ἀληθὲς κηρύσσοντες ᾔδεισαν· ὅτι εἰ καὶ ἀφανὴς ἦν, ἀλλ' οὖν ὄντως βασιλεὺς ἦν· "καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος."

9 Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσωνος καὶ τῶν
10 λοιπῶν, ἀπέλυσαν αὐτούς. οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ
νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ Σίλαν εἰς Βερ-
ροιαν·

[n] καὶ ἐπίστευσαν Cod.

Τοῦ Χρυσοστόμου. *Θαυμαστὸς ὁ ἀνὴρ, εἰς κίνδυνον ἑαυτὸν ἐκδοὺς καὶ ἐκπέμψας αὐτούς.*

Οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν τῶν Ἰου-
11 δαίων ἀπῄεσαν. οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν
Θεσσαλονίκῃ,

Τοῦ αὐτοῦ. "Εὐγενέστεροι," *τουτέστιν ἐπιεικέστεροι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας, ἔνθα πάθος οὐκ ἦν, ἀνέκρινον τὰς γραφάς.*

Τοῦ αὐτοῦ. "Εὐγενέστεροι," *τουτέστιν οὐδὲν πονηρὸν πράσσοντες· ἀλλ' οἱ μὲν ἐπείσθησαν, οἱ δὲ οὐδὲν εἰργάσαντο· καὶ πάλιν καὶ ἐνταῦθα* Ἕλληνες.

Ἀμμωνίου. Τοῦτο *γὰρ ἔδακνε τοὺς* Ἰουδαίους, *καθὼς καὶ ὀπίσω φησί· "γυναικῶν τε τῶν πρώτων πλῆθος οὐκ ὀλίγον·" ἤθελον γὰρ ἔχειν μεθ' ἑαυτῶν τὰς πλουσίας γυναῖκας, ἵνα κερδαίνωσιν ἐξ αὐτῶν· καὶ γὰρ ὁ τῆς φιλοχρηματίας καὶ αὐταρεσκείας ἔρως ἤτοι δαίμων ἐπεῖχεν αὐτούς· διὸ καὶ λαβόντες χρήματα ἀπέλυσαν τὸν* Ἰάσωνα *καὶ τοὺς λοιπούς.*

Οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας,
καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχει ταῦτα
12 οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν
Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν οὐκ
13 ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰου-
δαῖοι, ὅτι καὶ ἐν τῇ Βερροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου
ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες καὶ ταράσ-
σοντες τοὺς ὄχλους.

Ἀμμωνίου. Οὐχ *ὡς ἄπιστοι ἀνεζήτουν· ἤδη γὰρ ἦσαν πεπιστευκότες· ἀλλ' ὡς ἄμοιροι τῆς τῶν παλαιῶν προφητῶν παραδόσεως· ὅπουγε μᾶλλον διὰ τούτου πιστότεροι ἐγίνοντο, ἐρευνῶντες τὰς γραφὰς, καὶ εὑρίσκοντες τοῖς τῶν παλαιῶν προφητῶν λόγοις συνάδοντα τὰ περὶ τῆς ἐνσάρκα τοῦ* Κυρίου *οἰκονομίας πράγματα.*

14 Εὐθέως δὲ τόν τε Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ

πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον τὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ.

Τοῦ Χρυσοστόμου. *Σὺ δέ μοι θέα ὅτι οἰκονομικῶς ἔφευγον οὐ δειλιῶντες, ἢ γὰρ ὧν ἐπαύσαντο κηρύττοντες, καὶ οὐχὶ μᾶλλον παρώξυναν· ἀλλ' ἐκ τούτου δύο ἐγίνετο· καὶ ἐκείνων ὁ θυμὸς ἐσβέννυτο, καὶ τὸ κήρυγμα οὐκ ἐνεκόπτετο*[o]. *ἐνταῦθα λοιπὸν τὸν Παῦλον πέμπουσι μόνον· περὶ γὰρ αὐτοῦ ἐδεδοίκεισαν μή τι πάθῃ· τὸ κεφάλαιον αὐτῶν αὐτὸς ὤν· οὕτως οὐ πανταχοῦ ἡ χάρις ἐνήργει· ἀλλ' εἴα αὐτοὺς καὶ ἀνθρώπινα ποιεῖν, διανιστῶσα αὐτοὺς καὶ διυπνίζουσα, καὶ εἰς μέριμναν ἐμβάλλουσα.* Καὶ μετ' ὀλίγα— *Ὅρα πόσῃ καὶ οἱ λοιποὶ μαθηταὶ περὶ τοὺς κορυφαίους ἐχρῶντο τῇ σπουδῇ· ἀλλ' οὐχ ὥσπερ νῦν κεχωρίσμεθα, διῃρήμεθα, μεγάλοι καὶ μικροί· οἱ μὲν ἐπαιρόμεθα, οἱ δὲ φθονοῦμεν· διὰ τοῦτο ἐν τῷ σώματι ἡ συμφωνία ἐστὶν, ἐπειδὴ οὐκ ἔστι φυσίωσις· ἐπειδὴ εἰς ἀνάγκην τοῦ χρείαν ἀλλήλων ἔχειν τὰ μέλη καθέστηκε, καὶ ἡ κεφαλὴ τῶν ποδῶν δεῖται.*

Ἀμμωνίου. *Τῷ γὰρ Παύλῳ ἐνεῖχον μᾶλλον ἤπερ τοῖς ἄλλοις· διότι αὐτὸς ἦν ὁ τοῦ λόγου καθηγητής· ὡς καὶ ὀπίσω τοῦτο σαφῶς ἐδηλώθη· οἵ τε ἀπὸ τῶν ἐθνῶν ἐν Λύστροις ἐκάλουν αὐτὸν Ἑρμῆν· "αὐτὸς γὰρ ἦν ὁ ἡγούμενος τοῦ λόγου," φησίν· ὅσῳ δὲ αὐτὸς οὐκ ἐνεδίδου, τοσοῦτον ἐγένετο τὸ κατ' αὐτοῦ παρὰ τῶν Ἰουδαίων μῖσος.*

15 *Οἱ δὲ ἀποκαθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν· καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῄεσαν.*

Τοῦ Χρυσοστόμου. *Ὅρα αὐτὸν μείζους ἔχοντα πειρασμοὺς παρὰ τοῖς Ἰουδαίοις ἢ παρ' Ἕλλησιν· ἐν γοῦν Ἀθήναις οὐδὲν πάσχοι τοιοῦτον· ἀλλὰ μέχρι γέλωτος τὸ πᾶν προεχώρησε· καί τοι γε ἔπεισεν· ἐν δὲ Ἰουδαίοις πολλὰ τὰ δεινά· οὕτως ἦσαν ἐκπεπολεμωμένοι.*

16 *Ἐν δὲ ταῖς Ἀθηναῖς ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου,*

[o] οὐκ ἐνεκοπ. suppl. recent. m.

παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντος κατείδωλον οὖσαν τὴν πόλιν.

Τοῦ αὐτοῦ. Οὐκ ὀργὴν ἐνταῦθα φησὶν, οὐδὲ ἀγανάκτησιν· καθάπερ ἀλλαχοῦ ἐγένετο παροξυσμὸς μεταξὺ αὐτῶν· οἰκονομεῖται καὶ ἄκοντα μεῖναι ἐκεῖ, ἐκδεχόμενον ἐκείνους· τί οὖν ἐστὶ παρωξύνετο; διηγείρετο· ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα.

Ἀμμωνίου. Ἐλυπεῖτο ὁρῶν κατείδωλον τὴν πόλιν καὶ διηρεθίζετο λαλεῖν πρὸς αὐτοὺς, καὶ οὐκ ἠδύνατο καρτερεῖν ἐπὶ τούτῳ· ἀλλὰ καὶ συζητήσεις ἐποιεῖτο μετὰ τῶν δοκούντων εἶναι παρὰ τοῖς Ἀθηναίοις σοφῶν, μάλιστα μετὰ τῶν Ἐπικουρίων, τῶν ἀπρονόητα λεγόντων εἶναι τὰ πάντα· πρὸς οὓς μάλιστα τὸν λόγον ἀποτεινόμενος, ἐν τῇ αὐτοῦ διδασκαλίᾳ, μετὰ τὸ κηρύξαι τὸ σέβειν ἕνα Θεὸς τοῖς πᾶσιν· ἐν οἷς φησὶ, "αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν, "ὁρίσας προστεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας "αὐτῶν·" δεικνὺς τοῦ Θεοῦ τὴν πρόνοιαν.

17 Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

Τοῦ Χρυσοστόμου. Θαυμαστὸν πῶς οὐ κατεγέλασαν οἱ φιλόσοφοι, οὕτως αὐτοῦ φθεγγομένου ὑβριστικῶς. εὐθέως μακρὰν τοῦτο φιλοσοφίας ἀπὸ τοῦ κηρύγματος· ὅτι οὐδένα τύφον εἶχεν οὐκ ἐνόουν, οὐδὲ συνίεσαν τῶν λεγομένων. πῶς γάρ; οἱ μὲν σῶμα τὸν θεὸν λέγοντες, οἱ δὲ ἡδονὴν τὴν μακαριότητα.

18 Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ Στοϊκῶν φιλοσόφων συνέβαλον αὐτῷ· καὶ τινὲς ἔλεγον, τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν;

Τοῦ ἁγίου Κυρίλλου εἰς τὴν ἑρμηνείαν τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. Οἱ Ἀθηναῖοι ματαίαν αἴροντες ὀφρῦν, ἐπὶ γλώττῃ πλατείᾳ φρονοῦντες μέγα, ἀνοήτως ἔφασκον· "τί ἂν "ἐθέλοι ὁ σπερμολόγος οὗτος λέγειν;" καὶ τὰ ἑξῆς· σπερμολόγον δὲ πτηνὸν εἶναι φασὶν εὐτελέστατον, τὰ ἐν ταῖς τριόδοις κατασκεδασμένα τῶν σπερμάτων εἰωθὸς συλλέγειν· ᾧ παρεικάζοντες

τὸν θεσπέσιον Παῦλον, ἐγέλων οἱ δείλαιοι τὸν πρὸς αὐτοῖς γεγονότα σωτήριον λόγον.

Τοὺς γὰρ σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσι, φησὶν ὁ παροιμιάστης.

*Οἱ δὲ, ξένων δαιμονίων καταγγελεὺς δοκεῖ εἶναι· ὅτι
τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο.*

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Καὶ γὰρ τὴν ἀνάστασιν θεόν τινα εἶναι ἐνόμιζον· ἅτε εἰωθότες καὶ θηλείας σέβειν. Καὶ μετ᾽ ὀλίγα— Δαιμόνια τοὺς θεοὺς αὐτῶν ἐκάλουν· ἦσαν γὰρ αἱ πόλεις δαιμόνων πλήρεις.*

19 *Ἐπιλαβόμενοι δὲ αὐτοῦ, ἐπὶ τὸν Ἄρειον Πάγον ἤγα-
γον, λέγοντες, δυνάμεθα γνῶναι, τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ
σοῦ λαλουμένη διδαχή;*

ΤΟΥ ΑΥΤΟΥ. *Ἦγον αὐτὸν, φησὶν, " ἐπὶ τὸν Ἄρειον πάγον·" οὐχ ὥς τι μαθεῖν, ἀλλ᾽ ὥστε κολάσαι ἔνθα αἱ φονικαὶ δίκαι. ὅρα γοῦν καὶ ἐλπίδι τοῦ μαθεῖν πανταχοῦ τὴν καινοτομίαν ἐγκαλοῦσι· λάλων πόλις, ἡ πόλις ἐκείνη ἦν.*

ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ ἘΠΙΣΤΟΛΗΣ ΦϚΑʹ. *Ἐπειδὴ γέγραφας, τίνος ἕνεκεν Ἄρειος Πάγος ἐκαλεῖτο τὸ ἐν Ἀθηναῖς δικαστήριον, ἐν ᾧ καὶ ὁ Παῦλος ἐδημηγόρησεν, ἀντεπιστέλλω, ὅτι ὁ Ἄρης ὥς φασὶν ἐκεῖσε δίκας ἔδωκε· πάγος δὲ ὁ ὑψηλὸς τόπος· ἐν γὰρ ὄχθῳ τινὶ ἦν ἐκεῖνο τὸ δικαστήριον· ὅθεν καὶ πάγαρχοι καλοῦνται παρά τισιν οἱ τῶν τόπων ἢ κωμῶν τινῶν ἄρχοντες.*

20 *Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν·
21 βουλόμεθα οὖν γνῶναι, τίνα θέλει εἶναι ταῦτα. Ἀθηναῖοι
δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον
22 εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. σταθεὶς
δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, εἶπεν,*

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἐνταῦθα ἐκεῖνο σημαίνεται, ὅτι καίτοι ἀεὶ ἐν τούτῳ ἀσχολούμενοι τῷ λαλεῖν καὶ ἀκούειν, ὅμως ξενίζοντα ἐνόμιζον εἶναι ἐκεῖνα, ἅπερ οὐδέποτε ἤκουσαν.*

Εἰ ἄνθρωπον ἐκήρυσσεν ἐσταυρῶσθαι, οὐ ξενὸν ἦν τὸ λεγόμενον· εἰ δὲ Θεὸν ἔλεγεν ἐσταυρῶσθαι καὶ ἐγηγέρθαι, ὄντως ξενίζοντα εἰσέφερεν εἰς τὰς ἀκοὰς αὐτῶν.

ΚΕΦ. ΚϚ.

Περὶ τῆς ἐν Ἀθηναῖς ἐπιβωμίου γραφῆς, φιλοσόφου τὲ κηρύγματος, καὶ εὐσεβείας τοῦ Παύλου.

Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

Τοῦ Χρυσοστόμου. Ὥσπερ ἐγκωμιάζειν αὐτοὺς δοκεῖ, οὐδὲν βαρὺ λέγων· "ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ."

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἰουδαίων λόγου. Ἐπεὶ καὶ Παῦλος εἰσελθὼν εἰς τὰς Ἀθήνας οὐκ ἀπὸ προφητῶν οὐδὲ ἐξ εὐαγγελίων αὐτοῖς διελέγετο, ἀλλ' ἀπὸ βωμοῦ τὴν παραίνεσιν ἐποιεῖτο· οὐκ ἐπειδὴ τὸν βωμὸν ἀξιοπιστότερον εἶναι τῶν εὐαγγελίων ἐνόμιζεν, οὐδὲ ἐπειδὴ τὰ γράμματα τὰ ἐκεῖ κείμενα τῶν προφητῶν εἶναι τιμιώτερα· ἀλλ' ἐπειδὴ πρὸς τοὺς Ἕλληνας διελέγετο, τοὺς οὐδενὶ τῶν ἡμετέρων πιστεύοντας, ἀπὸ τῶν οἰκείων αὐτοὺς ἐχειρώσατο δογμάτων· διὰ τοῦτό φησιν, "ἐγενόμην τοῖς Ἰουδαίοις ὡς "Ἰουδαῖος," καὶ τὰ ἑξῆς.

Τοῦτό ἐστι τὸ εἰρημένον τῷ Ἀποστόλῳ, "ἐγενόμην τοῖς ἀνό"μοις ὡς ἄνομος, ἵνα κερδήσω ἀνόμους." Ἀθηναίοις γὰρ δημηγορῶν, οὐκ ἀπὸ προφητῶν οὐδὲ ἀπὸ τοῦ νόμου διελέχθη, ἀλλ' ἀπὸ βωμοῦ τὴν παραίνεσιν ἐποιήσατο· ἀπὸ τῶν οἰκείων αὐτοὺς ἐχειρώσατο δογμάτων· διὸ οὐκ εἶπεν ἄνομος, ἀλλ' ὡς ἄνομος.

23 *Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπέγραπτο, ἀγνώστῳ θεῷ.*

Τοῦ Χρυσοστόμου. Οὐκ εἶπε τοὺς δαίμονας ἁπλῶς, ἀλλὰ προοδοποιεῖ τῷ λόγῳ· διὰ τοῦτο φησὶ, "δεισιδαιμονεστέρους ὑμᾶς "θεωρῶ," διὰ τὸν βωμόν· ἐφθέγξατο φωνὴν μίαν, δι' ἧς πάντα κατέστρεψε τὰ τῶν φιλοσόφων. οἱ μὲν γὰρ Ἐπικούρειοι αὐτόματα φησὶ καὶ ἀπὸ ἀτόμων· οἱ δὲ Στοϊκοὶ σῶμα καὶ ἐκπύρωσιν· ἀλλ' ἔργον αὐτοῦ φησὶ τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ πάντα· ὅρα συντομίαν καὶ ἐν συντομίᾳ σαφήνειαν· ὅρα τίνα ἦν ξενίζοντα αὐτούς· ὅτι ὁ Θεὸς τὸν κόσμον ἐποίησεν· ἃ καὶ τῶν τυχόντων ἴσασι τινὲς νυνὶ, ταῦτα οὐκ ᾔδεσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων οἱ φιλόσοφοι· εἰ γὰρ ἐποίησε, δηλονότι καὶ Κύριος. ὅρα τί φησι, θεότητος εἶναι γνώρισμα τὸ δημιουργικὸν, ὅπερ ἔχει καὶ ὁ Χριστός· καὶ γὰρ οἱ

προφῆται πανταχοῦ τοῦτο φασὶ, Θεοῦ τὸ δημιουργεῖν· οὐχ ὥσπερ ἐκεῖνοι· ἄλλον μὲν γὰρ τὸν ποιητήν φασιν, οὐ κύριον δὲ, ὕλην ἀγέννητον ὑποθέντες.

Δεισιδαίμων λέγεται ὁ δεδιὼς τὰ δαιμόνια, ὁ πάντα θειάζων καὶ λίθον καὶ ξύλον καὶ πνεῦμα.

Τοῦ Χρυσοστόμου πρὸς τοὺς μὴ ἀπαντήσαντας εἰς τὴν σύναξιν, καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν βιβλίων· καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ. *Βούλεσθε μαθεῖν ὅση τῆς ἐπιγραφῆς ἡ ἰσχὺς, ὅση ἡ δύναμις, ὅσος ἀπόκειται θησαυρὸς ἐν ταῖς ἐπιγραφαῖς τῶν γραφῶν; ἀκούσατε ἵνα μὴ καταφρονῆτε τῆς ἐπιγραφῆς τῶν θείων βιβλίων. εἰσῆλθεν εἰς Ἀθήνας ὁ Παῦλος ποτὲ, ἐν αὐτῷ τῷ βιβλίῳ τούτῳ ἐπιγέγραπται ἡ ἱστορία αὕτη· εὗρεν ἐν τῇ πόλει οὐχὶ βιβλίον θεῖον, ἀλλὰ βωμὸν ἑστηκότα, βωμὸν εἰδώλου· εὗρεν ἐπιγραφὴν οὕτως ἔχουσαν, ἀγνώστῳ θεῷ· καὶ οὐ παρέδραμεν, ἀλλ' ἀπὸ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὸν βωμὸν καθεῖλε Παῦλος ὁ ἅγιος, ὁ Πνεύματος χάριν ἔχων· οὐ παρέδραμε βωμοῦ ἐπίγραμμα, καὶ σὺ ἐπιγραφὴν γραφῶν παρατρέχεις· ἐκεῖνος οὐκ ἀφῆκεν ἅπερ ἔγραψαν Ἀθηναῖοι οἱ εἰδωλολάτραι, καὶ σὺ ἃ ἐπέγραψε τὸ Πνεῦμα τὸ Ἅγιον οὐ νομίζεις εἶναι ἀναγκαῖα· καὶ ποίαν ἔχεις συγγνώμην; ἀλλὰ γὰρ ἴδωμεν πόσον τὸ κέρδος ἀπὸ τοῦ ἐπιγράμματός ἐστιν· ἵνα ὅταν ἴδῃς ἐπίγραμμα βωμῷ ἐγκεκολαμμένον, ὅτι τοσαύτην παρέσχε τὴν ἰσχὺν, μάθῃς ὅτι πολλῷ μᾶλλον τὰ ἐπιγράμματα τῶν θείων γραφῶν τοῦτο ποιῆσαι δυνήσεται. εἰσῆλθεν εἰς τὴν πόλιν· εὗρε βωμὸν ἐν ᾧ ἐπεγέγραπται ἀγνώστῳ θεῷ· τί ἔδει ποιῆσαι; Ἕλληνες πάντως ἦσαν ἀσεβεῖς πάντες· τί οὖν ἐχρῆν ποιῆσαι; ἀπὸ εὐαγγελίων διαλεχθῆναι; ἀλλὰ καταγέλων· ἀλλ' ἀπὸ προφητῶν; ἀλλ' οὐκ ἐπίστευον· τί οὖν ἐποίησεν; ἐπὶ τὸν βωμὸν ἔδραμε, καὶ ἀπὸ τῶν ὅπλων τῶν πολεμίων αὐτοὺς ἐχειρώσατο· καὶ τοῦτό ἐστιν ὃ λέγει· "ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς "ἀνόμοις ὡς ἄνομος." εἶδε τὸν βωμόν· εἶδε τὸ ἐπίγραμμα· ἀνέστη τῷ Πνεύματι· τοιαύτη γὰρ ἡ Πνεύματος χάρις· πανταχόθεν ποιεῖ κερδαίνειν τοὺς ὑποδεχομένους αὐτήν· τοιαῦτα ἡμῶν τὰ ὅπλα τὰ πνευματικά· "αἰχμαλωτίζοντα" γάρ, φησι, "πᾶν νόημα εἰς τὴν "ὑπακοὴν τοῦ Χριστοῦ·" εἶδε τοίνυν τὸν βωμόν· οὐκ ἐδειλίασεν,*

ἀλλὰ μετέστησε τὰ γράμματα πρὸς αὐτόν· μᾶλλον δὲ τὰ γράμματα ἀφ' οὗ μετέθηκεν αὐτῶν τὸ νόημα· καὶ καθάπερ ἐν πολέμῳ στρατηγὸς ἰδὼν στρατιώτην ἐν τῇ παρατάξει τῶν πολεμίων γενναῖον καὶ μέγαν· εἶτα λαβόμενος ἀπὸ τῆς κόμης τοῦ στρατιώτου πρὸς τὴν ἑαυτοῦ τάξιν αὐτὸν μεταστήσειεν, καὶ παρασκευάσει ὑπὲρ αὐτοῦ πολεμεῖν· οὕτω καὶ Παῦλος ἐποίησε· καθάπερ ἐν παρατάξει πολεμίων, τὸ ἐπίγραμμα εὑρὼν ἐν τῷ βωμῷ γεγραμμένον, πρὸς τὴν ἑαυτοῦ τάξιν μετέστησεν· ἵνα μετὰ Παύλου τοῖς Ἀθηναίοις πολεμεῖ, ἀλλὰ μὴ μετὰ Ἀθηναίων τὸν Παῦλον βάλλῃ· ξίφος ἦν τῶν Ἀθηναίων· μάχαιρα ἦν τῶν πολεμίων τὸ ἐπίγραμμα ἐκεῖνο· ἀλλ' αὕτη ἡ μάχαιρα τῶν πολεμίων τὴν κεφαλὴν ἐξέτεμεν· οὐκ ἦν οὕτω θαυμαστὸν, εἰ ἐν τοῖς οἰκείοις ὅπλοις αὐτοὺς ἐχειρώσατο· τοῦτο γὰρ κατὰ λόγον σημαίνει· τὸ γὰρ καινὸν καὶ παράδοξον· ὅταν τὰ τῶν πολεμίων ὅπλα, ταῦτα μηχανήματα τοῖς πολεμίοις ταῦτα προσάγηται· ὅταν τὸ ξίφος, ὃ καθ' ἡμῶν βαστάζουσι, τοῦτο αὐτοῖς τὴν καιρίαν ἐπάγῃ πληγήν· τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις· οὕτω καὶ ὁ Δαβὶδ ἐποίησε ποτέ· ἐξῆλθε γυμνὸς τῶν ὅπλων, ἵνα φανῇ ἡ τοῦ Θεοῦ χάρις γυμνή· μηδὲν γὰρ ἀνθρώπινον ἔστω φησὶν, ὅταν ὁ Θεὸς ὑπὲρ ἡμῶν πολεμῇ· ἐξῆλθε τοίνυν γυμνὸς τῶν ὅπλων, καὶ κατήνεγκε τὸν πῦργον ἐκεῖνον· εἶτα ἐπειδὴ ὅπλα οὐκ εἶχε, δραμὼν ἥρπασε τὴν μάχαιραν τοῦ Γολιὰδ, καὶ οὕτω τὴν κεφαλὴν ἐξέτεμε τοῦ βαρβάρου· οὕτω καὶ ὁ Παῦλος ἐποίησεν ἐπὶ τοῦ ἐπιγράμματος τούτου· καὶ ἵνα σαφέστερος γένηται ὁ τῆς νίκης τρόπος, καὶ τὴν δύναμιν ὑμῖν τοῦ ἐπιγράμματος ἐρῶ· εὗρε βωμὸν ἐν ᾧ ἐπεγέγραπτο ἀγνώστῳ θεῷ· τίς δὲ ἦν ἄλλος ἀγνοούμενος θεὸς ἀλλ' ἢ ὁ Χριστός; εἶδες πῶς συνέτως μετέστησε πρὸς ἑαυτὸν τὸ ὄνομα· εἶδες πῶς ᾐχμαλώτισε τὸ ἐπίγραμμα, οὐκ ἐπὶ κακῷ τῶν γραψάντων, ἀλλ' ἐπὶ σωτηρίᾳ αὐτῶν καὶ προνοίᾳ· τί οὖν; οἱ Ἀθηναῖοι διὰ τὸν Χριστὸν ἔγραψαν τοῦτό φησιν; εἰ διὰ τὸν Χριστὸν ἔγραψαν οἱ Ἀθηναῖοι, οὐκ ἦν οὕτω θαυμαστὸν τὸ κατόρθωμα τοῦ Παύλου· ἀλλὰ τὸ θαυμαστόν ἐστιν, ὅτι ἐκεῖνοι μὲν ἄλλως ἔγραψαν, οὗτος δὲ ἴσχυσεν ἄλλως αὐτὸ μεταβαλεῖν· πρότερον δὲ ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν[p] ἔγραψαν οἱ

[p] ἕνεκεν suppl. rec. m. in marg.

Ἀθηναῖοι ἀγνώστῳ θεῷ· τίνος ἕνεκεν ἔγραψαν; πολλοὺς εἶχον θεοὺς ἐκεῖνοι, μᾶλλον δὲ πολλοὺς δαίμονας, πάντες γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, καὶ ἐπιχωρίους καὶ ξένους, καθάπερ ἐπ' ἀνθρώπων· ὁρᾶτε ὅσος ὁ κατάγελως, εἰ γὰρ θεός ἐστιν, οὐκ ἔστι ξένος· τῆς γὰρ οἰκουμένης ἁπάσης δεσπότης ἐστί· τούτους τοίνυν τοὺς μὲν παρὰ πατέρων εἶχον δεξάμενοι, τοὺς δὲ ἀπὸ τῶν πλησίον ἐθνῶν, οἷον ἀπὸ Σκυθῶν, ἀπὸ Θρᾳκῶν, ἀπὸ Αἰγυπτίων. καὶ εἰ τῆς ἔξωθεν παιδεύσεως ἦτε ἔμπειροι, καὶ ταύτας ἂν ὑμῖν ἀνέγνων τὰς ἱστορίας ἁπάσας· ἐπεὶ οὖν οὐκ ἐξ ἀρχῆς πάντας ἐδέξαντο, ἀλλὰ κατὰ μικρὸν εἰσηνέχθησαν αὐτοῖς· ὅ[q] μὲν ἐπὶ τῶν πατέρων, οἱ δὲ ἐπὶ τῶν πάππων, οἱ δὲ ἐπὶ τῆς γενεᾶς τῆς αὐτῶν, συνελθόντες εἶπον, ὅτι ὥσπερ τούτους ἠγνόουμεν φησὶν, εἶτα ὕστερον αὐτοὺς ἐδεξάμεθα καὶ ἐγνωρίσαμεν· οὕτω συμβαίνει καὶ ἄλλον εἶναι ἀγνοούμενον καὶ ὄντα θεὸν, οὐ γνωριζόμενον δὲ ὑφ' ὑμῶν· καὶ διὰ τοῦτο λανθάνειν ἀμελούμενον, καὶ μὴ θεραπευόμενον· τί οὖν; ἵνα γένηται, ἔστησαν βωμὸν καὶ ἐπέγραψαν ἀγνώστῳ θεῷ· τοῦτο λέγοντες διὰ τοῦ ἐπιγράμματος, ὅτι καὶ εἴτις ἐστὶ θεὸς ἕτερος οὐδέπω γνωσθεὶς ἡμῖν, κἀκεῖνον θεραπεύσωμεν· ὅρα ὑπερβολὴν δεισιδαιμονίας· διὰ τοῦτο ὁ Παῦλος ἀρχόμενος ἔφη "κατὰ πάντα ὡς δεισιδαιμονεστέ-"ρους ὑμᾶς θεωρῶ·" οὐ γὰρ τοὺς γνωρίμους ὑμῖν δαίμονας θεραπεύετε μόνον, ἀλλὰ καὶ τοὺς οὔπω γνωρισθέντας ὑμῖν. ἐκεῖνοι μὲν διὰ τοῦτο ἐπέγραψαν ἀγνώστῳ θεῷ· ὁ δὲ Παῦλος ἑτέρως ἡρμήνευσεν· οἱ μὲν τοῦτο περὶ ἄλλων ἔλεγον, αὐτὸς δὲ αὐτὸν μετέστησε πρὸς τὸν Χριστὸν, αἰχμαλωτίσας τὸ νόημα, καὶ μεθ' ἑαυτοῦ στήσας ἐν τῇ παρατάξει τῇ ἑαυτοῦ· "ὃν γὰρ ἀγνοοῦντες εὐσεβεῖτε ὑμεῖς, "τοῦτον ἐγὼ καταγγέλλω," φησίν· ἄγνωστος γὰρ θεὸς οὐκ ἄλλος ἐστιν, ἀλλ' ἢ ὁ Χριστός· καὶ ὅρα σύνεσιν πνευματικήν· ἤμελλον αὐτῷ ἐγκαλεῖν μετὰ ταῦτα, ὅτι ξενίζοντα δόγματα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· ὅτι καινοτομεῖς· ὅτι θεὸν εἰσφέρεις ὃν οὐκ ἴσμεν· βουλόμενος τοίνυν ἀπαλλαγῆναι τῆς ὑποψίας τῆς κατὰ τὴν καινοτομίαν, καὶ διδάξαι ὅτι οὐ ξενὸν κηρύττει θεὸν, ἀλλ' ὃν προσλαβόντες αὐτοὶ διὰ τῆς θεραπείας ἐτίμησαν, ἐπήγαγε καὶ εἶπεν· ὅτι "ὃν "ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν·" ὑμεῖς με

[q] Sic.

προελάβετε, φησίν· ἔφθασεν ὑμῶν ἡ θεραπεία τὸ ἐμὸν κήρυγμα· μὴ τοίνυν ἐγκαλεῖ μοι ὅτι ξενὸν εἰσφέρω θεὸν, τοῦτον γὰρ καταγγέλλω ὃν ὑμεῖς ἀγνοοῦντες θεραπεύετε, οὐκ ἀξίῳ μὲν ἑαυτοῦ τρόπῳ, θεραπεύετε δὲ ὅμως· οὐ γὰρ τοιοῦτος βωμὸς ἵσταται τῷ Χριστῷ, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός· ἀλλ' ἀπὸ τούτου ὑμᾶς, καὶ πρὸς ἐκεῖνον, ἀναγαγεῖν δύναμαι· οὕτω καὶ Ἰουδαῖοι τὸ παλαιὸν ἐθεράπευον· ἀλλ' ἀπέστησαν ἀπὸ τῆς σωματικῆς θεραπείας, καὶ ἦλθον ἐπὶ τὴν πνευματικὴν, οἱ πιστεύσαντες ἅπαντες· εἶδες πῶς ἐχειρώσατο αὐτοὺς, οὐκ ἀπὸ εὐαγγελίων, οὐκ ἀπὸ προφητῶν, οὐκ ἀπὸ ῥημάτων πνευματικῶν, ἀλλ' ἀπὸ ἐπιγράμματος· μὴ παράτρεχε τοίνυν, ἀγαπητὲ, τὴν ἐπιγραφὴν τῶν θείων γραφῶν· ἂν μὲν γὰρ νήφῃς καὶ ἐγρήγορος ᾖς, καὶ ἐπ' ἀλλοτρίοις εὑρήσεις τι χρήσιμον· ἂν δὲ ῥάθυμος καὶ ἀναπεπτωκὼς ᾖς, οὐδὲ ἀπὸ τῶν γραφῶν ἔσται σοί τι πλέον· ὥσπερ γὰρ ὁ εἰδὼς κερδαίνειν, ἁπανταχόθεν κερδαίνει, οὕτως ὁ μὴ εἰδὼς, κἂν θησαυρὸν εὕρῃ, κενὸς ἄπεισι.

Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

Κυρίλλου. Τουτέστι τὸν Θεὸν τὸν ὕψιστον· οἱ γὰρ δείλαιοι Ἕλληνες οἴονται εὐσεβεῖν καὶ τὸν ὄντως ὄντα Θεὸν, ἐὰν τοῖς λοιποῖς θεοῖς σχοῖεν τὸ σέβας αὐτοῦ· ἀγνοοῦντες ὅτι μείζονος τιμωρίας ἀξιωθήσονται, τὸ φῶς τῷ σκότει συγκρίνοντες, καὶ τῷ φαύλῳ τὸ ἀγαθὸν, καὶ τῷ ἀλόγῳ τὸ νοερὸν, καὶ τῷ εὐτελεῖ τὸ θεῖον· ὅθεν καὶ μωροὺς αὐτοὺς ἐκάλεσε λέγων, "φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν."

Τοῦ Χρυσοστόμου. Οἱ γὰρ Ἀθηναῖοι ἐπειδὴ κατὰ καιρὸν πολλοὺς ἐδέξαντο θεοὺς, καὶ ἀπὸ τῆς ὑπερορίας, οἷον τὸ τῆς Ἀθηνᾶς ἱερὸν, οἷον τὸν Πάνα, καὶ ἄλλους πολλαχόθεν, δεδοικότες μήποτε καὶ ἄλλος τις ᾖ, αὐτοῖς μὲν οὐδέπω γνώριμος, θεραπευόμενος δὲ ἀλλαχοῦ, ὑπὲρ πλείονος δῆθεν ἀσφαλείας, καὶ τούτῳ βωμὸν ἔστησαν· καὶ ἐπειδὴ οὐκ ἦν δῆλος ὁ θεὸς, ἐπεγέγραπτο ἀγνώστῳ θεῷ· τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναι φησὶ, τὸν πάντων Θεὸν, "τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν·" ὅρα πῶς δείκνυσι προειλη-

φότας αὐτούς· καὶ οὐδὲν ξένον φησὶν, οὐδὲν καινὸν προσφέρω· ἄνω, κάτω τοῦτο ἔλεγον· τίς ἡ καινὴ αὕτη λαλουμένη ὑπὸ σοῦ διδαχή; ξενίζοντα τινὰ εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν.

Ἐξ ἀνεπιγράφου. Ὥσπέρ ἐστι ζῆλον Θεοῦ ἔχειν μὴ[q] κατ' ἐπίγνωσιν, οὕτω καὶ εὐσεβεῖν ἐστι καὶ ἀγνοεῖν τὸν Θεόν· ἑκάτερον δὲ πρόθεσιν δηλοῖ χρηστὴν, ἐσφαλμένην δὲ ὅμως· ἄξιον τοίνυν θαυμάσαι τοῦ Παύλου τὴν σύνεσιν, πρῶτον μὲν ἀφ' ὧν ἔπραττον, ἀπὸ τούτων αὐτοῖς ἀναπλέξαντα τὴν μυσταγωγίαν· δεύτερον δὲ, τοῦ ἐπὶ τὸν λόγον τοῦτον εὐθέως αὐτοὺς ἀγαγεῖν τὸν περὶ δημιουργίας· ἅτε πολλοὺς τῶν Ἐπικουρείων, ὡς καὶ ὁ συγγραφεὺς ἐπισημαίνεται, παρεστῶτας ὁρῶντα· οὗτοι δὲ ἀγένητον τὸν κόσμον καὶ ἐξ αὐτοματισμοῦ φασί· τρίτον, τοῦ τῶν ξοάνων ἀνατροπὴν ποιήσασθαι, ἅτε καὶ δεομένων τῆς διὰ χειρῶν ἀνθρώπων θεραπείας· εἰ μὴ γὰρ ἐπιμελοῖντο, διαφθείρονται· τὸ τέταρτον, τοῦ λέγειν ἐξ αὐτοῦ τοῦ Θεοῦ καὶ τὸ ἀναπνεῖν ἡμῖν ὑπάρχειν· πέμπτον, τοῦ ἐκ τοῦ Ἀδὰμ πάντων τῶν ἐθνῶν διδάξαι τὴν γένεσιν· ἕκτον, τοῦ τοὺς αὐτῶν αὐτοῖς περὶ τῶν λεγομένων προσφέρειν μάρτυρας· πρὸς δὲ τούτοις ἅπασι τὸν περὶ τῆς οἰκονομίας αὐτοῖς παραθεῖναι λόγον, ἀρξάμενον ἀπὸ μετανοίας, καὶ τοῦτον ἀμυδρῶς καὶ ἐπικεκαλυμμένως· οὐ γὰρ ἐκ πρώτης ἀκροάσεως δυνατοὶ ἦσαν περὶ τῆς θεότητος ἀκούειν τοῦ Ἰησοῦ· διὸ ἀπὸ τῆς ἐνανθρωπήσεως ἄρχεται, ἀκροβολισάμενος αὐτοῖς καὶ τὸν περὶ ἀναστάσεως λόγον· περὶ ἧς καὶ ζήτησιν πάρεσχε τισὶ, καὶ πίστιν ἐκ τῆς ζητήσεως.

Τοῦ Χρυσοστόμου. Οὐ γὰρ ἦν δυνατὸν διὰ τῆς ἔξωθεν σοφίας τὴν ἀκρίβειαν γινώσκειν· αὕτη γὰρ καθάπερ τις θεραπαινὶς ἠτιμωμένη, οὐκ ἠφείθη ἔνδον εἰσελθεῖν καὶ παρακύψαι εἰς τὰ δεσμωτικὰ μυστήρια.

Διδύμου. Ὥσπέρ ἐστι ζῆλον Θεοῦ ἔχειν μὴ κατ' ἐπίγνωσιν, οὕτω καὶ εὐσεβεῖν καὶ ἀγνοεῖν τὸν Θεόν· ἑκάτερον γὰρ δηλοῖ πρόθεσιν χρηστὴν, ἐσφαλμένην δέ· τοιοῦτοί εἰσιν οἱ τῇ κτίσει προσκυνοῦντες, καὶ οἱ διώκοντες τοὺς προφήτας καὶ τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ ἀγνοοῦντες τὸν Θεὸν, οἰόμενοι δὲ εὐσεβεῖν ἢ εἰδέναι τὸν Θεὸν, ἀγνοοῦντες δὲ τὴν οἰκονομίαν αὐτοῦ· ὁ γὰρ τοῦ κόσμου δημιουργὸς οὐκ αἰσθητὴ οὐσία ἐστί· διὸ καὶ ἀπερίγραφος καὶ τόπῳ ἀπεριό-

q μήκετι Cod. sed corr. rec. m.

ριστος, οὐκ ἐν ναοῖς ἐξ ἀνθρώπων γεγονόσιν ἐνοικεῖ, κατὰ τὰ ἀγάλματα πρὸς ἄνθρωπον ἢ ἕτερον κτίσμα μεμορφωμένα, ὡς δεῖσθαι ἀνθρωπίνης αὐτῷ προσαγομένης θεραπείας, οἷον θυσίων, ἤ τινὸς τοιούτου· ἐκείνῳ γὰρ ἀρέσκεται, ὃς οὐ χαρακτηρίζει αὐτὸν ἐν τόπῳ, οὔτε ἀφομοιοῖ αὐτὸν αἰσθητῇ μορφῇ· τῷ μὴ εἶναι αὐτὸν ὅμοιον μηδεμιᾷ αἰσθητῇ ἐνθυμήσει· εἰ δὲ "ἐν αὐτῷ πάντες ζῶμεν, "καὶ ἐσμὲν, καὶ κινούμεθα·" οὐκοῦν διὰ πάντων χωρῶν οὐκ ἐν τόπῳ ἐστι περίγραπτος· οὗτος ἐκ τοῦ Ἀδὰμ ἐποίησε γένος πρὸς τὸ οἰκεῖν πᾶσαν τὴν γῆν· οὗτος πατὴρ τοῦ παντὸς ἀνθρώπων γένους ὡμολόγηται· τοῦτον τέχνη οὐ δύναται γνωστὸν ποιῆσαι· ἀλλὰ "μόνος ὁ Υἱὸς τὸν Πατέρα ἀποκαλύπτει, καὶ ὁ Πατὴρ τὸν Υἱὸν "οἷς βούλεται·" "οὐ σὰρξ καὶ αἷμα," τουτέστιν ἀνθρωπίνη ἐπίνοια.

Ἰσιδώρου Πηλουσιώτου Ἐπιστολῆς αφλς΄. *Δύο φησὶν αἰτίας εἶναι τῷ ἐπιγεγράφθαι Ἀθήνῃσι τῷ βωμῷ, ἀγνώστῳ θεῷ· οἱ μὲν γάρ φασιν ὡς Φιλιππίδην ἔπεμψαν Ἀθηναῖοι ἡμεροδρόμον πρὸς Λακεδαιμονίους περὶ συμμαχίας, ἡνίκα Πέρσαι ἐπεστράτευσαν τῇ Ἑλλάδι· ᾧ κατὰ τὸ Παρθένιον ὄρος Πανὸς φάσμα ἐντυχὸν, ᾐτιᾶτο μὲν Ἀθηναίους ὡς ἀμελοῦντας αὐτοῦ, ἄλλους θεοὺς θεραπεύοντας, βοηθεῖν δὲ ἐπηγγέλλετο· νικήσαντες οὖν, βωμὸν ᾠκοδόμησαν, καὶ ἐπέγραψαν ἀγνώστῳ θεῷ· ἄλλοι δέ φησιν, ὅτι λοιμὸς κατέσκηψε ποτὲ Ἀθηνάζε· καὶ εἰς τοσοῦτον αὐτοὺς ἐξέκαυσεν, ὡς μηδὲ τῶν λεπτοτάτων σινδόνων ἀνέχεσθαι· τοὺς νομιζομένους οὖν θεοὺς αὐτῶν θεραπεύοντες, οὐδὲν ἀπώναντο· ἐννοήσαντες οὖν ὅτι ἴσως τίς ἐστι θεὸς, ὃν αὐτοὶ κατέλιπον ἀγέραστον, ὁ τὸν λοιμὸν καταπέμψας, νέον δειμάμενοι βωμὸν, καὶ ἐπιγράψαντες ἀγνώστῳ θεῷ, καὶ θύσαντες, εὐθέως ἐθεραπεύθησαν· ταῦτα λαβὼν ὁ Παῦλος, ἐκ τῶν οἰκείων δογμάτων τοὺς μέγα ἐπὶ σοφίᾳ φρονοῦντας Ἀθηναίους ἐχειρώσατο.*

24 Ὁ Θεὸς, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων Κύριος,

Τοῦ Χρυσοστόμου. *Ἵνα μὴ νομίσωσιν ἕνα τῶν πολλῶν εἶναι θεὸν, τὸν ὑπ' αὐτοῦ κηρυττόμενον, διορθοῦται ἐπάγων, "οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ."*

25 Οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται, προσδεόμενός τινος,

Τοῦ αὐτοῦ. Ὁρᾷς πῶς κατὰ μικρὸν εἰσάγει τὴν φιλοσοφίαν· πῶς καταγελᾷ τῆς Ἑλληνικῆς πλάνης. Καὶ μετ' ὀλίγα—Ἐνταῦθα λοιπὸν αἰνιγματωδῶς εἶπε τὸ αὐτοῦ καὶ ἔστησε, καὶ καθαιρεῖ τὸ ἐκείνων· οἰκεῖ μὲν γὰρ ἐν ναοῖς, ἀλλ' οὐκ ἐν τοιούτοις· ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ τὴν σωματικὴν ἀνεῖλε λατρείαν· τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῶν Ἱεροσολύμων; οὐ δῆτα, ἀλλ' ἐνήργει· πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας· ἐπεὶ ἐκεῖνά γε οὐ ζητεῖ οὗτος, ὡς προσδεόμενος· "μὴ φάγομαι," φησὶ, "κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;"

Αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα·

Τοῦ αὐτοῦ. Δύο τεκμήρια θεότητος, τὸ αὐτόν τε μηδένος δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. πάραγε ἐνταῦθα Πλάτωνα, ὅσα περὶ Θεοῦ ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ πάντα λῆρος πρὸς ταῦτα· "διδούς," φησι, "ζωὴν καὶ πνοήν." ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γεννήτορα.

26 Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ παντὸς προσώπου τῆς γῆς,

Τοῦ αὐτοῦ. Ταῦτα βελτίω ἐκείνων· καὶ πόση κατηγορία τῶν τε ἀτόμων καὶ τῆς ὕλης· ὅτι οὐκ ἔστι μερικὴ, οὐδὲ ψυχὴ τοῦ οὐρανοῦ· τοῦτο δὲ οὐκ ἔστι δημιουργὸν εἶναι, ὅπερ ἐκεῖνοι φασὶν, ἀλλὰ καὶ διανοίᾳ θεραπεύεται αὐτὸς, οὐκ οἱ μερικοὶ δαίμονες· καὶ τὰ πάντα αὐτοῦ ἐστι φησί· πῶς καὶ ἄνθρωπος γέγονε πρότερον ἔδειξεν· ὅτι οὐ κατοικεῖ, καὶ τότε ἀπεφήνατο· εἰ ὁ Θεὸς, πάντα ἐποίησε δηλονότι· εἰ δὲ μὴ ἐποίησεν ὁ Θεὸς, θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· πολλῷ μείζονα δόγματα εἰσάγει· καίτοι οὐδέπω τὰ μεγάλα εἶπεν, ἀλλ' ὡς παισὶ διελέγετο· καὶ πολλῷ μείζω ταῦτα ἐκείνων ἦν, τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές, τὸ πάντων αἴτιον ἀγαθῶν ἐδήλωσεν· ἀλλὰ πῶς θεραπεύεται εἶπεν· οὔπω καιρός· τί τούτου τοῦ ὑψηλοῦ ἴσον; θαυμαστὸν καὶ τοῦτο, ἐξ ἑνὸς ποιῆσαι τοσούτους· ἀλλὰ καὶ ποιήσας αὐτοὺς συγκρατεῖ.

Ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας
27 *τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν Θεὸν, εἰ ἄρα γε ψηλα-*
φήσειεν αὐτὸν ἢ εὕροιεν,

Τοῦ αὐτοῦ. *Ὥρισε ζητῆσαι τὸν Θεόν· ἀλλ᾽ οὐ διὰ παντὸς τοῦτο ὥρισεν, ἀλλὰ προστεταγμένους καιρούς· δεικνὺς, ὅτι νῦν οὐχὶ ζητήσαντες εὗρον· ἐπειδὴ γὰρ ζητήσαντες οὐχ εὗρον, δείκνυσιν ὅτι οὕτως ἦν φανερὸς, ὥσπερ ἂν εἰς μέσον ψηλαφώμενος· οὐ γὰρ ἐνταῦθα μὲν ἦν οὐρανὸς, ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ μὲν τῷ χρόνῳ ἦν, ἄλλῳ δὲ οὔ· ὥστε καὶ κατὰ πάντα καιρὸν καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν· οὕτως ᾠκονόμησεν, ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε χρόνῳ· αὐτὸ γὰρ δὴ τοῦτο μάλιστα συνεβάλλετο, τῷ πανταχοῦ εἶναι τὸν οὐρανὸν, τῷ ἐν παντὶ χρόνῳ ἑστάναι.*

Καίγε *οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.*
28 *ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν·*

Τοῦ αὐτοῦ. Βαβαὶ *πᾶσιν ἐγγύς ἐστι τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι· τί τούτου μεῖζον; ὅρα πῶς καθαιρεῖ τοὺς μερικούς· τί λέγω μακράν; οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν· "ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν," ὥσπερ ἐν σωματικῷ ὑποδείγματι, ὥσπερ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον· "καὶ οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκαστοῦ ἡμῶν ὑπάρχοντα," μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα· ὅρα πῶς τὴν πρόνοιαν αὐτοῦ φησι καὶ τὴν συγκρότησιν· τὸ εἶναι παρ᾽ αὐτοῦ, τὸ ἐνεργεῖν, τὸ μὴ ἀπόλεσθαι.*

Ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν εἰρήκασι, τοῦ γὰρ καὶ γένος ἐσμέν.

Τοῦ αὐτοῦ. *Ἀλλ᾽ οὐδὲν ἴσον εἶπεν ὁ ποιητὴς ἐκεῖνος· "τοῦ "γὰρ καὶ γένος ἐσμὲν" φησὶ, ἀλλ᾽ ἐκεῖνος μὲν περὶ Διὸς εἶπεν, οὗτος δὲ περὶ τοῦ δημιουργοῦ αὐτὸ λαμβάνει· οὐ τὸν αὐτὸν ἐκείνῳ νοῦν λέγων· μὴ γένοιτο· ἀλλὰ τὸ κυρίως ἐπ᾽ αὐτῷ λέγων· ἐπεὶ καὶ βωμὸν τούτου εἶπεν, οὐκ ἐκείνου ὃν ἔσεβον· εἴρηται μὲν γὰρ τινὰ καὶ πράττεται εἰς τοῦτον· ἀλλ᾽ οὐκ ἴστε, ὅτι εἰς τοῦτον. εἰπὲ γάρ μοι, περὶ τίνος ἂν λεχθείη κυρίως ἀγνώστῳ θεῷ; περὶ τοῦ*

δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος, ὅτι πάντα πεπλήρωται τοῦ θεοῦ; ἢ τοῦ Διὸς μιαροῦ τινὸς ἀνθρώπου καὶ καταπύστου; ἀλλ' οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε· μὴ γένοιτο· ἀλλ' ἑτέρῳ νῷ· γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι, τουτέστιν οἰκείους, ἐγγυτάτους· ὥσπερ παροίκους καὶ γείτονας ὅταν λέγῃ.

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργυρίῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.

Ἐπειδὴ ἐκ τοῦ γένους ἡμῶν εὐδόκησεν ὁ Θεὸς τεχθῆναι ἐπὶ τῆς γῆς.

Τοῦ Χρυσοστόμου. Οὐκ εἶπεν, οὐκ ὀφείλετε νομίζειν, χρυσῷ ἢ ἀργύρῳ τὸ θεῖον εἶναι ὅμοιον· καὶ μιαροί ἐστε καὶ παμμίαροι· εἶτα τὸ ταπεινότερον τοῦτο, "οὐκ ὀφείλομεν νομίζειν," φησὶ, ὑπὲρ τοῦτο Θεός· οὐδὲ τοῦτο· ἀλλ' οὐδὲ λέγομεν τούτῳ "τὸ θεῖον εἶναι ὅμοιον·" τίς γὰρ ἂν εἴποι; ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν· ἡ γὰρ διάνοια ὅταν ὑποπτεύσῃ σῶμα, καὶ διάστημα ὑπονοεῖ. Καὶ μετ' ὀλίγα—Εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ὅμοιοι ἐκείνοις κατὰ ψυχὴν, πολλῷ μᾶλλον ὁ Θεός· τέως ἀπάγει αὐτοὺς τῆς ὑπονοίας· ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ διανοίᾳ ὑποβάλλεται, φησίν· ἢ τέχνη ἢ διάνοια εὗρεν· ὅπερ οὖν τέχνη[r] οὐκ εὑρίσκομεν αὐτόν· διπλοῦν τὸ ἔγκλημα· ὅτι τὲ ἐκεῖνον οὐχ εὗρον, καὶ τοιούτους εὗρον· οὐδαμοῦ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν.

Διδύμου. Οὐ μόνον, φησὶν, οἱ κατ' εὐσέβειαν ζῶντες δηλοῦνται γένος Θεοῦ, ἀλλα καὶ πᾶς, διὰ τὸ μὴ εἶναι ἡμᾶς ἀπολλυμένης φύσεως· εἰ καί τινες φαίνονται τὸ ἀκριβὲς μὴ σώζοντες τῆς θεοσεβείας, οἷος ὁ Ἄρατος ὁ τοῦτο εἰπών.

Ἀμμωνίου. Σημείωσαι ὅτι οὐ δύναται νοῦς ἀνθρώπου καταλαβεῖν τὸν Θεὸν, ὡς ἔστι φύσει· καὶ τοὺς λέγοντες ἀνθρωπόμορφον τὸ θεῖον, δεῖ ἐπιστομίζειν ἐκ τῶν προκειμένων ῥητῶν· εἰ γὰρ δύναται ἄνθρωπος πλάσαι, ἢ γλύψαι, ἢ γράψαι ἄνθρωπον, ἤτοι ἀνθρώπου ὁμοίωμα, ἢ ἄλλου οἱουδηποτοῦν ἐπὶ γῆς φαινομένου

[r] Deesse videtur aliquid quod suppl. rec. m. in sup. marg. sed ea abscissa, nihil comparet nisi inferiores literarum ductus et vox ζῶμεν in fine.

εἰκόνα ἐκτυπῶσαι· οὐδενὶ δὲ ἔοικε τῶν χειροποιήτων ὁ Θεὸς, κατὰ τὸ εἰρημένον τῷ Ἀποστόλῳ, ἄρα ἀπερίγραφον, ἀκατάληπτον, ἀνείδεον, ἀσώματον, ἄδηλον τὸ θεῖον· μήτε ἀνθρώπου μορφῇ ἢ ἄλλο[s] *τινὶ ἐοικός· εἰκὸς γὰρ τοὺς Ἕλληνας μὴ μόνον τὰ ἀνθρωπόμορφα ξόανα σέβειν, ἀλλὰ καὶ τοὺς ἀλλοίας ὄντας μορφῆς ὡς θεοὺς, οἷον, ἴβεις, καὶ αἰλούρους, καὶ πιθήκους, καὶ ἄλλα τούτοις παραπλήσια.*

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγέλλει τοῖς ἀνθρώποις

Τοῦ Χρυσοστόμου. *Τί οὖν οὐδεὶς κολάζεται τούτων; οὐδεὶς θελόντων μετανοεῖν· περὶ τούτων φησὶν, οὐ περὶ τῶν ἀπελθόντων· ἀλλ' οἷς παραγγέλλει· οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς φησίν· οὐκ εἶπε παρεῖδεν, οὐκ εἶπεν εἴασεν, ἀλλ' ἠγνοήσατε· ὑπερεῖδε, τουτέστιν οὐκ ἀπαιτεῖ κόλασιν, ὥσπερ ἀξίους ὄντας κολασέως, ἠγνοήσατε· καὶ οὐ λέγει ἑκόντες ἐκακουργήσατε· ἀλλὰ τοῦτο διὰ τῶν ἄνω ἔδειξεν.*

Ὅπερ γὰρ ἐπὶ ἡλίου καὶ σελήνης καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἄλλων ἐποίησεν· οὐ τοῖς μὲν πλουτοῦσι καὶ σοφοῖς πλείονος μεταδιδοὺς τῆς ἀπὸ τούτων χορηγίας, ἐλάττονος δὲ τοῖς πένησιν· ἀλλ' ἴσην ἅπασι τὴν ἀπόλαυσιν προτιθεὶς, τοῦτο καὶ ἐπὶ τοῦ κηρύγματος εἰργάσατο· καὶ πολλῷ πλεῖον· ὅσῳ καὶ ἀναγκαιότερον τοῦτο ἐκείνων.

Σευήρου ἐκ τοῦ κατὰ Ἀλέξανδρον συντάγματος. *Παραστήσας γὰρ αὐτοῖς διὰ πάσης τῆς δημηγορίας καὶ διαλέξεως· ὅτι παρ' ὅλον τὸν βίον αὐτῶν ἠγνόησαν τὸν ὄντα Θεὸν, διὰ τῶν αὐτῶν τούτων βούλεται τὸ μέγεθος τῆς φιλανθρωπίας ἐνδεῖξασθαι· καὶ φησὶ, τῶν χρόνων τούτων τὴν ἄγνοιαν ὑπεριδὼν, τουτέστι ὑπερβὰς, καὶ δέον κολάσαι, μὴ κολάζων, καλεῖ τανῦν πρὸς μετάνοιαν· ἐξεπίτηδες πληθυντικῶς ὀνομάσας τοὺς χρόνους, ἵνα μᾶλλον ἐξάρῃ τὴν δωρέαν.*

Ἀμμωνίου. *Οὐκοῦν εἰ ὑπερεῖδεν ὁ Θεὸς τὰ ἐξ ἀγνοίας γενόμενα τοῖς ἀνθρώποις παραπτώματα ἀπὸ καταβολῆς κόσμου, καὶ παντὶ δίδωσι τῶν παραπτωμάτων ἄφεσιν, εἰκότως ἐπ' ἐσχάτου τῶν*

[s] Sic.

καιρῶν ἐπεδήμησεν· ἵνα ἐφ' ὅσον ἀναβάλλεται τὴν ἑαυτοῦ παρουσίαν· ἐπὶ τοσοῦτον δειχθῇ αὐτοῦ ἡ ἀμέτρητος φιλανθρωπία· ἐξ ὧν πολυπλασιαζόμενα τὰ κακὰ συγχωρεῖ, καὶ τῶν μελλόντων συσφίγγει τὸν χρόνον· ἵνα ἐν τῇ ὀλιγότητι τοῦ χρόνου διασωθῇ ἡ πίστις· διὸ δὴ ἔλεγεν αὐτοῖς· "ἄρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν "πίστιν ἐπὶ τῆς γῆς;" καὶ μή μοι λέγε, τί πρὸς τοὺς τετελευτηκότας; ὅπουγε καὶ αὐτοῖς ἐκηρύχθη τὸ τῆς ἀληθείας εὐσεβὲς μυστήριον· καὶ πάντες οἱ πιστεύσαντες ἐλύθησαν ἐκ τῶν τοῦ θανάτου δεσμῶν· καὶ ἀνελθόντες ἐξ ᾅδου μετῴκησαν εἰς τὸν παράδεισον· καὶ ὅτι τοῦτο ἀληθὲς, δυνατὸν μᾶλλον καὶ ἐξ ἐκείνου στοχάσασθαι· οἴδαμεν ὅτι ἐν τῇ ὥρᾳ ᾗ ἀπέθανεν Ἰησοῦς, ὁ Θεὸς ἡμῶν, πολλοὶ νεκροὶ ἀνέστησαν καὶ ὤφθησαν ἐν Ἱεροσολύμοις κατὰ τὸ προφητευθέν· "ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς "μνημείοις·" ὡς ἐκ τούτου γνῶναι ἡμᾶς, ὅτι κατελθὼν εἰς ᾅδου ὁ Κύριος, καὶ κηρύξας ἄφεσιν τοῖς εἰς αὐτὸν πιστεύουσιν, ἀπέλυσε τὰς ψυχὰς τῶν εἰς αὐτὸν πιστευσάντων· ἅπαντες δὲ οὐκ[s] ἐπίστευσαν, διὸ οὐδὲ πάντα τὰ σώματα τῶν κεκοιμημένων ἀνέστη τότε, ἀλλὰ τινά· οὐκ εἶπε δὲ τὸ Εὐαγγέλιον, ὅτι Ἰουδαίων μόνον ἀνέστησε σώματα, ἀλλ' ἀορίστως εἰπὼν "πολλοὶ," ἐδήλωσεν ὅτι καὶ Ἑλλήνων· ἦσαν γὰρ ἀπὸ χρόνων αἰωνίων, καὶ σώματα ἐκεῖ ἐθνικῶν, διὰ τὸ πρῴην ὑπὸ Ἑλλήνων τὴν χώραν οἰκεῖσθαι· καὶ ὕστερον πάλιν λαβόντων τῶν Ἰουδαίων τὴν πόλιν, μὴ ἐξολοθρευθῆναι τὸν Ἰεβουσαῖον λαὸν εἰς τέλος, ἀλλὰ κατοικῆσαι ἐν μέσῳ τῆς Ἰούδα· καὶ μή μοι τις λεγέτω, καὶ πῶς με πείθεις, καὶ περὶ τῶν λοιπῶν ψυχῶν; ἀπὸ γὰρ τοῦ μέρους τὸ πᾶν καταλαμβάνομεν· εἰ μὲν γὰρ οἷόν τε ἦν βλέψειν ἡμᾶς τοὺς ὄντας ἐν σώμασι ψυχὰς ἀνθρώπων, εἴχομεν ἂν ἰδεῖν πάντας τοὺς ἀνελθόντας ἐκ τοῦ ᾅδου πιστοὺς, καὶ εἰς παράδεισον ἢ εἰς οὐρανοὺς ἀποπτάντας· ἐπειδὴ δὲ οὐ δύναται φύσις ἀνθρώπου ἐν σαρκὶ οὖσα πνεῦμα λεπτομερὲς, ὅ ἐστι ψυχὴ, ὀφθαλμοῖς θεωρῆσαι, εἰκότως πρὸς πειθὼ τινὰς ἡμῖν παρέστησε μετὰ τῶν σωμάτων, ἵνα θεωροῦντες αὐτοὺς πεισθῶμεν· ἄτοπον γὰρ ἦν πάντας ἐγεῖραι τοὺς νεκροὺς τοὺς ἀπὸ καταβολῆς κόσμου τετελευτηκότας, πιστεύσαντας δὲ ἐν ᾅδου· πρῶτον μὲν ἵνα μὴ πρὸ καιροῦ γένηται ἀνάστασις πολλῶν, ἀρκούντων καὶ ὀλίγων πεῖ-

[s] Οὐκ om. a Cod. suppl.

σαι τοὺς ἀφιλονείκως τῇ ἀληθείᾳ πιστεύοντας, μᾶλλον δὲ πολλῶν κατὰ τὸ εἰρημένον ἐν τῷ Εὐαγγελίῳ· ἔπειτα δὲ διὰ τὸ ἐγκεκαλυμμένως ποιεῖν αὐτὸν τὰ σημεῖα, δι' ὧν ἐπειθόμεθα τῇ ἀληθείᾳ· ὅθεν καὶ αὐτὸς οὐ μετὰ φαντασίας κατῆλθεν ἐπὶ γῆς, ἀλλὰ λεληθότως θεσμῷ ἀνθρώπων, γενόμενος ἐκ γυναικὸς, καὶ ποιῶν σημεῖα καὶ ἰάσεις, δι' ὧν ἔπειθεν ὅτι Θεὸς ἦν· ἵνα οἱ δόκιμοι φανῶσιν· οὕτως οὖν καὶ ἐπὶ τούτου ἐποίησεν· ἐν μέρει τινὶ τῆς γῆς ὀφθαλμοφανῶς παραστήσας τοὺς νεκροὺς τοῖς ζῶσιν, ἵνα διὰ τῶν αὐτόπτως ἑωρακότων οἱ λοιποὶ πεισθῶμεν· μὴ μόνον περὶ τῆς τῶν νεκρῶν ἀφέσεως, ἀλλὰ καὶ περὶ τῆς αὐτοῦ ἐπιδημίας, ἥτις οὐκ ἐν ὅλῃ τῇ γῇ γέγονεν, ἀλλ' ἐν μέρει τινὶ τῆς γῆς. διὰ τῶν αὐτὸν ἑωρακότων ἐπιστοποιήθη πάσῃ τῇ γῇ, ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν, ἀπὸ ἄρκτου καὶ μεσημβρίας.

Πάντας πανταχοῦ μετανοεῖν·

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Πάλιν τὴν οἰκουμένην αἰνίττεται· ὅρα πῶς αὐτοὺς ἀπάγει τῶν μερικῶν· ὁρᾷ πῶς πάλιν τὸ πάθος δηλοῖ· ὅρα τὸ ἔμπαλιν δι' ἄνθρωπον· ὅτι γὰρ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως· συγκατασκευάζεται γὰρ ὅτι πάντα ἀληθῆ ἃ εἶπε· δῆλον ἐξ ὧν ἀνέστη· πᾶσι γὰρ ταύτην παρέχειν πίστιν τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· καὶ τοῦτο λοιπὸν δῆλον.

31 Καθὸ ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ,

ΤΟΥ ΑΥΤΟΥ. Ἡ γὰρ ἡμέρα ἐκείνη τοῖς ἐν κατορθώμασι ζῶσι ποθεινὴ, ὥσπερ οὖν τοῖς ἐν ἁμαρτήμασι φοβερὰ, καθάπερ τοῖς καταδίκοις.

ΣΕΥΗΡΟΥ ἈΝΤΙΟΧΕΙΑΣ ἘΚ ΤΗΣ[t] ΠΡΟΣ ἈΝΑΣΤΑΣΙΟΝ ΔΙΑΚΟΝΟΝ ἘΠΙΣΤΟΛΗΣ. Μία γάρ ἐστιν ἡ πάντων ἀνάστασις· καὶ μίαν ἡμέραν ὥρισεν ὁ Θεὸς, "ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ·" μεθ' ἣν ἡμερῶν καὶ νυκτῶν οὐκ ἔσται περίοδος καὶ μηνῶν καὶ ἐνιαυτῶν ἀνακύκλωσις· ἡ γὰρ αὐτὴ τῆς ἀναστάσεως ἐστιν ἡμέρα, καὶ κρίσεως, καὶ τῆς τῶν ἀγαθῶν ἀπολήψεως.

ΤΟΥ ΑΥΤΟΥ. Τὰ τῆς ἀναβολῆς φησὶ τῶν εὐθυνῶν μέχρι τῆς ἡμέρας τῆς κρίσεως· τότε γὰρ ἡ οἰκουμένη πᾶσα, τουτέστιν ἡ φύσις ἀνθρώπων, κριθήσεται.

[t] τ' εἰς Cod.

Διδύμου. Ὥσπερ τὰ ἄλλα τῆς προνοίας αὐτοῦ ἔργα φανερὰ πεποίηκεν· ἀναγκαίως κρίσιν κατὰ πασῶν πράξεων καὶ διαλήψεων ποιήσει, ἐν ἀνδρὶ ᾧ ὥρισεν ἔσεσθαι κριτὴς ζώντων καὶ νεκρῶν· οὗτος δέ ἐστιν ὁ ἐνανθρωπήσας Κύριος.

Ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

Τοῦτον γὰρ τὸν ἄνδρα ὁρῶν ὁ Ἀβραὰμ ὡς ἄνδρα, διελέγετο· "μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν;"

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην ὑπομνήματος. Τί ποιεῖς ὦ μακάριε Παῦλε; οὐδὲν περὶ τῆς τοῦ Θεοῦ λέγεις μορφῆς, οὐδ' ὅτι ἴσος αὐτῷ, οὐδ' ὅτι ἀπαύγασμα τῆς δόξης· οὔ φησιν· οὔπω τούτων καιρὸς τῶν ῥημάτων· ἀγαπητὸν αὐτοὺς παραδέξασθαι τέως, ὅτι ἄνθρωπός ἐστιν· οὕτω καὶ αὐτὸς ἐποίησε· παρ' ἐκείνου ταῦτα ἔμαθον· οὐ γὰρ εὐθέως ἡμῖν ἑαυτοῦ τὴν θεότητα ἐξεκάλυψεν· ἀλλὰ πρῶτον μὲν ἐνομίζετο εἶναι προφήτης καὶ Χριστὸς, ἁπλῶς ἄνθρωπος· ὕστερον δὲ ἐφάνη τοῦτο ὅπερ ἦν. Καὶ μετ' ὀλίγα—Οὐδὲν οὖν περὶ τῆς θεότητος αὐτοῦ μαθεῖν σαφὲς ἴσχυον.

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον·
33 οἱ δὲ εἶπον, ἀκουσόμεθά σου περὶ τούτου πάλιν. καὶ οὕ-
τως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

Τοῦ Χρυσοστόμου. Τί δήποτε παίσαντες ἑαυτοὺς καὶ πάλιν αὐτῶν ἀκούσεσθαι, καὶ κινδύνων οὐκ ὄντων, οὕτως ἐπείγεται τὰς Ἀθήνας ἀφεῖναι ὁ Παῦλος; ἴσως ᾔδει οὐ μέγα ὀνήσων, καὶ ὑπὸ τοῦ Πνεύματος εἰς Κόρινθον ἤγετο. Καὶ μετ' ὀλίγα—Πόσα μεγάλα καὶ ὑψηλὰ ἀκούσαντες οὐ προσεῖχον, ἀλλὰ τὴν ἀνάστασιν χλευάζοντες· "ψυχικὸς γάρ," φησιν, "ἄνθρωπος, οὐ δέχεται τὰ "τοῦ Πνεύματος·" "καὶ οὕτω," φησὶν, "ἐξῆλθεν ὁ Παῦλος·" πῶς; τοὺς μὲν πείσας, ὑπὸ δὲ τῶν χλευαζόμενος.

Ἀμμωνίου. Οἱ γὰρ πάντα σαρκικοὶ καὶ ἄπιστοι ἄνθρωποι μόνον τῇ θέᾳ ἐπιτρέπουσι τὸ πᾶν· οὐδὲν τῇ τοῦ Θεοῦ διδασκαλίᾳ πιστεύοντες· ὅσα γὰρ ἔργῳ τις αὐτοῖς οὐκ ἠδύνατο παραστῆσαι, τούτοις ἠπίστουν· διὸ καὶ οἱ θέλοντες αὐτοῖς φρεναπατᾶν περὶ τῶν μετεώρων, δι' ἑτέρων παραδειγμάτων, ἢ παρὰ τῶν τροχοὺς καὶ μύρ-

μηκας εἰς ἀπόδειξιν ἡλίου καὶ οὐρανοῦ δρόμον παραφέροντες, καὶ ἐκ τούτων τὰ ἄδηλα καταστοχαζόμενοι, καὶ διὰ τῶν ἀπατηλῶν γοητεύοντες τὰς τῶν ἠλιθίων ψυχάς.

34 Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Τοῦ Χρυσοστόμου. *Οἱ μὲν γὰρ ἐπιμελώμενοι βίου ταχέως ἐδέξαντο τὸν λόγον, οἱ δὲ λοιποὶ οὐκέτι.*

Ἔξω τῆς πόλεως ἦν τὸ κατ' Ἄρειον πάγον δικαστήριον, κατ' αὐτὴν τὴν ἐξοχὴν τοῦ κατὰ τὴν πόλιν συστάντος δικαστηρίου, μεταξὺ Ποσειδῶνος καὶ Ἄρεος· ὁ γὰρ Ποσειδῶν πρὸς Ἄρεα κατὰ τοὺς ἀρχαίους μύθους παρ' Ἀθηναίοις ἐν τῷ τόπῳ τούτῳ ἐδικάσατο, φάσκων ἀναιρεθῆναι τὸν ἴδιον υἱὸν Ἀλιρρόθιον[u] ὑπ' Ἄρεος· κἀκεῖθεν ἐξ Ἄρεος ὁ πάγος ἐκεῖνος ἐκλήθη. ἐδίκαζον οὖν Ἀρεοπαγῖται περὶ πάντων σχεδὸν τῶν σφαλμάτων καὶ παρανομιῶν· διὰ δὴ τοῦτο ἅτε καινῶν δαιμονίων καταγγελέα τὸν θειότατον Παῦλον, οἱ τῆς ὑπὸ Θεοῦ μωρανθείσης φιλοσοφίας ἐρασταὶ, πρὸς τὴν ἐξ Ἀρείου Πάγου βουλὴν ἕλκουσιν· ἀλλ' ἐν τοῖς Ἀρεοπαγίταις τότε βουλεύων, ἅτε δικαστὴς ἀκλινέστατος, ὁ θεῖος Διονύσιος, ἀδέκαστον ἀπένειμε τῇ κατὰ τὸν πνευματοφόρον Παῦλον ἀληθείᾳ τὴν ψῆφον· ἐρρῶσθαι τὲ πολλὰ φράσας τῇ τῶν Ἀρεοπαγιτῶν ἀνοήτῳ σεμνότητι, τὸν ἀληθῆ Χριστὸν καὶ Υἱὸν Θεοῦ ἐννοήσας, ἐκήρυξεν εὐθὺς, καὶ τοῦ φωτίσματος εἴχετο· κἂν γὰρ Ῥωμαῖοι τότε ἐκράτουν, ἀλλ' οὖν αὐτονόμους ἀφῆκαν Ἀθηναίους καὶ Λακεδαίμονας· ὅθεν ἔτι παρ' Ἀθηναίοις καὶ κατὰ τοὺς Ἀρεοπαγίτας ἐπολιτεύετο· καὶ τελεῖται μὲν ἅπαντα τῆς σωτηρίας τὰ δόγματα διὰ Παύλου· παιδεύεται δὲ διδασκαλικῶς ὑπὸ Ἱεροθέῳ τῷ μεγίστῳ, καθά φησιν αὐτός· εἶτα καθίσταται κατὰ τὸ φερόμενον ἐν ζ βιβλίῳ τῶν Ἀποστολικῶν διατάξεων ὁ Διονύσιος Ἐπίσκοπος ὑπὸ Παύλου τῶν Ἀθήνῃσι πιστευσάντων.

[u] ἀλλιρόθιον Cod.

ΚΕΦ. ΚΖ.

Περὶ Ἀκύλα καὶ Πρισκίλλης καὶ τῆς Κορίνθου ἀπειθείας· τῆς τε κατὰ πρόγνωσιν ἐπ' αὐτοῖς εὐδοκίας τοῦ Θεοῦ ἀποκαλυφθείσης τῷ Παύλῳ.

1 Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν,
2 ἦλθεν εἰς Κόρινθον· καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι
Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ
τῆς Ἰταλίας, καὶ Πρισκίλλαν γυναῖκα αὐτοῦ,

Τοῦ Χρυσοστόμου. Εἰς Κόρινθον, ὡς ἔφην, ὑπὸ τοῦ Πνεύματος ἠπείγετο, ἐν ᾗ μένειν ἔδει· οἱ γὰρ Ἀθηναῖοι, καίτοι ξένης ὄντες ἀκροάσεως ἐρασταί, ὅμως οὐ προσεῖχον· οὐ γὰρ τοῦτο ἐσπούδαζον· ἀλλ' ὥστε ἀεί τι ἔχειν εἰπεῖν, ὅπερ αὐτοὺς καὶ προσχέσθαι ἐποίησεν· εἰ δὲ τοῦτο ἦν αὐτοῖς ἔθος, πῶς ἐγκαλοῦσιν ὅτι ξένων δαιμονίων καταγγελεύς ἐστιν; ἱκανῶς οὖν ἔχειν ἔδοξε τῷ Παύλῳ τὸ καταβαλεῖν τὰ σπέρματα, τὸ γὰρ πλέον αὐτῷ τῆς ζωῆς ἐνταῦθα προκεχωρήκει.

Διὰ τὸ διατεταχέναι Κλαύδιον, χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς·

Τοῦ αὐτοῦ. Ἐπὶ μὲν γὰρ Νέρωνος ἐτελειώθη ὁ Παῦλος· ἐπὶ δὲ Κλαυδίου ἀνεριπίζετο λοιπὸν ὁ πρὸς Ἰουδαίους πόλεμος· μακρόθεν μέν, ὥστε κἂν οὕτως σωφρονίσαι· καὶ ἀπὸ Ῥώμης ὡς λυμεῶνες ἠλαύνοντο· διὰ τοῦτο οἰκονομεῖται τοῦτον ὡς δέσμιον ἀπαχθῆναι ἐκεῖ, ἵνα μὴ ὡς Ἰουδαῖος ἀπελαύνηται, ἀλλ' ὡς ὑπὸ τῇ τάξει πράττων· καὶ φυλάττεται ἐκεῖ.

3 Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς καὶ
4 εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. διελέ-
γετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε
5 Ἰουδαίους καὶ Ἕλληνας. Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μα-
κεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ Πνεύ-
ματι ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις εἶναι
Χριστὸν Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. Παρ' αὐτῷ μένει, καὶ οὐκ αἰσχύνεται μένων· ἀλλὰ καὶ διὰ τοῦτο μένει, ὡς ἐπιτήδειον εὑρὼν καταγώγιον·

πολλῷ γὰρ αὐτῷ τῶν βασιλείων ἐπιτηδειότερον ἦν· καὶ μὴ γελάσῃς, ἀγαπητέ· καθάπερ γὰρ ἀθλητῇ ἡ παλαίστρα τῶν ἁπαλῶν στρωμάτων μᾶλλον χρήσιμον, οὕτω καὶ πολεμιστῇ τὸ ξίφος τὸ σιδηροῦν, ἀλλ' οὐ τὸ χρυσοῦν· καὶ εἰργάζετο κηρύττων· αἰσχυνθῶμεν ἡμεῖς οἱ καὶ χωρὶς τοῦ κηρύττειν ἀργῶς ζῶντες.

Τοῦ αὐτοῦ. Μηδεὶς τοίνυν αἰσχυνέσθω τῶν τὴν τέχνην ἐχόντων, ἀλλ' οἱ εἰκῇ τρεφόμενοι καὶ ἀργοῦντες· οἱ διακόνοις κεχρημένοι πολλοῖς, καὶ ἀφάτου θεραπείας ἀπολαύοντες. τὸ γὰρ διὰ παντὸς ἐργαζόμενον τρέφεσθαι, φιλοσοφίας εἶδος ἐστί· τούτων αἱ διάνοιαι καθαρώτεραι· τούτων αἱ διάνοιαι εὐτονώτεραι· ὁ γὰρ ἀργῶν πολλὰ εἰκῇ μᾶλλον πράττει[x]· καὶ ἐργάζεται δι' ὅλης ἡμέρας οὐδὲν, πολλῆς νάρκης ἐμπεπλησμένος· ὁ δὲ ἐν ἐργασίᾳ ὢν, οὐδὲν ταχέως περιττὸν παραδέξεται· οὔτε ἐν ἔργοις, οὔτε ἐν λόγοις, οὔτε ἐν ἐννοίαις. ὅλη γὰρ δι' ὅλης συντέταται πρὸς τὸν ἐπίπονον βίον ἡ ψυχή. μὴ τοίνυν καταφρονῶμεν τῶν ἀπὸ τῶν χειρῶν τρεφομένων, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς μακαρίζωμεν διὰ τοῦτο. Καὶ πάλιν—Παῦλος οὗτος μετὰ μυρίους διαύλους, κατὰ τοσαῦτα θαύματα, ἐπὶ σκηνορραφείου[y] ἑστὼς δέρματα ἔρραπτε· καὶ ᾐδοῦντο αὐτὸν ἄγγελοι, καὶ δαίμονες ἔτρεμον· καὶ οὐκ ᾐσχύνετο λέγων, "ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες "αὗται."

Τοῦ αὐτοῦ. Ὁ Κύριος ἐν φάτνῃ ἐτέθη τεχθεὶς, καὶ μητέρα ἔλαβεν εὐτελῆ· καὶ τῷ πρὸς καπηλείαν βλέποντι ἔλεγεν· "ὁ δὲ "υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει τὴν κεφαλὴν ποῦ κλίνῃ·" ὁμοίως καὶ οἱ αὐτοῦ μαθηταὶ τὸν αὐτὸν διετήρουν νόμον, εἰς τὰς τῶν πενήτων οἰκίας καταγόμενοι· καὶ ὁ μὲν πρὸς βυρσέα, ὁ δὲ πρὸς σκηνορράφον[z]· κατέλυον καὶ πρὸς πορφυρόπωλιν[a]· οὐ γὰρ οἰκίας περιφάνειαν, ἀλλὰ ψυχῶν ἀρετὰς ἐπεζήτουν.

Ἀμμωνίου. Σημειωτέον ὅτι εἰργάζετο ὁ Ἀπόστολος, καὶ ὅτι σκηνοπηγικὴν εἶχε τέχνην.

6 Ἀνθισταμένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος αὐτοῦ τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς·

[x] Add. rec. m. in marg. πολλὰ εἰκῇ μᾶλλον φθέγγεται. [y] ἐπισκηνοραφείου Cod. [z] σκηνοράφον Cod. [a] πορφυρόπολιν Cod.

Τοῦ Χρυσοστόμου. Ὥστε μὴ ῥήματι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι· καὶ σφοδρότερον διαλέγεται, ἅτε καὶ πολλοὺς πεπεικώς. Καὶ πάλιν—Σφοδρῶς αὐτοὺς φοβήσας ὁ Παῦλος ἀφίσταται αὐτῶν.

Τὸ αἷμα ὑμῶν ἐπὶ τὰς κεφαλὰς ὑμῶν· καθαρὸς ἐγώ·

Ἀμμωνίου. "Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν" ἀσαφές ἐστι τὸ ῥητόν· οἶμαι δὲ αὐτὸ τοῦτο λέγειν· ἕκαστος τῶν ἀπιστούντων Χριστῷ, ὅς ἐστι ζωὴ, δοκεῖ ἑαυτὸν φονεύειν, ἀπὸ τῆς ζωῆς μεταβαίνων εἰς θάνατον· τὸ αἷμα ἑαυτοῦ τρόπον τινὰ ἐκχέων διὰ τῆς σφαγῆς, ἣν ἐπιφέρει ἑαυτῷ· τοῦτο οὖν φησίν· ἀνθ' ὧν σφάξετε ἑαυτοὺς διὰ τῆς ἀπιστίας, αὐτοῦ τούτου ὑμεῖς ὑπόσχητε δίκην, ἐμοῦ ἀθῴου ὄντος. ἐκ ταύτης δὲ τῆς σημειώσεως δυνατὸν τάχα εἰπεῖν, ὅτι ὁ σφάζων ἑαυτὸν τιμωρεῖται ὡς φονεὺς παρὰ τῷ Θεῷ· εἰ δὲ ἄλλος τις γένηται αἴτιος αὐτῷ τούτου, κἀκεῖνος· τί γὰρ ὅτι διωκόμενός τις ὑπό τινος, καὶ ῥίψας ἑαυτὸν κατὰ κρημνῶν ἀπέθανεν, ἢ καὶ ὑπὸ πολλῆς περιστάσεως, καὶ πικρᾶς φυλακῆς, καὶ ποικίλων ἐπιπολὺ βασάνων συνεχόμενος, δηλητηρίῳ ἐχρήσατο;

7 Ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύομαι. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Τίτου Ἰούστου, σεβομένου τὸν Θεὸν,

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς πάλιν εἰπὼν "ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη," οὐδὲ οὕτως αὐτῶν ἀμελεῖ. ὥστε τοῦ διεγεῖραι ἕνεκεν ἔλεγε τοῦτο.

Οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

Τοῦ αὐτοῦ. Ὥστε καὶ ἀπὸ τούτου ζῆλον ἔχειν ἀπὸ τῆς γειτνιάσεως.

* Περὶ Κρίσπου ἀρχισυναγώγου πιστεύσαντος σὺν ἑτέροις τισὶ καὶ βαπτισθέντος.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο.

Τοῦ αὐτοῦ. Ὅρα γοῦν εὐθέως τὸν ἀρχισυνάγωγον Κρίσπον πεισθέντα, καὶ ἑτέρους πολλοὺς, τούτου γενομένου· "καὶ ἐβαπτί-

" ζοντο·" τοῦτον λέγει Κρίσπον, ὡς καὶ γράφων φησὶν, " οὐδένα " ἐβάπτισε εἰ μὴ Κρίσπον καὶ Γάϊον·" τοῦτον οἶμαι καὶ Σωσθένην λέγεσθαι, ἄνδρα πιστὸν, ὥστε καὶ τύπτεσθαι καὶ παρεῖναι ἀεὶ τῷ Παύλῳ· ἔπειθε δὲ τὸν Κρίσπον τὸ πλῆθος, ἡ δὲ οἰκείωσις τοῦ Χριστοῦ πλέον· μείζων γὰρ ὁ κίνδυνος ἐγίνετο λοιπὸν, καὶ τῶν πλειόνων πιστευόντων, καὶ τοῦ ἀρχισυναγώγου.

9 Εἶπε δὲ ὁ Κύριος ἐν νυκτὶ δι' ὁράματος τῷ Παύλῳ,
10 μὴ φόβου, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς· διότι ἐγώ
εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί
11 σε· διότι λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ. ἐκά-
θισε δὲ ἐνιαυτὸν καὶ μῆνας ἓξ, διδάσκων ἐν αὐτοῖς τὸν
λόγον τοῦ Θεοῦ.

Ἀμμωνίου. Σημειωτέον ὅτι εἶδε τὸν Κύριον Ἰησοῦν ὁ Παῦλος δι' ὀνείρων· διὸ καὶ αὐτὸς ἔλεγεν· " οὐχὶ Ἰησοῦν τὸν Κύριον ἡμῶν " ἑώρακα;" εἴτε δὲ δι' ὀνείρων, εἴτε καὶ ἐγρηγορῶς ἐθεώρησε τὸν Ἰησοῦν, οὐδεμία διαφορά· πλὴν καὶ ἐν ἡμέρᾳ ὤφθη αὐτῷ.

Διδύμου. Ἐν Κορίνθῳ τυγχάνοντι τῷ Ἀποστόλῳ, ὁ Θεὸς δι' ὁράματος ὀφθεὶς, προτρέπεται αὐτὸν μὴ φείδεσθαι τοῦ λέγειν τὸν τῆς διδασκαλίας λόγον· τὴν αἰτίαν τοῦ μὴ δεῖν σιωπᾶν, ἀλλὰ λαλεῖν αὐτὸν, δηλώσας· ἔστι δὲ αὕτη· πολλοὺς εἶναι ἐν τῇ πόλει τῇ προκειμένῃ γνωσθέντας αὐτῷ τῷ Θεῷ, ὡς παραδέξονται τὴν κηρυττομένην διδασκαλίαν· ἐπεὶ γὰρ εἰκὸς ἦν ἄνθρωπον ὄντα δεδιέναι ἐπιβουλὴν, σχεδὸν γὰρ πάντες εἰσέτι τότε εἰδωλολάτραι ἐτύγχανον, παραθαρσύνει, καὶ εἰς ἀνδρίαν ἀλείφει τὸν διδάσκαλον, φήσας, μετὰ σοῦ εἰμι, κωλύων πάντας τοὺς ἐπιτιθεμένους κακῶσαί σε· ὡς μηδὲ τὰς χεῖρας ἐπιβαλεῖν κατὰ σοῦ. ἐπεὶ οὖν χρῶνται τῷ ῥητῷ οἱ τὰς φύσεις εἰσάγοντες, φάσκοντες πολλοὺς εἶναι ἐν Κορίνθῳ τῆς πνευματικῆς φύσεως, οἳ καὶ λαὸς εἰσὶ τοῦ Θεοῦ, ῥητέον, ὡς οὐ διὰ φύσιν, ἀλλ' εὐσεβῆ πρόθεσιν, οἰκειοῦταί τις τῷ Θεῷ· οὕτω γὰρ καλεῖ λοιπὸν λαὸν ἑαυτοῦ τὸν οὐκ ὄντα αὐτοῦ πρότερον· ὅθεν Θεοῦ ὄντος τοῦ εἰρηκότος λαὸν εἶναι ἐκεῖ πλείονα, λεκτέον, ὡς εἶδεν ἤδη τὴν ἐσομένην συγκατάθεσιν πρὸς τὴν διδασκαλίαν.

* *Στάσεως κινηθείσης ἐν Κορίνθῳ, ὁ Παῦλος ὑπεχώρησεν, ἐλθὼν τὲ εἰς Ἔφεσον καὶ διαλεχθεὶς ἐξῆλθεν.*

12 Γαλλίωνος δὲ ἀνθυπάτου ὄντος τῆς Ἀχαΐας, κατεπέ-
13 στησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον
αὐτὸν ἐπὶ τὸ βῆμα, λέγοντες, ὅτι παρὰ τὸν νόμον οὗτος
ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.

Τοῦ Χρυσοστόμου. *Ὅρα διὰ πόσων αὐτὸν ὁ Κύριος πείθει· καὶ ὃ μάλιστα αὐτὸν ᾔδει, τοῦτο ὕστερον αὐτῷ λέγει· "ὅτι λαὸς "πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ·" πῶς οὖν συνεπέθεντο, εἴποιτό τις ἄν; καὶ μὴν οὐδὲν ἴσχυσαν· ἀλλ' ἦγον αὐτὸν πρὸς τὸν ἀνθύπατον· ἱκανὸν δὲ αὐτὸν τοῦτο διαναστῆσαι τὸ μὴ παθεῖν· εἴτε ἠλέγχθη φοβούμενος, ἢ οὐκ ἠλέγχθη· οὐ γὰρ εἴασεν αὐτοὺς ὁ Κύριος ἀεὶ πάσχειν κακῶς, ὥστε μὴ ἀσθενεστέρους γενέσθαι· οὐδὲν δὲ οὕτως ἐλύπει τὸν Παῦλον, ὡς οἱ ἀπειθοῦντες, ὡς οἱ ἀντιταττόμενοι· τοῦτο καὶ τῶν κινδύνων χαλεπώτερον ἦν· διὰ τοῦτο αὐτῷ φαίνεται νῦν.*

14 Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν
ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους,

Τοῦ Χρυσοστόμου. *Ἐπιεικής τις ἄνθρωπος οὗτος εἶναί μοι δοκεῖ· ἀπετείχισεν αὐτοῖς τὸ δικαστήριον· λαμπρὰ γέγονεν ἡ νίκη· δείκνυσι τῶν Ἰουδαίων τέως κατὰ τὸ πρόχειρον τὴν παράνομον κατὰ τοῦ Παύλου κατηγορίαν ὁ ἀνθύπατος, ἀποβαλλόμενος αὐτούς· καὶ κατακρίνει τὸν Πιλάτον, τὸν μηδεμίαν εὑρηκότα κατηγορίαν κατὰ τοῦ Θεοῦ Λόγου Ἰησοῦ, καὶ μαστιγώσαντα αὐτὸν, καὶ παραδόντα εἰς θάνατον· καίτοι αὐτὸς λέγων, "ὅτι οὐδεμίαν εὑρίσκω "ἀφορμὴν θανάτου κατὰ τοῦ ἀνθρώπου τούτου."*

Εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρὸν, ὦ
15 Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· εἰ δὲ ζήτημά
ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς,
ὄψεσθε αὐτοί· κριτὴς γὰρ τούτων οὐ βούλομαι εἶναι·
16 καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. ἐπιλαβόμενοι
17 δὲ πάντες οἱ Ἰουδαῖοι Σωσθένην τὸν ἀρχισυνάγωγον,

ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελλεν.

Τοῦ αὐτοῦ. *Τυπτομένου γὰρ αὐτοῦ οὐχ ἡγήσατο ἰδίαν εἶναι ὕβριν, οὕτως ἦσαν ἰταμοὶ Ἰουδαῖοι· ὢ τῆς αἰσχύνης· ἀναισχύντησαν, καὶ οὐδὲν τῷ Γαλλίωνι ἔμελλε· καίτοι εἰς τὴν αὐτοῦ ὕβριν τὸ πρᾶγμα ἦν· ἀλλ' ὡς δῆθεν ἐξουσίαν λαβόντες ἔτυπτον· διατί μὴ ἐκεῖνος ἐτύπτησε; καίτοι αὐτὸς ἐξουσίαν εἶχεν· ἀλλ' ἐπαιδεύοντο, ὥστε καὶ τὸν δικαστὴν μαθεῖν, τίς ἦν ὁ ἐπιεικέστερος.*

Ἀμμωνίου. *Ἢ διὰ τοῦτο ἔτυπτον τὸν Σωσθένην, ἐπειδὴ καὶ αὐτὸς ἦν μᾶλλον προστιθέμενος τῷ Παύλῳ, ὡς καὶ Κρίσπος ὁ ἀρχισυνάγωγος· ἢ εἰς τοσοῦτον ἦσαν ἐληλακότες μανίας, ὅτι ἀποτυχόντες τοῦ σκοποῦ ἑαυτῶν, ἀντὶ τοῦ τύπτειν τὸν Παῦλον, Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον· ἢ διὰ τοῦτο ἔτυπτον αὐτὸν, ἐπειδὴ ἠβουλήθησαν αὐτὸν φονεῦσαι τὸν Παῦλον, καὶ Σωσθένης διεκώλυσεν αὐτούς.* Καὶ μετ' ὀλίγα—*Ἐπ' αὐτοῦ τοῦ ἄρχοντος ἀκαθοσιώτως ποιοῦντες, ἔτυπτον Σωσθένην, τοῦτο λέγοντες· εἰ ὁ θέλων ποιεῖ ὃ θέλει, καὶ οὐκ ἔστι νόμος, ἰδοὺ ἡμεῖς τύπτομεν τοῦτον· καὶ οὐ προσεποιεῖτο αὐτοὺς ὁ ἀνθύπατος, ἀλλ' εἶα αὐτοὺς τύπτειν ἀλλήλους· ἐπεὶ εἰ ἦσαν κατά τινος ἄλλου καὶ μὴ καθ' ἑαυτῶν ποιήσαντες τὸ ἄτοπον τοῦτο, πάντως εἶχεν αὐτοὺς σωφρονίσαι.*

18 Ὁ δὲ Παῦλος *ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ* Πρίσκιλλα *καὶ* Ἀκύλας, *κειράμενος ἐν Κεγχρεαῖς τὴν κεφαλήν· εἶχε γὰρ εὐχήν.*

Τοῦ Χρυσοστόμου. *Ὅρα πῶς ὁ νόμος κατελύετο. ὅρα πῶς τῷ συνειδότι κατείχοντο· τοῦτο γὰρ Ἰουδαϊκὸν ἦν τὸ κείρεσθαι τὰς κεφαλὰς κατ' εὐχήν· ἔδει δὲ καὶ θυσίαν γενέσθαι, ἥτις οὐκ ἐγένετο ἔτι μετὰ τὸ τυφθῆναι*[b] *τὸν Σωσθένην· ἔδει γὰρ αὐτὸν ἔτι μένειν καὶ παρακαλέσαι περὶ τούτων· τί πάλιν ἐπιθυμεῖ τὴν Συρίαν καταλαβεῖν; ἐνταῦθα ἐχρηματίσθησαν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί· ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ· ἐνταῦθα τοιαῦτα ἤνυσε πράγματα κατὰ τὸ δόγμα.*

[b] *τυπτηθῆναι* Cod.

Ἐξ ἀνεπιγράφου. Ἐπειδὴ ἐδόκει τοῖς Ἰουδαίοις ἀποστασίαν τοῦ νόμου διδάσκειν, καὶ ἐσκανδαλίζοντο πολλοὶ εἰς αὐτὸν, καὶ οὐ παρεδέχοντο τὸ κήρυγμα, τούτου χάριν καὶ ἐνταῦθα καὶ ἐν τῷ ἱερῷ ἐν Ἱεροσολύμοις, οἰκονομικῶς τοῦτο πράσσει· καὶ τοῦτο ἦν ὃ αὐτὸς ἔλεγεν, "ἐγενόμην τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς "ὑπὸ νόμον κερδήσω."

Ἀμμωνίου. Εὐχὴν ἣν λέγει ὑπόσχεσιν ὑποσχόμενος ἦν ἀποκόψαι τὴν τρίχα· ἵνα μηκέτι ὡς κοσμικὸς τὰ τῶν κοσμικῶν πράττει· ἀλλ' ὡς κατὰ Θεὸν ζῶν παραμείνῃ τῇ Ἐκκλησίᾳ σχολάζων τὸ ἀκόλουθον τοῖς Ἀποστόλοις καὶ μαθηταῖς· καὶ Ἀκύλας δὲ ἐξ ὑποσχέσεως ἀπέκοψεν ἑαυτοῦ τὰς τρίχας. σημειωτέον δὲ ὅτι οἱ θέλοντες δῆθεν θεοσεβῶς ζῆν, ἐποίουν τοῦτο· ὥστε οὖν καλῶς καὶ οἱ μονάζοντες καὶ αἱ κανονικαὶ ἀποκείρονται τὴν κόμην· οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίουν, ἀλλ' ἔθος ἦν παλαιὸν Ἰουδαίοις τοῦτο, ὡς ἐν τῷ λβ' κεφαλαίῳ εὑρήσεις· κἀκεῖνοι μὲν σκιοτύπως, ἡμεῖς δὲ ἀληθείᾳ τὸ ἔργον ποιοῦμεν, ἐν τῷ κόσμῳ διὰ τῆς ἀποκοπῆς τῆς κόμης ἀποταττόμενοι· ἐν τῷ κεφαλαίῳ τούτῳ μέμνηται ὁ συγγραφεὺς Ἀκύλα καὶ Πρισκίλλης καὶ Κρίσπου καὶ Τίτου· ὃν καὶ αὐτὸς ὁ Ἀπόστολος ἔν τισι τῶν Ἐπιστολῶν ἑαυτοῦ, ὡς καὶ Λουκᾶς μέμνηται καὶ Μάρκου καὶ Τιμοθέου οἱ ἦσαν σὺν αὐτῷ περινοστοῦντες.

Διδύμου. Τοῦ Σωτῆρος μετὰ τὴν ἀνάστασιν εἰπόντος τοῖς μαθηταῖς, "πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη·" γνῶσιν εἶχον οἷς ἐνεχείρησε τὴν πρόσταξιν, ὡς θέλει ὁ Θεὸς πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· καὶ ἐπεὶ προδιῄρητο τῶν ἀνθρώπων τὸ γένος αἱρεσιλατρείας εἰς Ἰουδαίους καὶ Ἕλληνας, διαίρεσις γέγονε καὶ τῶν κηρύκων τοῦ Εὐαγγελίου· ὡς τοὺς μὲν ἐγχειρισθῆναι διδάσκειν τοῖς Ἰουδαίοις, τοὺς δὲ Ἀποστόλους εἶναι τῶν ἐθνῶν· ἀλλ' ἐπεὶ σκοπὸν ἕνα εἶχον πάντες οἱ διδάσκαλοι, προσαγαγεῖν τῇ γνώσει τοῦ ἑνὸς Θεοῦ, καὶ τῇ κατηχήσει τοῦ Εὐαγγελίου· ἀμέλει Παῦλος ἐθνῶν Ἀπόστολος ὢν, εἴ ποτε παρετύγχανεν ὠφεληθῆναι δυνάμενος Ἰουδαίοις, Ἰουδαῖος Ἰουδαίοις ἐγένετο, ὅπως μὴ ἀλλοτριωθῶσιν αὐτοῦ ὡς ἀφιστῶντος νόμου, καίτοι ὑπεραναβὰς ἤδη τὸν τῆς σκιᾶς Ἰουδαϊσμόν· ταύτῃ γοῦν κατὰ τὰ πάτρια νόμιμα κείρεται τὴν κεφαλὴν ἐν Κεγχρεαῖς, εὐχὴν ἔχων περὶ τούτου, κατὰ διάταξιν τοῦ παλαιοῦ νόμου· ἀλλὰ καὶ

ἐν Ἱεροσολύμοις ἐλθὼν τοῖς ἔχουσι τὴν τοιαύτην εὐχὴν τέσσαρσιν ἄνδρασι συνέδραμε γνώμῃ, τῶν ἐκεῖ πρεσβυτέρων συμβουλευσάντων λῦσαι αὐτὸν τὴν κρατήσασαν περὶ αὐτοῦ διαβολὴν, ὡς ἄρα ἀποστασίαν τοῦ νόμου διδάσκει· πρὸς τούτοις δι' ὠφελείαν ἑτέρων Ἰουδαίων περιτέμνει Τῖτον καὶ Τιμόθεον· δηλοῖ δὲ τὴν πρόθεσιν ἑαυτοῦ, καθ' ἣν ταῦτ' ἐποίει, γράψας, ὡς ἐπὶ τῷ κερδῆσαι αὐτοὺς, Ἰουδαῖος ἐγένετο αὐτοῖς· καὶ Πέτρος δὲ τῆς προειρημένης γνώμης ὢν, Ἀπόστολος τεθεὶς τῆς περιτομῆς, καὶ Ἕλληνας ἐδίδασκεν, ὅτε λόγος ᾕρει· εἰσῆλθε γοῦν πρὸς Κορνήλιον, καὶ πάντας τοὺς ἅμα αὐτῷ ἀκροβυστίαν ἔχοντας, πληροφορίαν ἔχων ὑπὸ Θεοῦ, μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· ἀπολογεῖται γοῦν εἰδέναι, ὡς οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, δεχόμενος τὸν ἐν παντὶ ἔθνει[c] καὶ τόπῳ φοβούμενον αὐτὸν, καὶ ἐργαζόμενον δικαιοσύνην· εἰ γὰρ τὸν οὕτως ἔχοντα ἀρετῆς δέχεται ὁ Θεὸς, οὐ συντελεῖ τι μετὰ τὸ Εὐαγγέλιον ἡ περιτομὴ πρὸς θεοσέβειαν· ὅθεν καὶ ποιῶσι τοιαῦτα τινὰ οἱ Ἀπόστολοι, διὰ σωτηρίαν τῶν προσερχομένων Ἑλλήνων τε καὶ Ἰουδαίων, ὡς ἀδιαφόροις αὐτοῖς χρῶνται· δεόντως αὐτὰ πράττοντες, δυνατοῦ ὄντος καὶ κακῶς αὐτοῖς χρήσασθαι ὑπ' ἄλλων· ἔννοια γὰρ ἀδιαφόρου, τὸ οἷόν τε εὖ καὶ χειρόνως αὐτοῖς χρήσασθαι.

19 Κατήντησε δὲ εἰς Ἔφεσον, κἀκείνους κατελιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διελέχθη τοῖς Ἰουδαίοις.

Τοῦ Χρυσοστόμου. Τούτους ἀφῆκεν εἰς Ἔφεσον, εἰκότως ὡς διδάσκοντας· τοσοῦτον γὰρ αὐτῷ συγγενόμενοι χρόνον πολλὰ ἐμάνθανον· καὶ ὅμως τῆς συνηθείας αὐτοὺς οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς· ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι· ἐπειδὴ δὲ οὐκ ἠνέσχετο, ἐπειγόμενος ἐλθεῖν, οὐχ ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ὑποσχέσεως· ἐκείνους δὲ τοὺς τόπους κατελάμβανεν, οἷς ἐπέβη πρὸ τούτου.

20 Ἐρωτώντων δὲ αὐτὸν ἐπὶ πλείονα χρόνον μεῖναι, οὐκ
21 ἐπένευσεν· ἀλλ' ἀποταξάμενος αὐτοῖς καὶ εἰπὼν, δεῖ με
πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσό-

[c] ἔθνη Cod.

λυμα· πάλιν ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος, ἀνήχθη ἀπὸ τῆς Ἐφέσου·

Τοῦ Χρυσοστόμου. Ὁ Παῦλος προφήτης ὢν, καὶ εἰδὼς ὅτι ἤμελλεν ἀναστρέφειν, ἐπηγγείλατο πάλιν ἀναστρέφειν· πλὴν ἵνα μή τις ὑπὸ προπετείας τὸ αὐτὸ ποιῇ, ἀτόπως ὑπισχνούμενος τόδε τι ποιεῖν, ἐδίδασκεν ἡμᾶς μηδὲν περὶ τῶν μελλόντων ὑπισχνεῖσθαι ποιεῖν, δίχα τοῦ εἰπεῖν "τοῦ Θεοῦ θέλοντος·" οὕτω γὰρ καὶ ὁ Ἰάκωβος παραινεῖ ἐν τῇ αὐτοῦ Ἐπιστολῇ· "οὐ γάρ τις οἶδε τί τέξεται ἡ "ἐπιοῦσα ἡμέρα·" ἄφρων οὖν ὁ μὴ προσδιορίζων τῇ ἐπαγγελίᾳ τὸ, ἐὰν ὁ Κύριος θέλῃ· καὶ ἐὰν ὡς θαρρῶν, ὅτι πάντως ποιήσει, ἐπαγγέληται, ἀκούσεται πολλάκις, ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαίρω· ἃ δὲ ὑπέσχω πότε ἔσται;

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασά-
23 μενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. καὶ ποιή-
σας χρόνον τινὰ, ἐξῆλθε, διερχόμενος καθεξῆς τὴν Γα-
λατικὴν χώραν καὶ τὴν Φρυγίαν, ἐπιστηρίζων τοὺς
μαθητάς.

Ἀμμωνίου. Ἔθος ἀεὶ τοῦτο τῷ Παύλῳ, ἐπισκέπτεσθαι τοὺς πιστοὺς, καὶ ἐπιστηρίζειν αὐτούς· εἰ γὰρ εὗρεν αὐτοὺς σαθρωθέντας ἢ ἀτονίσαντας, διὰ τοῦ διδασκαλικοῦ αὐτοῦ λόγου ἀνεκούφιζεν αὐτοὺς, τὰ βάρη αὐτῶν ἐπιστηρίζων διὰ τοῦ Θεοῦ λόγου, ἵνα ἐλπίζοντας εἰς αὐτὸν ὡς δυνάμενον ἀνωρθῶσαι τοὺς κατερραγμένους, καὶ ἰσχυροποιῆσαι διὰ τῆς ἁγίας καὶ ἀφθάρτου αὐτοῦ σαρκὸς τὰ φθαρτὰ ἡμῶν μέλη, θαρσαλεώτεροι πρὸς τοὺς πόνους γένωνται.

* Περὶ Ἀπολλῶ ἀνδρὸς λογίου καὶ πιστοῦ.

24 Ἰουδαῖος δέ τις Ἀπολλῶς ὀνόματι, Ἀλεξανδρεὺς τῷ
γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν
ἐν ταῖς γραφαῖς.

Τοῦ Χρυσοστόμου. Ἰδοὺ καὶ λόγιοι λοιπὸν ἐνήγοντο, καὶ ἀποδημοῦσι λοιπὸν καὶ οἱ μαθηταί· ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος.

Διδύμου. Εἰσὶ διαβεβαιούμενοι, ὡς Ἀπολλὼς ὁ αὐτός ἐστιν Ἀπελλῆς τῶν Κορινθίων Ἐπίσκοπος, περὶ οὗ γράφει Παῦλος· "περὶ δὲ Ἀπολλῶ πολλὰ παρεκάλεσα αὐτόν·" καὶ "ὅτι ἐγὼ ἐφύ-

"τευσα, Ἀπολλὼς ἐπότισε·" καὶ εἰ ἀληθὲς τοῦτο, σκόπει εἰ διώνυμος ὁ ἀνὴρ, εἰ ἄλλως μετεποίθη θάτερον τῶν ὀνομάτων εἰς τὸ λοιπόν.

Ἀμμωνίου. Πεπαιδευμένος τὴν θείαν γραφὴν, καὶ λόγον ἀποδοῦναι δυνάμενος τοῖς ἐρωτῶσι, καὶ ἱκανὸς ὢν εἰς τὸ παραστῆσαι τὰ νέα τῇ παλαιᾷ συνᾴδοντα, καθὼς παρακατιών φησι, "δυνατὸς "ὢν ἐν ταῖς γραφαῖς."

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν[d] τοῦ Κυρίου, καὶ ζέων τῷ Πνεύματι, ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Ἰησοῦ, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου·

Τοῦ Χρυσοστόμου. Εἰ τὸ βάπτισμα μόνον Ἰωάννου ἠπίστατο οὗτος, πῶς τῷ Πνεύματι ἔζη; τὸ γὰρ Πνεῦμα οὐχ οὕτως ἐδίδοτο· καὶ εἰ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ, πολλῷ μᾶλλον καὶ οὗτος ἐδεήθη ἄν· τί οὖν ἐστιν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα· ἐμοὶ δοκεῖ οὗτος εἶναι τῶν ρκ´ τῶν μετὰ τῶν Ἀποστόλων βαπτισθέντων· ἢ εἰ μὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτῳ· ἀλλ' οὐδὲ βαπτίζεται· τὸ οὖν ἀκριβῶς ἐξετασθὲν τὸ ἐμοὶ δοκεῖ τοῦτο εἶναι· ὅτι καὶ βαπτισθῆναι αὐτὸν ἔδει, ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι οὐδὲν ᾔδεσαν ἀκριβὲς οὐδὲ τὰ περὶ Ἰησοῦ, εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι· εἰ δὲ οὗτοι οἱ Ἰωάννου μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τοὺς μαθητὰς τοῦτο.

Ἐξ ἀνεπιγράφου. Ὅτι μὲν ὁ Χριστὸς ἐπεδήμησεν, ᾔδεισαν, καὶ ὅτι θεοσημείας ἐποίησε πολλάς· καὶ τάδε τυχὸν ᾠκονόμησεν· εἰκὸς δὲ ἀγνοεῖν τῆς ἐπιδημίας τὴν αἰτίαν, ὅτι διὰ τοῦτο παραγέγονεν, ἵνα καταλύσῃ τὸν πόλεμον, καὶ ἀνέλῃ τὴν ἔχθραν, καὶ συνάψῃ τῷ Πατρὶ, καὶ πατήσῃ θάνατον, καὶ ἀνοίξῃ τὸν ᾅδην, καὶ ἐξαγάγῃ ἐκ σκότους, καὶ ἀναγάγῃ εἰς οὐρανὸν, καὶ συνθρόνους ἐν ἑαυτῷ ποιήσῃ, καὶ τῆς δόξης μεταδῷ τῆς βασιλικῆς· ταῦτα γὰρ ἐπλουτήσαμεν δι' αὐτοῦ, ἐν αὐτῷ μένοντες.

Ἀμμωνίου. Πῶς οὗτος μόνον εἰς τὸ Ἰωάννου βάπτισμα βαπτισθεὶς εἶχε Πνεῦμα Ἅγιον, οἱ δὲ παρακατιόντες οὐκ εἶχον; πρὸς ὃ

[d] τὸν λόγον Cod.

δεῖ εἰπεῖν, ὅτι μᾶλλον διὰ τοῦτο ἔζεε τῷ Πνεύματι ὁ Ἀπελλῆς, ἐπειδὴ τῇ χάριτι Θεοῦ φωταγωγηθεὶς, ἀκριβῶς ἠπίστατο, καὶ ἐδίδασκεν ἀπὸ τῶν γραφῶν, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός· καὶ αὐτὴ ἡ γνῶσις οὐκ εἴα αὐτὸν ἠρεμεῖν, ἀλλ' ἐδίδασκε καὶ αὐτὸς καὶ οἱ μαθηταὶ τὰ περὶ τοῦ Ἰησοῦ, ἔργον ποιῶν εὐαγγελιστοῦ. σημειωτέον δὲ ὅτι καὶ γυναῖκας τὸν λόγον τῆς πίστεως παραδιδούσας χρὴ πείθεσθαι· βλέπε δὲ πῶς ὅλως τοῦ σωθῆναι ἦν ὁ Ἀπελλῆς, ὅτι καίπερ λόγιος ὢν, καὶ τὰ τῆς γραφῆς διαγινώσκων ἀπόκρυφα, οὐκ ἀπηξίωσε τὸ ἀκριβὲς τῆς πίστεως παρὰ γυναικὸς μαθεῖν· οὐδὲ πρὸς τῦφον ἐτράπη, παρὰ γυναικὸς ἀκούων ὡς ἐν ἐλεγμῷ, ὅτι ἁπλούστερον τὰ περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ λόγου κατηχήθῃς· διὸ ἠκρίβαζεν αὐτῷ τὰ τῆς πίστεως διὰ τῆς διδασκαλίας, καὶ κατεδέχετο ὁ Ἀπελλῆς ἀκούων· ᾔδει μὲν ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ παῖς, καὶ συνίστατο ἀπὸ τῆς γραφῆς· πλὴν ἀτελὴς ἦν, μὴ εἰδὼς τὰ διὰ τοῦ Πνεύματος τοῖς Ἀποστόλοις λαληθέντα καὶ θεσπισθέντα· διὸ καὶ ἀκριβέστερον αὐτῷ οἱ περὶ Ἀκύλαν, ὡς ἀκολουθήσαντες τῷ Παύλῳ, ἐξέθεντο τὴν ὁδὸν τοῦ Θεοῦ· οἷον, τὴν ἐν Πνεύματι λατρείαν, καὶ τὴν ἀχειροποίητον περιτομὴν, καὶ ὅσα ἄλλα πρὸς καταρτισμὸν τῆς Ἐκκλησίας ἐλέγετο.

26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ.
ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελά-
βοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν
27 τοῦ Κυρίου. βουλομένου τε αὐτοῦ διελθεῖν εἰς τὴν
Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθη-
ταῖς ἀποδέξασθαι αὐτόν·

Τοῦ Χρυσοστόμου. *Πολλὴ ἦν ἡ παρρησία τοῦ ἀνδρός· ἀκριβῶς ἐλάλει τὰ περὶ τοῦ Ἰησοῦ, ἀλλ' ἐδεῖτο ἀκριβείας, ἑτέρας διδασκαλίας· ταύτῃ τοι καὶ οὐκ εἰδὼς πάντα, ἀπὸ τῆς προθυμίας ἐπεσπάσατο τὸ Πνεῦμα τὸ Ἅγιον, καθάπερ οἱ περὶ Κορνήλιον.*

Ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευ-
28 κόσι διὰ τῆς χάριτος· εὐτόνως γὰρ τοῖς Ἰουδαίοις δια-
κατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς ἀπὸ τῶν γραφῶν, εἶναι
τὸν Χριστὸν Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. *Τῷ μὲν οὖν δημοσίᾳ ἐλέγχειν ἡ παρρησία*

ἐδείκνυτο, τῷ δὲ σαφῶς ἡ δύναμις ἐδηλοῦτο· τὸ δὲ ἐκ τῶν γραφῶν ἐπιδείκνυσιν ἡ ἐμπειρία· οὔτε γὰρ ἡ παρρησία τι συνετέλει καθ' ἑαυτὸ, οὐκ οὔσης δυνάμεως· οὔτε ἡ δύναμις, οὐκ οὔσης παρρησίας.

ἈΜΜΩΝΊΟΥ. *Δεῖ γὰρ εὔτονον εἶναι τὸν πιστὸν καὶ μὴ καταλελυμένον, κατὰ τῶν ἀνθισταμένων τοῖς τῆς Ἐκκλησίας θεσμοῖς, καὶ τῇ ἀκαπηλεύτῳ πίστει.*

ΔΙΔΎΜΟΥ. *Οὐ διαφωνεῖ τὸ ἀκριβέστερον λαλεῖν τὰ περὶ τοῦ Ἰησοῦ τῷ ἀκριβέστερον ἐνδιαθέσθαι τὰ περὶ τῆς ὁδοῦ τῆς Χριστοῦ διδασκαλίας· δυνατὸν γὰρ ὁλοσχερῶς γνῶσιν ἔχοντα τῶν περὶ Ἰησοῦ ἀκριβῆ, δεέσθαι τῆς λεπτομερεστάτης αὐτῶν ἐξηγήσεως· ὁ προκείμενος γὰρ ἀνὴρ, Ἰουδαῖος ὑπάρχων δυνατὸς ἠπίστατο τὰς παλαιὰς γραφὰς, τὰς περὶ τοῦ Ἰησοῦ μαρτυρούσας· εἶτα λόγιος ὢν τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἃ ᾔδει περὶ τοῦ Ἰησοῦ ἐν ταῖς συναγωγαῖς· τοῦτον προσλαμβάνουσιν οὕτω σπουδῆς ἔχοντα, ἀκουσταὶ γενόμενοι τοῦ Ἀποστόλου Παύλου Ἀκύλας καὶ Πρίσκιλλα, ἐπὶ τῷ παραδοῦναι αὐτῷ πᾶσαν τὴν εὐαγγελικὴν ὁδόν· εἰκὸς οὖν τὸν Ἀπελλὴν εἰδέναι, ὅτι Ἰησοῦς ἐπεδήμησε τοῖς ἀνθρώποις, καὶ τάδε ᾠκονόμησε· μὴ μὴν εἰδέναι τῆς ἐπιδημίας τὴν αἰτίαν.*

ΚΕΦ. ΚΗ.

Περὶ βαπτίσματος καὶ τῆς τοῦ Ἁγίου Πνεύματος δωρεᾶς δοθείσης διὰ προσευχῆς Παύλου τοῖς ἐν Ἐφέσῳ πιστεύσασι, καὶ περὶ ἰάσεως τοῦ λαοῦ.

1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ,
Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφε-
2 σον· καὶ εὑρεῖν τινὰς μαθητὰς, εἶπε πρὸς αὐτοὺς, εἰ
Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ πρὸς αὐ-
3 τὸν, ἀλλ' οὐδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν, ἠκούσαμεν. εἶπέ
τε, εἰς τί οὖν ἐβαπτίσθητε;

Πολλῷ οὗτοι ἐκείνων διεστήκασιν· οἱ μηδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν εἰδότες· ὅτι γὰρ οὐδὲ εἰς Χριστὸν ἐπίστευον, δῆλον ἐκ τοῦ εἰπεῖν, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι· καὶ οὐκ εἶπεν ὅτι οὐδέν ἐστι τὸ βάπτισμα Ἰωάννου, ἀλλ' ὅτι ἀτελές· οὐδὲ προσέθηκεν, ἀλλ' ἐδίδασκεν, καὶ πολλοὶ τὸ Πνεῦμα ἐλάμβανον·

ὥστε εἰκὸς ἦν αὐτοὺς Πνεῦμα ἔχειν, μὴ φαίνεσθαι δὲ, οὐ γὰρ ἐβούλετο περιάγειν αὐτοὺς, ἀλλ' εἰς Ἔφεσον καταλιπεῖν· οὗτοι δὲ μετὰ ταῦτα τὴν Κόρινθον ᾤκησαν· καὶ μεγάλα αὐτοῖς μαρτυρεῖ, καὶ Ῥωμαίοις ἐπιστέλλων προσαγορεύει αὐτούς· ὅθεν μοι δοκεῖ παρ' αὐτὰ εἰς Ῥώμην ἀπελθεῖν, ἅτε ἐμφιλοχωροῦντας τοῖς τόποις ἐκείνοις ὅθεν ἐξέπεσαν ἐπὶ Νέρωνος.

4 Οἱ δὲ εἶπον, εἰς τὸ Ἰωάννου βάπτισμα. εἶπε δὲ ὁ Παῦλος, Ἰωάννης ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν.

Τοῦ Χρυσοστόμου. Πόθεν ἐκεῖνοι ἐν Ἐφέσῳ ὄντες τὸ βάπτισμα εἶχον Ἰωάννου; ἴσως ἐπεδήμησαν τοῖς Ἱεροσολύμοις τότε, καὶ ἀπῆλθον, καὶ οὐδὲ τὸν Ἰησοῦν ἠπίσταντο· καὶ οὐ λέγει αὐτοῖς, πιστεύετε εἰς τὸν Ἰησοῦν· ἀλλὰ τί; "εἰ Πνεῦμα Ἅγιον ἐλάβετε;" ᾔδει ὅτι οὐκ εἶχον· ἀλλὰ βούλεται αὐτοῖς εἰπεῖν, ἵνα μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσιν· ἀπ' αὐτοῦ τοῦ βαπτίσματος προφητεύει, καὶ ἐνάγει αὐτοὺς ὅτι τοῦτο βούλεται τὸ βάπτισμα Ἰωάννου. διπλοῦν τὸ χάρισμα, γλῶσσαι καὶ προφητεῖαι· ἐντεῦθεν δείκνυται δόγμα μέγα, ὅτι ἀτελὲς Ἰωάννου τὸ βάπτισμα εἰς μετάνοιαν· καὶ οὐκ εἶπεν ἀφέσεως, ἀλλὰ μετανοίας βάπτισμα.

5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

Τοῦ Χρυσοστόμου. Βαπτισθέντες δὲ εὐθέως Πνεῦμα ἐλάμβανον· τὸ δὲ Πνεῦμα οὐχ ἑώρων, ἀόρατον γάρ ἐστιν· αἰσθητὸν δέ τινα ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνης ἡ χάρις· καὶ ὁ μὲν τῇ Περσῶν, ὁ δὲ τῇ Ῥωμαίων, ὁ δὲ τῇ Ἰνδῶν, ὁ δὲ ἑτέρᾳ τινὶ τοιαύτῃ εὐθέως ἐφθέγγετο γλώσσῃ· καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν, ὅτι Πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ.

Ἀμμωνίου. Ὥστε οὖν τὸ Ἰωάννου βάπτισμα προτροπὴν εἶχε μετανοίας μόνον, οὐ μὴν καὶ καθαρισμοῦ ἁμαρτίας· ὡς εἶναι ταυτὴν διαφορὰν τοῦ Ἰωάννου βαπτίσματος καὶ τοῦ τῶν πιστῶν· ὅτι τὸ τῶν πιστῶν καὶ ἄφεσιν ἁμαρτιῶν χαρίζεται· ὁ μὲν Ἰωάννης βαπτίζων ἔλεγε, βαπτίζω σε εἰς τὸν ἐρχόμενον μετ' ἐμὲ, καὶ ἀπαιτῶ σε πιστεύειν εἰς αὐτὸν, ὅτι οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ·

ὁ δὲ πιστῶς βαπτίζων φησί· βαπτίζω σε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, εἰς τὴν ὁμοούσιον Τριάδα πιστεύειν· καὶ ἀποπλύνων καὶ ἀπεκδύων αὐτὸν ἀπὸ τῆς προυπούσης αὐτῷ θρησκείας, καὶ μετενδύων αὐτὸν εἰς Χριστὸν, καὶ καθαρῶς τὴν οὖσαν διαγγέλλων πίστιν. σημειωτέον δὲ πάλιν, ὅτι μετὰ τὸ εἰς Χριστὸν βάπτισμα, διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ βαπτίζοντος, ἐπιφοιτᾷ τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς βαπτισθεῖσι· καὶ ὅτι οὐκ εἶχον Πνεῦμα Ἅγιον οἱ τὸ Ἰωάννου βάπτισμα βαπτισθέντες· πῶς οὖν Ἀπελλῆς μόνον εἰς τὸ Ἰωάννου βαπτισθεὶς, ἔζεε τῷ Πνεύματι; ὁ Ἀπελλῆς εἰ καὶ ἔζεε τῷ Πνεύματι, ἀλλ' οὖν οὐκ εἴρηται ὅτι καὶ Πνεῦμα Ἅγιον εἶχεν· ἀμέλει γοῦν οὔτε γλώσσαις ἐλάλει, οὔτε ἐπροφήτευεν· ἄλλο οὖν τί ἐστι τὸ ζέειν τῷ Πνεύματι, καὶ ἄλλο τὸ ἔχειν Πνεῦμα Ἅγιον· ὁ ἔχων Πνεῦμα Ἅγιον εἶχεν αὐτὸ ἐνοικοῦν ἐν αὐτῷ, καὶ ἐλάλει αὐτὸ τὸ Πνεῦμα ἐκ τῶν ἔσωθεν· ὡς πολλὰ τοιαῦτα κεῖται ὀπίσω, πῶς ἐλάλησε[d] τῷ Φιλίππῳ, τῷ Πέτρῳ, τοῖς Ἀποστόλοις, τοῖς περὶ Παῦλον, κωλύον αὐτοὺς λαλεῖν τὸν λόγον ἢ μὴ λαλεῖν ἔν τισι τῶν πόλεων· ὁ δὲ ζέων τῷ Πνεύματι δι' ἐλλάμψεως[e] καὶ προτροπῆς τῆς ἔξωθεν ἔπραττέ τι· ὁδηγούμενος ὑπὸ τοῦ Πνεύματος, ὡς ἂν εἰ δι' ἀγγέλου τις ὁδηγηθείη ἢ φυλαχθείη. καὶ μή μοι λέγε, καὶ πῶς οἷόν τε ζέειν τῷ Πνεύματι, τὸν μὴ μέτοχον ὄντα τοῦ Πνεύματος; ἀπὸ γὰρ τῶν αἰσθητῶν τὸ ἀόρατον δεῖ στοχάζεσθαι· εἰ ὁ ἥλιος ἔξωθεν ὢν, καὶ τὸ πῦρ, διὰ τοῦ πλησιάζειν τοῖς σώμασιν ἢ καὶ ὀλίγον ἀφεστάναι, ὅ ἐστιν ἐπὶ πυρὸς εἰπεῖν, θερμαίνοι ἡμῶν τὰ σώματα, τί δεῖ εἰπεῖν περὶ τοῦ θείου Πνεύματος τοῦ ὄντως θερμοτάτου καὶ πυρίζοντος τὸν ἔσω ἡμῶν ἄνθρωπον, κἂν μὴ ἐνοικῇ, ἀλλ' ἔξωθεν ᾖ; ἐγχωρεῖ οὖν, ἢ πάντα δυνατά ἐστι τῷ Θεῷ, θερμαίνεσθαι τινὰ, κἂν μὴ ἐν ἑαυτῷ οἰκοῦν τὸ θερμαῖνον.

6 Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ
Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ
7 ἐπροφήτευον· ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δώδεκα.

Τοῦ Χρυσοστόμου. Διατί; χωρὶς Πνεύματος γὰρ οὐκ ἐνῆν· ἀλλὰ δεικνὺς ὁ Θεὸς, ὅτι τοῦτο τῆς ἐξουσίας ἐστὶ τῆς ἀνωτάτω, καὶ τῆς οὐσίας τῆς βασιλικῆς ἐκείνης, καὶ τὴν αὐτὴν ἔχει ἰσχύν.

[d] ἐλάλεισε Cod. [e] ἐλάμψεως Cod.

Σχόλιον. Ἰδοὺ ἐνταῦθα ἰδικῶς πληροῦται τὸ "ὁ μικρότερος ἐν τῇ "βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν·" ἰδοὺ γὰρ ὁ τῶν Ἀποστόλων ἔσχατος περὶ τὴν κλῆσιν, ὅπερ οὐκ ἔδωκεν Ἰωάννης ἐν τῷ βαπτίσματι, τοῦτο διὰ τῶν χειρῶν Παύλου ἔλαβον οἱ βαπτισθέντες.

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο, ἐπὶ
μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασι-
λείας τοῦ Θεοῦ[f].

Τοῦ Χρυσοστόμου. Ὅρα πανταχοῦ ἑαυτὸν εἰσωθοῦντα εἰς τὰς συναγωγὰς, καὶ οὕτως ἐξιόντα· πανταχοῦ γὰρ παρ' αὐτῶν ἐβούλετο λαβεῖν ἀφορμὴν, ὅπερ ἔφη· τά τε γὰρ ἔθνη παρεζήλου λοιπὸν, καὶ ῥαδίως αὐτὸν ἀπεδέξατο· οἵτε Ἰουδαῖοι τῶν ἐθνῶν δεχομένων μετενόουν· ἐβούλετο ἀποστῆσαι τοὺς μαθητὰς ἐκεῖθεν, καὶ παρ' αὐτῶν λαβεῖν τὴν ἀρχὴν, ὥστε μὴ συνάγεσθαι· καὶ οὐχ ἁπλῶς τοῦτο ἐποίει· διὰ τοῦτο ἐνοχλεῖ αὐτοῖς συνεχῶς μεταπείθων· μὴ γὰρ δὴ ἐπειδὴ παρρησίαν ἠκούσας, τραχύτητα νομίσῃς· περὶ χρηστῶν πραγμάτων διελέγετο, περὶ βασιλείας· τίς οὐκ ἂν ἤκουσε; τί δέ ἐστιν ἐπαρρησιάζετο; πρὸς κινδύνους ἦν παρατεταγμένος· ἢ καὶ φανερώτερον διελέγετο, οὐ συσκιάζων τὰ πράγματα.

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦν-
τες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους,

Τοῦ αὐτοῦ. Ὁδὸν εἰκότως ταύτην[g] ἐκάλουν· ὄντως αὕτη ἦν ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἢ ὁδὸν λέγει τὸν Χριστόν· καὶ ὁδὸς καλεῖται· ἢ ὁδὸν λέγει τὴν πίστιν τὴν ἀληθῆ, τὴν διὰ τοῦ Παύλου καταγγελλομένην, δι' ἣν τις ὁδεύων ἤρχετο ἐπὶ τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ'
10 ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός. τοῦ-
το δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦν-
τας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου, Ἰουδαίους
τε καὶ Ἕλληνας.

Τοῦ Χρυσοστόμου. Ὅρα πόσον ἤνυσεν ἡ ἀποστασία· καὶ Ἰουδαῖοι καὶ Ἕλληνες ἤκουον.

[f] Κυρίου Cod.   [g] ταύ ταύτην Cod.

Παιδεύει χωρίζεσθαι ἀπὸ τῶν βλασφημούντων τὸν Υἱὸν τοῦ Θεοῦ τοὺς εἰς αὐτὸν πιστεύοντας.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ὁ Θεὸς ἐποίει διὰ τῶν
12 χειρῶν Παύλου, ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἀποφέ-
ρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια,
καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύ-
ματα τὰ πονηρὰ ἐκπορεύεσθαι.

Τοῦ Χρυσοστόμου. Οὐχὶ φοροῦντος ἥπτοντο μόνον, ἀλλὰ καὶ λαμβάνοντες ἐπετίθεσαν. καὶ διὰ τοῦτο οὐκ εἴα ἀπελθεῖν αὐτὸν εἰς τὴν Ἀσίαν, τηρῶν τοῦτον τὸν καιρὸν ὡς ἔγωγε οἶμαι· ὅρα πώρωσιν Ἰουδαϊκήν· τὰ ἱμάτια αὐτοῦ ἰδόντες ἐνεργοῦντα, οὐ προσεῖχον· τί τούτου μεῖζον ἂν γένοιτο; ἀλλὰ καὶ εἰς τοὐναντίον περιέστησαν· εἴ τις Ἑλλήνων ἀπιστεῖ, τὴν κόνιν ὁρῶν ταῦτα ἐργαζομένην πιστευέτω· οἱ κακολογοῦντες ἡττῶνται· θέα πανταχοῦ, οὐχ οὕτως τοὺς ἀνθρώπους ἐπιστρεφομένους ἀπὸ τῶν χρηστῶν ὡς ἀπὸ τῶν φοβερῶν· ἐπὶ Σαπφείρας φόβος ἐπέπεσεν ἐπὶ τὴν ἐκκλησίαν, καὶ οὐκ ἐτόλμων κολλᾶσθαι αὐτοῖς· ἐνταῦθα σουδάρια καὶ σιμικίνθια ἐλάμβανον καὶ ἰῶντο.

Τοῦ αὐτοῦ ἐκ τοῦ ΞΓ λόγου τοῦ εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. Τοῦτό ἐστιν ὅ φησιν ὁ Χριστὸς, "ὁ πιστεύων εἰς "ἐμὲ, μείζονα σημεῖα ποιήσει ἐμοῦ ἐν τῷ ὀνόματί μου·" ταῦτα γὰρ τὰ μείζονα ἃ ἐποίησαν, αἱ σκιαὶ αὐτῶν νεκροὺς ἤγειραν· οὕτω γὰρ μάλιστα ἐκηρύττετο ἡ τοῦ Χριστοῦ δύναμις· οὐ γὰρ οὕτως θαυμαστὸν ζῶντα αὐτὸν θαυματουργεῖν, ὡς ἀποθανόντος αὐτοῦ, ἑτέρους ἐν τῷ ὀνόματι ἐκείνου, μείζονα αὐτοῦ δυνηθῆναι· ἀναμφισβήτητος γὰρ ἦν αὕτη τῆς ἀναστάσεως ἡ ἀπόδειξις· καὶ οὐκ ἂν, οὐδὲ εἰ ὤφθη, οὕτως ἐπιστεύθη· ἐκεῖνο γὰρ εἶχον εἰπεῖν, ὅτι φάντασμα ἦν· ὁ δὲ ὁρῶν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ μόνον ψιλοῦ μείζονα γινόμενα σημεῖα, ἢ ὅτε αὐτὸς ἦν ἐν σαρκὶ μετὰ ἀνθρώπων, οὐκ ἂν ἠπίστησεν, εἰ μὴ σφόδρα ἀναίσχυντος ἦν.

Ἀμμωνίου. Τὸ τῶν σουδαρίων καὶ τῶν σκιῶν τῶν μαθητῶν, σημεῖα ἐστὶ μείζονα ὧν ὁ Ἰησοῦς ἐποίησε· καὶ πληροῦται καὶ ἐν τούτοις ὁ λόγος ὃν εἶπεν ὁ Ἰησοῦς, "ὅτι ὁ πιστεύων εἰς ἐμὲ μείζονα "σημεῖα ποιήσει ὧν ἐγὼ ποιῶ·" "σουδάρια καὶ σιμικίνθια·" ἀμφό-

τερα νομίζω λινοειδῆ εἶναι· πλὴν τὰ μὲν σουδάρια ἐπὶ τῆς κεφαλῆς ἐπιβάλλεται, τὰ δὲ σιμικίνθια ἐν ταῖς χερσὶ κατέχουσιν, οἱ μὴ δυνάμενοι ὀράρια[h] φορέσαι· οἷον εἰσὶν οἱ φοροῦντες τὰς ὑπατικὰς στολὰς ἢ γουνία[i], πρὸς τὸ ἀπομάττεσθαι τὰς ὑγρότητας τοῦ προσώπου, οἷον, ἱδρῶτας, πτύελον, δάκρυον, καὶ τὰ ὅμοια.

13 Ἐπεχείρησαν δέ τινες καὶ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνοματίζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες, ἐξορκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν Παῦλος κηρύσσει.

Τοῦ Χρυσοστόμου. Ὅρα οὗτοι πάντα ἐποίουν πραγματείας ἕνεκεν· ὅρα καὶ πιστεῦσαι μὲν οὐκ ἤθελον, διὰ δὲ τοῦ ὀνόματος ἤθελον ἐκβάλλειν τοὺς δαίμονας· βαβαὶ τὸ ὄνομα τοῦ Παύλου πόσον ἦν· οὐδὲν δὲ μέγα ἐνόμιζον εἶναι τὸν Ἰησοῦν, ἀλλὰ τὸν Παῦλον προσετίθεσαν, ὡς αὐτὸν μέγα τι νομίζοντες.

Ὁ ἅγιος Ἰωάννης ὁ Κωνσταντίνου πόλεως Ἐπίσκοπος λέγει ἐν Κορίνθῳ γενέσθαι.

Ἀμμωνίου. "Ἐπεχείρησαν δέ τινες·" αὕτη ἡ λέξις δείκνυσιν, ὅτι οὐκ ὡς πιστεύοντες τῷ Ἰησοῦ οἱ ἐπορκισταὶ ἐπόρκιζον τὰ ἀκάθαρτα πνεύματα τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ᾽ ὡς πειράζοντες, δίψυχοι ὄντες, ἀκατάστατοι· διὸ, ὡς καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐμαρτύρησεν, ὡς μὴ ὄντες πιστοὶ, τῆς προπετείας δεδώκασι πρὸς ὀλίγον δίκην· τὸ οὖν "ἐπεχείρησαν" τοῦτο δηλοῖ, ὅτι οὐκ ἐθάρρουν μὲν, πλὴν ἐπέβαλον τὰς χεῖρας, εἴπω ἐπιτεύξονται τοῦ σκοποῦ· οὕτω καὶ ἡ Αἰγυπτία ἐπεχείρησε τῷ Ἰωσὴφ, καὶ οὐκ ἐπέτυχε· καὶ οἱ ἐπιχειρήσαντες Ἰουδαῖοι τοῖς μαθηταῖς.

Τῷ ὀνόματι Κυρίου καὶ ἄλλοι προεφήτευσαν, Βαλαὰμ καὶ Σαοὺλ καὶ Καϊάφας.

Διδύμου. Ὡς ὁμολογῶν τὸν Θεὸν μόνῃ φωνῇ ἀρνεῖται αὐτὸν τοῖς ἔργοις, οὕτως ἐστὶ κατὰ ψιλὴν διαληψιν γινώσκειν τὸν Ἰησοῦν· διὸ οὐ παράδοξον εἰ λέγει τὸ πνεῦμα τὸ πονηρὸν τοῖς ἐξορκισταῖς Ἰουδαίοις, "τὸν Ἰησοῦν γινώσκω" καὶ τὰ ἑξῆς· καὶ γὰρ ἕτεροι δαίμονες αὐτῷ τῷ Ἰησοῦ μετὰ βοῆς ἔλεγον· "οἶδά σε τίς εἶ, ὁ

h Sic Cod. ὠράρια Œcum. i γουβία Œcum.

"Ἅγιος τοῦ Θεοῦ," εἰς ταῦτα λήψῃ τὸ, "καὶ δαιμόνια πιστεύουσι "καὶ φρίσσουσιν," οὐδὲ γὰρ μαρτυρεῖται ὡς ἔχει τὰ δαιμόνια πίστιν λελογισμένην εἰς δικαιοσύνην· ῥητέον δὲ εἰς τὰ προκείμενα καὶ οὕτως· ὥσπερ οἱ τὰς ἰάσεις δεχόμενοι πρὸς τοῦ Ἰησοῦ κατὰ τὴν πίστιν ἑαυτῶν ἐλάμβανον, οὕτως οἱ ὀνομάζοντες τὸν Ἰησοῦν ἐπεκβολῇ δαίμονος ἢ ἄλλης ἰάσεως, καθ' ἣν ἔχουσι πίστιν ἀνύουσιν· ἀκολούθως δὲ τὸ πνεῦμα φησὶ, "τίνες ἐστὲ ὑμεῖς" ὀνομάζοντες τὸν Ἰησοῦν· οὐ γὰρ αἰσθάνομαι δύναμιν, ἧς πολλάκις πεῖραν ἔσχον, λεχθείσης αὐτοῦ τῆς προσηγορίας.

* Περὶ τῶν υἱῶν Σκευᾶ, ὅτιπερ οὐ δεῖ ἐγχειρεῖν ἀπίστοις καὶ ἀναξίοις τῆς πίστεως γενομένοις, καὶ περὶ ἐξομολογήσεως τῶν πιστευόντων.

14 Ἦσαν δέ τινος Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ υἱοὶ
15 οἱ τοῦτο ποιοῦντες. ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν
εἶπεν αὐτοῖς, τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπί-
16 σταμαι· ὑμεῖς δέ τινος ἐστέ; καὶ ἐφαλλόμενος ὁ ἄν-
θρωπος ἐπ' αὐτοὺς, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ
κρατήσας ἀμφοτέρων, ἴσχυσε κατ' αὐτῶν, ὥστε γύμνους
καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.
17 τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλ-
λησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον, καὶ ἐπέπεσε φόβος
ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυ-
ρίου Ἰησοῦ.

Τοῦ Χρυσοστόμου. Λανθανόντως ἐποίουν· εἶτα ἐκπομπεύεται αὐτῶν ἡ ἀσθένεια. Καὶ μετ' ὀλίγα—Ἄξιον ἐνταῦθα θαυμάσαι, πῶς ὁ δαίμων οὐ συνέπραττεν ἐκείνοις τῇ τῶν ἐξορκιστῶν πλάνῃ· ἀλλὰ διήλεγξεν[k] αὐτοὺς, καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησεν· ἐμοὶ δοκεῖ σφόδρα θυμωθεὶς, ὥσπερ ἂν εἴτις περὶ τῶν ἐσχάτων κινδυνεύων ὑπό τινος οἰκτροῦ καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκεῖνον ἀφεῖναι βούλεται τὸν θυμόν· ἵνα γὰρ μὴ δόξῃ καταφρονεῖσθαι τὸ ὄνομα τοῦ Ἰησοῦ, πρότερον ὁμολογήσας, τότε ἔλαβεν ἐξουσίαν· ὅτι γὰρ οὐκ ὀνόματος ἦν ἀσθένεια, ἀλλὰ τῆς ἐκείνων ἀπάτης τὸ πᾶν, ἐπὶ Παύλου διατί μὴ γεγένηται ταῦτα; προσήραξεν[l] αὐτῶν τὰς κεφαλὰς, ἴσως διέρρηξε τὰ ἱμάτια—Καὶ

[k] διήλεγεν Cod. [l] προσέραξεν Cod.

μετ' ὀλίγα—Δείκνυται δαιμόνων ἡ δύναμις μεγάλη τις οὖσα, ὅταν πρὸς ἀπίστους ἔχῃ.

Ἐξ ἀνεπιγράφου. Ὥσπέρ ἐστι φωνῇ μὲν ὁμολογεῖν τὸν Θεὸν, τοῖς δὲ ἔργοις ἀρνεῖσθαι, οὕτως ἐστὶν εἰδέναι τὸν Ἰησοῦν καὶ τοὺς Ἀποστόλους αὐτοῦ, οὐκ ἔχοντα δύναμιν ἐπιστημονικὴν καὶ γνωστικήν· διὸ οὐδὲ παράδοξον, εἰ τοῖς τοιούτοις ἐφάλλεται τὸ πνεῦμα τὸ πονηρὸν, λέγον· "ὑμεῖς δὲ τίνες ἐστέ;" ὧν τὴν φωνήν, φησι, τὴν προφέρουσαν τὸν Ἰησοῦν, οὐχ ὡς πυρὸς αἰσθάνομαι· πυρὸς γὰρ σφοδρότερον ἐνεργοῦσα εἰς τὰ πνεύματα τῇ τῶν Ἀποστόλων φωνῇ, ἡ τοῦ Ἰησοῦ προσηγορία ἐξήλαυνε τῶν σωμάτων αὐτούς.

18 Πολλοί δὲ τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογού-
μενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.

Ἀμμωνίου. Δεῖ πάντα πιστὸν λέγειν τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ ἀποτάττεσθαι διὰ τοῦ ἑαυτὸν ἐλέγχειν τοῦ ἔτι ποιεῖν τὰ αὐτὰ, ἵνα δίκαιος γένηται κατὰ τὸ εἰρημένον· "λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτον, ἵνα δικαιωθῇς·" καὶ τὸ, "δίκαιος ἑαυτοῦ κατήγορος·" τοσοῦτοι δὲ ἦσαν κατείδωλοι οἱ Ἐφέσιοι καὶ γόητες, ὅτι καὶ πολυτίμως τὰς γοητευτικὰς κατεσκεύαζον βίβλους, ὡς τῶν ἐν βίῳ ἐχουσῶν τὰ κάλλιστα· ἅπερ εἰς Χριστὸν πιστεύσαντες οὐκ ἐπώλησαν, καίτοιγε ἄλλων ἐκεῖσε τοιούτων ὄντων τῶν θελόντων τὰς βίβλους κτήσασθαι, ἀλλ' ἔκαυσαν· πρῶτον μὲν ἵνα μήτις μετάσχῃ τῆς ἀπ' αὐτῶν ψυχοφθόρου λύμης· ἔπειτα δὲ ἵνα μὴ ἀπὸ τοιαύτης αἰτίας κτήσωνταί τι. ὥσπερ γὰρ ἀπηγόρευται τὸ τοῦ κυνὸς τίμημα, ἢ τὸ ἀπὸ πορνείας κέρδος προσάγειν Θεῷ, οὕτως οὐδὲ τὸ ἐκ τῆς αἰτίας ταύτης ἀργύριον τεθῆναι παρὰ τοὺς τῶν Ἀποστόλων πόδας δίκαιον ἔκριναν.

19 Ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, εἰσενέγκαντες
τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψή-
φισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας
20 πέντε. οὕτως κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε
καὶ ἴσχυεν.

Τοῦ Χρυσοστόμου. Εἰδότες ὅτι οὐδὲν αὐτῶν ὄφελος λοιπὸν ἦν, ὅταν καὶ αὐτοὶ οἱ δαίμονες ταῦτα ποιῶσιν. οὐκ ἄρα τὸ ὄνομα

τι ποιεῖ, ἐὰν μὴ μετὰ πίστεως λέγηται· “ὁ πιστεύων εἰς ἐμὲ,” φησι, “καὶ μείζονα ποιήσῃ, ὧν ἐγὼ ποιῶ·” τοῦτο τὸ τῶν σκιῶν ἐστὶν ὅπερ ἔλεγε. Καὶ πάλιν—Ὅτε γοῦν τὸν δαίμονα τὸν πονηρὸν ἐκεῖνον ἐξέβαλε, γοήτων ἀνδρῶν μυριάδες συνελθοῦσαι, πλῆθος βιβλίων τῶν μαγγανικῶν κατέκαιον, καὶ πρὸς τὴν ἀλήθειαν μεθίσταντο· καὶ καθάπερ ἐν πολέμῳ πύργου πεσόντος, ἢ τυράννου κατενεχθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ ὅπλα ῥίψαντες τῷ στρατηγῷ προσέχουσιν· οὕτω δὴ καὶ τότε ἐγένετο· τοῦ γὰρ δαίμονος ἐκβληθέντος, οἱ πολυορκηθέντες ἅπαντες τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ κατακαύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον.

Διδύμου. Οἱ διαβάλλοντες τοὺς Χριστοῦ μαθητὰς ὡς ἐκ μαγικῆς κατασκευῆς ἔχοντας, προκειμένης λέξεως ἐλεγχέσθωσαν, δηλούσης ὡς δυνάμει τῆς διδασκαλίας αὐτῶν πᾶσα γοητεία καταλύετο. ἰδοὺ γοῦν οὐχ οἱ εὐκαταφρόνητοι, ἀλλ' ἱκανότητα πολλὴν πρὸς τὴν τέχνην ταύτην ἔχοντες, αἴσθησιν λαβόντες τῆς καθαιρέσεως τῆς περιεργείας ἴσως τῶν δαιμόνων τῶν συνήθων, τὰς βίβλους πάσας τὰς περὶ τούτων συγκομίσαντες, ἔμπροσθεν πάντων τότε παρόντων κατέκαυσαν· καίτοι πολλοῦ τιμήματος οὔσας. προλήψει τοῖς προκειμένοις καὶ τὰ περὶ Σίμωνος.

21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ Πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλὴμ, εἰπὼν, ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.

Τοῦ Χρυσοστόμου. Τήν τε παρουσίαν ἀπαγγεῖλαι, καὶ προθυμοτέρους ποιοῦντας, μάλιστα πάντων τῇ Ἀσίᾳ ἐνδιατρίβει· εἰκότως· ἐκεῖ γὰρ ἦν τυραννὶς τῶν φιλοσόφων· καὶ ἐλθὼν πάλιν αὐτοῖς διελέγετο· καὶ γὰρ πολλὴ ἦν ἡ δεισιδαιμονία.

22 Ἀποστείλας δὲ εἰς Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

Τοῦ αὐτοῦ. Ἴσως ὡς κιβώρια μικρὰ πολλὴ ταύτης ἡ τιμὴ ἐν Ἐφέσῳ· ὅπου καὶ τὸ ἱερὸν αὐτῶν ἔμπροσθεν οὕτως ἐλύπησεν αὐτοὺς, ὡς τὸν ἐμπρήσαντα κελεῦσαι μηδὲ ὀνόματι λέγεσθαι· ὅρα

πανταχοῦ τὴν εἰδωλολατρίαν ἀπὸ χρημάτων· καὶ οὗτος διὰ χρήματα, οὐ τῆς εὐσεβείας κινδυνευούσης αὐτοῖς, ἀλλ' ὡς τοῦ πορισμοῦ τὴν ὑπόθεσιν οὐκ ἔχοντος.

* Περὶ τῆς ἐν Ἐφέσῳ κινηθείσης[e] στάσεως ὑπὸ Δημητρίου τοῦ ἀργυροκόπου κατὰ τῶν Ἀποστόλων.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλί-
24 γος περὶ τῆς ὁδοῦ. Δημήτριος γάρ τις ὀνόματι, ἀργυ-
ρόκοπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο
τοῖς τεχνίταις οὐκ ὀλιγὴν ἐργασίαν·

Τοῦ αὐτοῦ. Τὸν κίνδυνον ἐπέστησεν, ὅτι ἀπὸ τῆς τέχνης ταύτης κινδυνεύομεν εἰς λιμὸν ἐμπεσεῖν· καίτοι τὰ εἰρημένα ἱκανὰ εἰς εὐσέβειαν αὐτοὺς ἀγαγεῖν· ἀλλὰ ταλαίπωροί τινες ὄντες καὶ ψυχροὶ ταῦτα ποιοῦσιν· εἰ γὰρ ἄνθρωπος οὗτος τοσαῦτα ἰσχύει ὡς μεταστῆσαι πάντας, καὶ κινδυνεύει τὰ τῶν θεῶν, δεῖ ἐννοῆσαι ἡλίκος ὁ τούτου θεός· καὶ ὅτι πολλῷ μᾶλλον ἐκεῖνα ὑμῖν δώσει ὑπὲρ ὧν φοβεῖσθε· ἤδη προκατέλαβεν αὐτῶν τὰς ψυχὰς, λέγων "ὅτι οὐκ εἰσὶ θεοὶ οἱ ὑπὸ χειρῶν ἀνθρώπων γινόμενοι·" ὅρα ὑπὲρ τίνος ἀγανακτοῦσιν Ἕλληνες, ἐπειδὴ εἶπεν, ὅτι οἱ ὑπὸ ἀνθρώπων γινόμενοι οὐκ εἰσὶ θεοί· πανταχοῦ εἰς τὴν τέχνην ὠθεῖ τὸν λόγον· εἶτα τὸ μάλιστα αὐτοὺς λυπῆσαν ὕστερον τίθησιν.

25 Οὓς συναθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας,
εἶπεν, ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ
εὐπορία ἡμῶν ἐστι·

Ἀμμωνίου. Ἤιδει οὖν ὁ Δημήτριος ὅτι ἠπάτα τοὺς ἀνθρώπους, ποιῶν αὐτοῖς ναοὺς καὶ θεοὺς ἀργυροῦς· καὶ ἐδεδείη[f] μὴ ἐλεγχθῇ αὐτοῦ ἡ ῥαδιουργία καὶ ἡ ἀπάτη, διὰ τῆς ἀληθοῦς τοῦ Παύλου διδαχῆς. σημειωτέον δὲ ὅτι τοσοῦτον διέλαμπεν ἡ ἀληθὴς πίστις, καίτοι μήπω ἐπικρατήσασα τότε τῆς οἰκουμένης, ὅτι Δημήτριος ἐδεδείει, μὴ καὶ εἰς τέλος ἀπόληται τῆς Ἀρτέμιδος ὁ ἐν Ἐφέσῳ ναός· καὶ προανεφώνει τὴν ἀπώλειαν τοῦ ναοῦ, ὃ καὶ γέγονεν.

26 Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ
καὶ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας

[e] νικηθείσης Cod. N.C. [f] Sic.

μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.

Τοῦ Χρυσοστόμου. "Πείσας" μετέστησεν οὐ βιαίως· οὕτω δεῖ πείθειν. Καὶ μετ' ὀλίγα—Πῶς ἔπεισεν ἄνθρωπος εὐτελής; πῶς τοσαύτης ἐκράτησε συνουσίας; τί ποιῶν, ἢ τί λέγων; οὐκ ἔστι Παύλου, οὐκ ἔστιν ἀνδρός· καὶ τοῦτο ἀρκεῖ τὸ εἰπεῖν, "ὅτι οὐκ εἰσὶ "θεοί·" εἰ μὲν οὖν οὕτως εὐφώρατον τὸ τῆς ἀσεβείας, πάλαι καταγνωσθῆναι ἔδει· εἰ δὲ ἰσχυρὸν, οὐχ οὕτως ἀναιρεθῆναι ταχέως.

27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι μέλλει, καθαιρεῖσθαί τε τῆς μεγαλειότητος αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.

Τοῦ αὐτοῦ. Ὅρα πῶς ἔδειξε μείζω τὴν Παύλου δύναμιν, πάντας ἀθλίους αὐτοὺς καὶ ταλαιπώρους ἀποφαίνων, εἴγε ἄνθρωπος ἐλαυνόμενος καὶ σκηνοποιὸς ταῦτα δύναται· ὅρα παρ' ἐχθρῶν τὰς μαρτυρίας τοῖς Ἀποστόλοις γινομένας· ὅτε ἐκαθήρουν αὐτῶν τὰ σεβάσματα, τότε στέμματα καὶ ταύρους προσέφερον.

28 Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ, ἔκραζον λέγοντες,

Τοῦ αὐτοῦ. Πόθεν ὁ θυμὸς γέγονεν; ὅτε περὶ τῆς Ἀρτέμιδος ἤκουσαν, ὅτε περὶ τοῦ πορισμοῦ· τοιαῦτα γὰρ τὰ τῶν ἀγοραίων ἤθη ἀπὸ τοῦ τυχόντος συναρπάσεσθαι καὶ ἐκκαίεσθαι· διὸ ταῦτα μετὰ ἐξετάσεως δεῖ ποιεῖν.

29 Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. καὶ ἐπλήσθη ὅλη ἡ πόλις τῆς συγχύσεως·

Τοῦ αὐτοῦ. Κατὰ πόλιν γὰρ αὐτῶν ἦσαν θεοὶ, καὶ οὕτω διέκειντο, ὡς διὰ τῆς φωνῆς ἀνακτώμενοι τὸ σέβας αὐτῆς, καὶ τὰ γεγενημένα ἀναλύοντες· ὅρα ἄτακτον πλῆθος· παιδικὴ ὄντως ἡ διάνοια· καθάπερ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβασμα αὐτῶν, συνεχῶς ἐβόων.

Ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπά-

σαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνα, συνεκδήμους Παύλου.

Τοῦ Χρυσοστόμου. Τούτων ἔν τινι ἑαυτοῦ Ἐπιστολῇ μέμνηται ὁ Ἀπόστολος· πλὴν καὶ ἡ γραφὴ αὐτοῖς μαρτυρεῖ, ὅτι διὰ τὴν πίστιν καὶ ἐκινδύνευσαν.

30 Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον,
31 οὐκ εἴων αὐτὸν οἱ μαθηταί. τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν
ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν
μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.

Τοῦ αὐτοῦ. "Παρεκάλουν τὸν Παῦλον μὴ δοῦναι ἑαυτὸν εἰς τὸ "θέατρον" ἀτάκτῳ δήμῳ καὶ ῥύμῃ· καὶ ὁ Παῦλος πείθεται· οὐ γὰρ ἦν κενόδοξος οὐδὲ φιλότιμος. Καὶ πάλιν—Εἰδότες αὐτοῦ τὴν προθυμίαν παρεκάλουν· οὕτως αὐτὸν πάντες ἐφίλουν οἱ πιστοί.

Μὴ δὴ καταπίπτωμεν ἐν τοῖς πειρασμοῖς· αὐτὸς γὰρ ποιήσει καὶ τὴν δύναμιν τοῦ δύνασθαι ὑπενεγκεῖν· οὐδὲν οὕτως φιλοὺς ποιεῖ καὶ συγκροτεῖ ὡς θλίψεις· οὐδὲν οὕτω συνδεῖ καὶ ἐπισφίγγει τῶν πιστῶν τὰς ψυχάς· οὐδὲν ἡμῖν τοῖς διδασκάλοις ἐπιτήδειον πρὸς τὸ τὰ παρ' ἡμῶν λεγόμενα ἀκούεσθαι. ἐν μὲν γὰρ ἀνέσει τυγχάνων ὁ ἀκροατὴς, χαῦνός τε ἐστι καὶ ῥάθυμος, καὶ ἐνοχλεῖσθαι δοκεῖ παρὰ τοῦ λέγοντος· ἐν δὲ θλίψει καὶ στενοχωρίᾳ, εἰς πολλὴν ἐπιθυμίαν ἀκροάσεως ἐμπίπτει· στενοχωρούμενός τε τὴν ψυχὴν πανταχόθεν ζητεῖ παραμυθίαν τῆς θλίψεως εὑρεῖν· οὐ μικρὰν δὲ φέρει ὁ λόγος παραμυθίαν. Καὶ μεθ' ἕτερα—Μηδὲ καταπίπτωμεν ἐν ταῖς θλίψεσιν· ἀλλ' ἐν πᾶσιν εὐχαριστῶμεν, ἵνα καὶ κερδάνωμεν μέγα· ἵνα εὐδοκιμήσωμεν παρὰ τῷ Θεῷ τῷ τὰς θλίψεις συγχωροῦντι· μήτε οὖν ἐπισπώμεθα αὐτὴν, καὶ παροῦσαν γενναίως φέρωμεν, ἀεὶ μυρίων οὖσαν ἀγαθῶν αἰτίαν· ἵνα καὶ τῆς παρὰ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν.

Πολλοὺς κινδύνους ὑπέμεινεν ἐν Ἐφέσῳ ὁ Παῦλος, ὥστε μικροῦ δεῖν καὶ θηρίοις ὁμιλῆσαι· καὶ τοῦτό ἐστιν ὅ φησιν ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ· "εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν "Ἐφέσῳ, τί μοι τὸ ὄφελος;" Ἰωάννης δὲ ὁ ἁγιώτατος Ἐπίσκοπος Κωνσταντίνου πόλεως ἐξηγούμενος τὸ ῥητὸν τοῦτο, οὕτως εἶπε· τί ἐστιν "εἰ κατὰ ἄνθρωπον;" ὅσον τὸ εἰς ἀνθρώπους ἧκον "ἐθηριο-

"μάχησα·" τί γὰρ εἰ ὁ Θεὸς ἐξήρπασέ με τῶν κινδύνων; ὥστε ὁ μάλιστα ὑπὲρ τούτων ὀφείλων μεριμνῶν· ἐγώ εἰμι ὁ τοσούτους κινδύνους ὑπομένων, καὶ μηδεμίαν μηδέπω λαβὼν ἀμοιβήν· εἰ γὰρ μὴ παραγίνεται ὁ τῆς ἀναστάσεως καιρὸς, ἀλλὰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα συγκέκλεισται, ἡμεῖς ἐν μείζονι ζημίᾳ ἐσμέν. Καὶ μετ' ὀλίγα—Ταῦτα δὲ ἅπαντα ἔλεγεν· οὐκ ἐπειδὴ οὐκ εἶχεν ὄφελος, καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἀλλὰ διὰ τὴν τῶν πολλῶν ἀσθένειαν, καὶ ὥστε αὐτοὺς εἰς τὸν περὶ τῆς ἀναστάσεως στηρίξαι λόγον.

32 Ἄλλοι μὲν οὖν ἄλλό τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν, τίνος ἕνεκα συνεληλύθεισαν.

Ἀμμωνίου. Δείκνυσι τὴν ἄκριτον κατὰ τοῦ Παύλου ἐπανάστασιν· ὅτι δὴ καὶ ἠγνόουν τινὲς καταβοῶντες, ἐφ' οἷς συναχθέντες ἔκραζον.

Τοῦ Χρυσοστόμου. Τοιοῦτον τὸ πλῆθος· ἁπλῶς ἕπεται, καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν· ὁ μὲν οὖν Παῦλος ἐβούλετο εἰσελθὼν δημηγορῆσαι, τοὺς γὰρ διωγμοὺς ἐλάμβανεν εἰς διδασκαλίαν· ἀλλ' οἱ μαθηταὶ οὐκ εἴων· σκόπει πόσῃ περὶ αὐτὸν προνοίᾳ κέχρηνται πανταχοῦ· καὶ ἐξ ἀρχῆς αὐτὸν ἐξήγαγον· ὥστε μὴ περὶ τὰ καίρια λαβεῖν τὴν πληγήν· καίτοιγε ἤκουσαν ὅτι δεῖ αὐτὸν καὶ Ῥώμην ἰδεῖν.

33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλ-
λόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατα-
34 σείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ· ἐπι-
γνόντων δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγίνετο μία ἐκ
πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων, μεγάλη ἡ Ἄρτεμις
Ἐφεσίων.

Τοῦ Χρυσοστόμου. Προεβάλοντο οἱ Ἰουδαῖοι τὸν Ἀλέξανδρον· οἰκονομικῶς δὲ οὗτος οὐκ ἐφθέγξατο· πάλιν δὲ ἔκραζον "μεγάλη ἡ "Ἄρτεμις·" παιδικὴ ὄντως ἡ διάνοια· καθάπερ γὰρ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβας αὐτῶν, συνεχῶς ἐβόων· δύο ἔτη ἐκάθισεν ἐκεῖ ὁ Παῦλος· καὶ ὅρα πόση ἔτη Ἕλληνες· τίνος δὲ ἕνεκεν Ἀλέξανδρος

ἐβούλετο ἀπολογήσασθαι; μὴ γὰρ αὐτὸς ἐνεκλήθη, ἀλλ' ὥστε καιρὸν εὑρεῖν, καὶ τὸ πᾶν καταστρέψαι, καὶ ἑλκύσαι τοῦ δημοῦ τὸν θυμόν· εἶδες θυμὸν ἄτακτον.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησὶν, ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἀνθρώπων, ὃς οὐκ ἐπιγινώσκει τὴν τῶν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ διοπετοῦς;

Τοῦ αὐτοῦ. Καλῶς καὶ ἐπιτιμητικῶς ὁ γραμματεύς· "τίς ἐστι," φησὶν, "ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν;" περὶ οὗ ἐφοβοῦντο, οὐκοῦν τοῦτό φησιν, ὅτι οὐ θεραπεύετε αὐτήν· καὶ οὐκ εἶπε, τίς γάρ ἐστιν, ὃς οὐ γινώσκει τὴν Ἄρτεμιν, ἀλλὰ τὴν πόλιν τὴν ὑμετέραν; ἐθεράπευεν αὐτήν· τί τοίνυν ζητεῖτε ὡς ἀδήλων ὄντων; προσχῆμα τὴν εὐσέβειαν ἐβούλοντο ποιεῖν τοῦ χρηματισμοῦ.

Ἀμμωνίου. "Καὶ τοῦ διοπετοῦς," τοῦ ναοῦ τοῦ Διός· ἤτοι τοῦ στρογγυλοειδοῦς· ἢ μᾶλλον ὅπερ καὶ ἀληθές ἐστι, διοπετὲς καλεῖ τὸ ἄγαλμα τῆς Ἀρτέμιδος, ἤτοι τὸ Παλλάδιον· ὅπερ ἄνωθεν ἐκ τοῦ Διὸς διαθηλασθαι [g] ᾤοντο, καὶ οὐκ ἐξ ἀνθρώπων.

Ἰσιδώρου ἐπιστολῆς αφλη΄. Τινὲς μὲν φασὶν ὅτι περὶ τοῦ τῆς Ἀρτέμιδος ἀγάλματος εἴρηται, τουτέστι τῆς μεγάλης Ἀρτέμιδος, καὶ τοῦ διοπετοῦς αὐτῆς ἀγάλματος· τινὲς, ὅτι καὶ τὸ Παλλάδιον, ἄγαλμα δὲ ἦν τῆς Ἀθηνᾶς· τοῦτο ἐσέβοντο μετὰ τῆς Ἀρτέμιδος.

Τὸ ἐξ οὐρανοῦ παρὰ τοῦ Διὸς πεμφθὲν ἤτοι καταπτὰν, καὶ οὐ γενόμενον ὑπὸ ἀνθρώπου ἄγαλμα, ἢ τῆς Ἀρτέμιδος ἢ τῆς Παλλάδος, καθὼς ἐμυθεύοντο Ἕλληνες πρὸς κατάπληξιν τῶν ἀκεραιοτέρων.

36 Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς
κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσ-
37 σειν. ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύ-
λους οὔτε βλασφημοῦντας τὴν θεὸν ὑμῶν.

Τοῦ Χρυσοστόμου. Εἶτα ἠρέμα καθάπτεται αὐτῶν, δεικνὺς ὅτι προπετῶς ἔπραξαν, καὶ οὐκ ἔδει ἰδιωτικῶν ἐγκλημάτων ἕνεκεν

[g] ἐκ τ. Διὸς διαθ. suppl. rec. m. in marg.

κοινὴν ἐκκλησίαν ποιεῖσθαι· σφόδρα γὰρ αὐτοὺς ἠλόγησε καὶ διηπόρησε· "τίς γάρ ἐστιν ἀνθρώπων," καὶ τὰ ἑξῆς· τούτῳ πρώτῳ τὸν θυμὸν αὐτῶν ἔσβεσε. "καὶ τοῦ διοπετοῦς·" ἱερὸν ἕτερον οὕτως ἐκαλεῖτο, ἤτοι τὸ ὄστρακον αὐτῆς φησιν. "οὔτε βλασφημοῦντα τὴν "θεὸν ἡμῶν·" τοῦτο ψεῦδος, ταῦτα μὲν πρὸς τὸν δῆμον· ὥστε δὲ κἀκείνους ἐπιεικεστέρους γενέσθαι, φησίν.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται
ἔχουσι πρός τινα λόγον,

Τοῦ αὐτοῦ. Ὅρα πῶς οἱ ἄπιστοι· φρονίμως πῶς καὶ συνετῶς οὕτως ἔσβεσεν τὸν θυμόν· ὥσπερ γὰρ ῥαδίως ἐξάπτεται, οὕτω καὶ ῥαδίως σβέννυται.

39 Ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοι εἰσίν· ἐγκαλείτω-
40 σαν ἀλλήλοις· εἰ δέ τι περαιτέρω ζητεῖτε, ἐν τῇ ἐννόμῳ
ἐκκλησίᾳ ἐπιλυθήσεται· καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖ-
σθαι στάσεως περὶ τῆς σήμερον, μηδένος αἰτίου ὑπάρ-
χοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον περὶ τῆς
41 συστροφῆς ταύτης· καὶ ταῦτα εἰπών, ἀπέλυσε τὴν ἐκ-
κλησίαν.

Ἀμμωνίου· Εἶδος ἦν δικαστῶν ἐν τῇ Ἀσίᾳ εὐτελῶν οἱ ἀγοραῖοι, οἵτινες ἐδίκαζον τοῖς πένησι καὶ ἀγοραίοις ἀνθρώποις· διὸ καὶ ἀγοραῖοι ἐκαλοῦντο μᾶλλον· ὥσπέρ εἰσιν οἱ ἔκδικοι κατὰ πόλεις τινάς· οἱ δ' ἀνθύπατοι ταῖς τῶν πλουσίων ἢ τῶν ἐγκλημάτων δίκαις ὑπήκουον· ἢ ἀγοραῖοι εἰσὶν οἱ δικολόγοι, παρὰ τὸ ἀγορεύειν λεχθέντες, ὅ ἐστι δημηγορεῖν.

ΚΕΦ. ΚΘ.

Περίοδος Παύλου, ἐν ᾗ περὶ θανάτου καὶ ἀνακλήσεως Εὐτυχοῦς διὰ προσευχῆς ἐν Τρῳάδι· παραίνεσις τὲ αὐτοῦ ποιμαντικὴ πρὸς τοὺς ἐν Ἐφέσῳ πρεσβυτέρους.

1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, μεταπεμψά-
μενος ὁ Παῦλος τοὺς μαθητὰς, καὶ παρακαλέσας, ἀσπα-
2 σάμενός τε, ἐξῆλθε πορεύεσθαι εἰς Μακεδονίαν· διελθὼν
δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ,
ἦλθεν εἰς τὴν Ἑλλάδα.

Τοῦ Χρυσοστόμου. Ἔδει δὲ πολλῆς παρακλήσεως ἀπὸ τῆς ταραχῆς ἐκείνης· τοῦτο δὲ ποιήσας ἦλθεν εἰς Μακεδονίαν, εἶτα εἰς τὴν Ἑλλάδα· πάλιν δὲ διώκεται ὑπὸ Ἰουδαίων, καὶ ἔρχεται εἰς Μακεδονίαν· πῶς δὲ τὸν Τιμόθεον Θεσσαλονικέα φησίν; οὐ τοῦτο λέγει· ἀλλὰ προέλαβον, φησὶν, οὗτοι εἰς τὴν Τρωάδα προοδοποιοῦντες αὐτῷ· τὰς δὲ ἑορτὰς ἐμοὶ δοκεῖ σπουδάζειν αὐτὸν ποιεῖν ἐν ταῖς μεγάλαις πόλεσι· προελθόντες ἀπὸ Φιλίππων, ἔνθα κατὰ τὸ δεσμωτήριον ἐγένετο· τρίτον τοῦτο εἰς Μακεδονίαν ἐπανῆλθε, καὶ πολλὰ μαρτυρεῖ τοῖς Φιλιππησίοις, διὸ καὶ ἐνδιατρίβει ἐκεῖ· "καὶ ἀσπασάμενος αὐτοὺς," φησὶν, "ἐξῆλθε." καὶ τούτῳ πάλιν ἀνεκτήσατο, ἱκανὴν διδοὺς παραμυθίαν· "καὶ παρακαλέσας λόγῳ "πολλῷ."

3 Ποιήσας τε μῆνας τρεῖς, γενομένης ἐπιβουλῆς αὐτῷ
ὑπὸ τῶν Ἰουδαίων, μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν,
4 ἐγένετο γνώμης ὑποστρέφειν διὰ Μακεδονίας. συνεί-
πετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Πύρρου Βε-
ροιαῖος· Θεσσαλονικέων δὲ, Ἀρίσταρχος καὶ Σεκοῦν-
δος, καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ,
5 Τυχικὸς καὶ Τρόφιμος· οὗτοι προελθόντες ἔμενον ἡμᾶς
6 ἐν Τρωάδι· ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας
τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς
εἰς τὴν Τρωάδα ἄχρι ἡμερῶν πέντε, οὗ διετρίψαμεν
ἡμέρας ἑπτά.

Τοῦ αὐτοῦ. Ὅρα πανταχοῦ διὰ λόγων τὸ πλέον κατορθοῦντα, οὐ διὰ σημείων· συνεχῶς ἡμῖν αὐτὸν δείκνυσιν ἐπειγόμενον εἰς τὴν Συρίαν· τὸ δὲ αἴτιον ἡ ἐκκλησία ἦν καὶ τὰ Ἱεροσόλυμα· ἀλλ' ὅμως κατεῖχε τὸν πόθον, καὶ τὰ ἐκεῖ κατώρθου· καίτοι οὐ μεγάλη ἡ Τρωάς ἐστι· τί οὖν ἡμερῶν ἑπτὰ ποιοῦσι; μεγάλη ἴσως ἦν κατὰ τοὺς πιστούς· καὶ ἡμέρας ἑπτὰ διατρίψας, τῇ ἐπιούσῃ τὴν νυκτὰ ἀνήλωσεν εἰς τὴν διδασκαλίαν· οὕτω δυσαποσπάστως αὐτῶν εἶχε, καὶ αὐτοὶ αὐτοῦ.

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων ἡμῶν
κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξ-

ιέναι τῇ ἐπαύριον, παρέτεινέ δὲ τὸν λόγον μέχρι μεσο-
8 *νυκτίου· ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ*
ἦμεν συνηγμένοι.

Τοῦ Χρυσοστόμου. *Πεντηκοστὴ τότε ἦν· ὅρα πῶς πάντα πάρεργα ἦν τοῦ κηρύγματος· καὶ κυριακὴ ἦν· "μέχρι μεσονυκτίου," φησίν· οὐδὲ νύκτα ἐσίγα, ἀλλὰ τότε μᾶλλον διελέγετο, ἅτε ἡσυχίας οὔσης· ὅρα πῶς καὶ πολλὰ διελέγετο, καὶ παρ' αὐτὸν τοῦ δείπνου τὸν καιρόν· ἀλλὰ συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος, οὐ μὴν ἴσχυσε, βαπτίσας τὸν ἀκροατὴν ὕπνῳ καὶ κατενεγκών.* Καὶ *μετ' ὀλίγα*—"*Συνηγμένων δὲ ἡμῶν,*" *φησὶ,* "*κλάσαι ἄρτον*" *πρὸς αὐτὸν τὸν καιρόν. ἀρχὴν λαβὼν ὁ λόγος παρέτεινεν ὡς ἐνδεικνύμενος πεινῆν· καὶ οὐκ ἦν ἄκαιρος, οὐ γὰρ προηγουμένως εἰς διδασκαλίαν καθῆκεν, ἀλλὰ συνῆλθον μὲν* "*κλάσαι ἄρτον,*" *ἐμπεσόντος δὲ λόγου παρέτεινε τὴν διδασκαλίαν. ὅρα πῶς καὶ τῇ τραπέζῃ τοῦ* Παύλου *πάντες ἐκοινώνουν· ἐμοὶ δοκεῖ καὶ παρὰ τὴν τραπέζαν αὐτὸν καθημένον διαλέγεσθαι, παιδεύοντα ἡμᾶς πάντα τὰ λοιπὰ πάρεργον ἡγεῖσθαι.*

9 Καθεζόμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς
θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ
Παύλου ἐπὶ πλεῖον, καὶ κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου,
10 ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. κατα-
βὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν
αὐτὸν εἶπε,

Τοῦ αὐτοῦ. *Συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος, βαπτίσας τὸν ἀκροατὴν ὕπνῳ καὶ κατενεγκών· θέα δέ μοι τὸ θέατρον, ὅπως ἦν συγκεκροτημένον*[1]*, καὶ τὸ σημεῖον, οἷον· ἐπὶ θυρίδος ἐκάθητο ἀωρὶ τῶν νυκτῶν· τοσοῦτον ἦν ὁ πόθος τῆς ἀκροάσεως· αἰσχυνθῶμεν ἡμεῖς· ἀλλὰ* Παῦλος *διελέγετο, φησὶ, τότε· καὶ νῦν δὲ* Παῦλος *διαλέγεται· μᾶλλον δὲ οὐδὲ τότε* Παῦλος*, οὐδὲ νῦν, ἀλλ' ὁ* Χριστὸς*, καὶ οὐδεὶς ἀκούει· οὐχὶ θυρίς ἐστι νῦν, οὐ πεῖνα, οὐχ ὕπνος ἐνοχλεῖ, καὶ ὅμως οὐκ ἀκούομεν· οὐ στενοχωρία τόπου, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι δὴ νεανίας ὢν, οὐκ ἦν ῥάθυμος· καὶ ὕπνῳ καταφερόμενος οὐκ ἀπέστη, οὐδὲ ἔδεισε τὸν*

[1] *συγκεκρατημένον* Cod.

κίνδυνον, μὴ κατενεχθῇ· οὐκ ἀπὸ ῥαθυμίας ἐνύσταξεν, ἀλλ' ἀπὸ ἀνάγκης φύσεως· σὺ δέ μοι θέα, ὅτι οὕτως ἔζεον τῇ προθυμίᾳ, ὅτι καὶ ἐν τριστέγῳ ἦσαν. οὔπω γὰρ ἦν ἡ ἐκκλησία.

Μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.

Τοῦ Χρυσοστόμου. *Οὐκ εἶπεν, ἀναστήσεται, ἐγερῶ γὰρ αὐτόν· ἀλλ' ὅρα τὸ ἄτυφον αὐτοῦ καὶ παρακλητικὸν, "ἡ γὰρ ψυχὴ "αὐτοῦ ἐν αὐτῷ ἐστιν."*

11 Ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ'
12 ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ἤγα-
γον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.

Ἀμμωνίου. *Σημειωτέον ὅτι καὶ ὁ* Παῦλος *νεκρὸν ἤγειρεν τὸν καλούμενον* Εὔτυχον.

Τοῦ Χρυσοστόμου. *Τοῦτο διέκοψε τὸν λόγον, οὐ μὴν ἔβλαψε τὸν λόγον· ὁρᾷς τοῦ δείπνου τὸ ἀπέριττον· τίνος δὲ ἕνεκεν ἐν νυκτὶ διελέγετο; "ἔμελλεν ἐξιέναι," φησὶ, καὶ οὐδὲ ὁρᾶν αὐτοὺς λοιπόν.*

Τοῦ αὐτοῦ. *Ὁρᾷς ὅπως διενυκτέρευον· τοιαῦται τράπεζαι ἦσαν, ὡς νήφοντας πάλιν ἀπιέναι τοὺς ἀκροατὰς πρὸς ἀκρόασιν ἐπιτηδείους.*

* Παράπλους Παύλου ἀπὸ Ἐφέσου ἄχρι Καισαρείας τῆς Παλαιστίνης.

13 Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς
τὴν Ἄσσον[k], ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦ-
λον· οὕτως γὰρ ἐντεταλμένος ἦν, ὡς μέλλων αὐτὸς πε-
14 ζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόν-
15 τες αὐτὸν, ἤλθομεν εἰς τὴν Μιτυλήνην· κἀκεῖθεν ἀποπλεύ-
σαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἄντικρυς Χίου. τῇ δὲ
ἑσπέρᾳ παρεβάλομεν εἰς Σάμον· καὶ μείναντες ἐν Τρω-
16 γυλλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον· κεκρίκει γὰρ
ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται
αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ·

Τοῦ αὐτοῦ. *Τὸν μὲν κουφότερον ἐκείνοις ἐπιτρέπων, τὸ δὲ ἐπιπονώτερον αὐτὸς αἱρούμενος, ἐπέζευεν ἅμα, καὶ πολλὰ οἰκονομῶν, παιδεύων τε αὐτοὺς χωρίζεσθαι αὐτοῦ.*

[k] *νάσον* Cod. ut et inf.

Ἔσπευδε γὰρ, εἰ δυνατὸν εἴη αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

Τοῦ Χρυσοστόμου. Ὅρα καὶ ἀνθρωπίνως αὐτὸν κινούμενον[1]· διὰ γὰρ τοῦτο ταῦτα γίνεται, ἵνα μὴ νομίσωμεν, ὅτι ὑπὲρ φύσιν τὴν ἀνθρωπίνην ἦν· καὶ ἐπιθυμοῦντα αὐτὸν ὁρᾷς καὶ σπεύδοντα, καὶ οὐκ ἐπιτυγχάνοντα πολλάκις· οἱ γὰρ ἅγιοι καὶ μεγάλοι ἄνδρες ἐκεῖνοι, τῆς μὲν φύσεως ἡμῖν τῆς αὐτῆς ἐκοινώνουν, τῆς δὲ παραινέσεως οὐκέτι· διὸ καὶ πολλὴν ἐπεσπῶντο τὴν χάριν· ὅρα γοῦν πόσα καὶ ἀφ' ἑαυτῶν οἰκονομοῦσιν.

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

Τοῦ αὐτοῦ. Ὅρα αὐτὸν καὶ ἐπειγόμενον παραπλεῦσαι καὶ μὴ παρορῶντα, ἀλλὰ καὶ τὸ πᾶν οἰκονομοῦντα· τοὺς ἄρχοντας μεταπεμψάμενος· δι' ἐκείνων αὐτοῖς διελέγετο· ἄξιον δὲ θαυμάσαι, πῶς εἰς ἀνάγκην ἐμπεσὼν τοῦ μεγάλα τινὰ περὶ ἑαυτοῦ εἰπεῖν, πειρᾶται μετριάζειν· καθάπερ Σαμουὴλ ὁ προφήτης, μέλλων παραδιδόναι τὴν ἀρχὴν τῷ Σαούλ.

18 Ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν, ὑμεῖς ἐπίστασθε,
ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς
19 μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ
Κυρίῳ μεθ' ὑμῶν μετὰ πάσης ταπεινοφροσύνης,

Τοῦ αὐτοῦ. Ὅρα τί μάλιστα ἄρχουσι προσήκει· μισοῦντας, φησὶν, ὑπερηφανίαν, ὃ μάλιστα ἄρχουσιν ἁρμόζει· διὰ τὸ ἀνάγκην εἶναι ἀπονοίας αὐτοῖς· τοῦτο ἡ ὑπόθεσις τῶν ἀγαθῶν· ὥσπερ οὖν ὁ Χριστὸς ἔλεγε, "μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι·" οὐχ ἁπλῶς δὲ τὸ ταπεινοφροσύνης, ἀλλὰ "μετὰ πάσης·" πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης· ἐν λόγῳ· ἐν ἔργῳ· πρὸς ἄρχοντας· πρὸς ἀρχομένους· εἶτα τὸ ἥμερον πανταχοῦ· κοινωνίᾳ πολλῇ "μεθ' ὑμῶν," φησιν, "ἐγενόμην δουλεύων τῷ Κυρίῳ·" κοινοποιεῖται τὰ κατορθώματα· οὐδὲν αὐτοῦ ἐξαίρετον.

Ἀμμωνίου. Οὐχ ὡς ἐπαινῶν ἑαυτὸν ὁ Παῦλος καταλέγει τὰς προσούσας αὐτῷ ἀρετάς· ἄτοπον γὰρ καὶ μάλιστα πρὸς εἰδότας

[1] κινεῖ Cod., sed corr. rec. m.

λέγειν, ἀλλ' ἵνα μιμηταὶ αὐτοῦ γένωνται ἐν πᾶσι· καθῶς ἐν τέλει τῆς αὐτοῦ δημηγορίας φησὶ, πάντα ὑπέδειξα ὑμῖν· ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.

Διδύμου. Ἐπεὶ οὐ πᾶσι συμφέρει τὰ ὑπερφυῶς καὶ βαθύτερα τῶν ἀληθῶν, τὰ βελτιοῦντα οἷς συμφέρει εἶπεν· αὐτοὺς δὲ μάρτυρας φέρει τοῦ οὕτω πεποιηκέναι· εἰ δὲ πρεσβύτεροι τῆς Ἐκκλησίας εἰσὶν ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐπισκοπεῖν τὸ ποίμνιον τεθειμένοι, μήτις δὲ παράδοξον ἡγείσθω ἀκούων, μὴ ἑκάστῳ πάντα τὰ ἀληθῆ συμφέρειν· καὶ γὰρ αὕτη ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται τοῖς λαμβάνουσι πρὸς τὸ συμφέρον· τοῦ γὰρ λαμβάνοντος ἐλάττωσιν δηλοῖ, ἀλλ' οὐ τοῦ διδομένου, μὴ δυναμένου δέξασθαι τὸ ὑπὲρ αὐτῶν ἐπὶ τῷ λυσιτελεῖ.

Καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων·

Τοῦ Χρυσοστόμου. Ὁρᾷς ὅτι ἀλγεῖ τοῖς γινομένοις· ἐνταῦθα δὲ αὐτοῦ καὶ τὸ συμπαθὲς δοκεῖ δηλοῦν· ἔπασχε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων, ὑπὲρ αὐτῶν τῶν ποιούντων· ἐπεὶ ὑπὲρ τῶν εἰς αὐτὸν καὶ ἔχαιρεν· ἐκείνου γὰρ ἦν τοῦ χόρου τοῦ χαίροντος ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι· καὶ πάλιν λέγει νῦν, χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Κολοσσαεῖς. Εἰκότως ἐκείνοις ταῦτα εἶπεν, ἡνίκα ἀπὸ τῆς Ἐφέσου αὐτοὺς εἰς τὴν Μίλητον· διδασκάλοις γὰρ ἔλεγεν, ὥστε ἐκείνους μὲν καὶ τὸ συναλγεῖν ἀπαιτεῖ· τούτους δὲ τὸ κινδυνεύειν μόνον· ποίαν βούλει παραβαλεῖν πηγὴν τοῖς δάκρυσι τούτοις; τὴν ποτίζουσαν τὴν γῆν ἅπασαν; ἀλλ' οὐδὲν ἴσον ἐρεῖς· αὕτη γὰρ ἡ τῶν δακρύων πηγὴ, ψυχὰς ἐπότιζεν, οὐ γῆν· ἥτις ἡμῖν δεδρακυμένον ἔδειξε Παῦλον καὶ στενάζοντα· οὐ πολλῷ βέλτιον ἦν ἰδεῖν ἢ μυρίους χοροὺς φαιδρῶς ἐστεφανωμένους; Καὶ μετ' ὀλίγα—Τούτοις ἄρδεται ἡ Ἐκκλησία, τούτοις ψυχαὶ φωτίζονται τοῖς δάκρυσι· κἂν πῦρ ᾖ, ταῦτα τὰ δάκρυα σβέσαι δύναται καὶ αἰσθητὸν καὶ σωματικόν· ταῦτα τὰ δάκρυα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέννυσι. μνημονεύωμεν τοίνυν αὐτοῦ τῶν δακρύων, καὶ πάντων καταγελασόμεθα τῶν παρόντων· ταῦτα ἐμακάριζεν ὁ Χριστὸς τὰ δάκρυα, λέγων,

“ μακάριοι οἱ πεινῶντες· καὶ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ “ γελάσονται.”

20 Ὡς οὐδὲν τῶν συμφερόντων ὑπεστειλάμην, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς

Τοῦ Χρυσοστόμου. *Ἐνταῦθα χαρακτῆρα διδασκαλίας δείκνυσι τὸ ἄφθονον, τὸ ἄοκνον· καὶ “ τῶν συμφερόντων” ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν· ὥσπερ γὰρ τὸ τινὰ κρύπτεσθαι φθόνος, οὕτως τὸ πᾶν λέγειν ἀνοίας· διὰ τοῦτο προσέθηκε “ τῶν συμφερόντων” οὐκ εἶπε μόνον, ἀλλὰ καὶ ἐδίδαξεν.*

Ἐξ ἀνεπιγράφου. *Αὕτη διδασκάλῳ πρέπουσα ἡ παρρησία· οὗτος ὁ νόμος τοῖς ἐκκλησιῶν προϊσταμένοις συγγέγραπται· τοῦτο μὴ πράττοντας εὐθύνει παρὰ τὸ δικαστήριον ἐκεῖνο Χριστός.*

21 Δημοσίᾳ καὶ κατ᾽ οἴκους, διαμαρτυράμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν, καὶ πίστιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Τοῦ Χρυσοστόμου. *Οὐχὶ πρὸς ὑμᾶς μόνον· ἐνταῦθα ἡ παρρησία· καὶ ὅτι κἂν μηδὲν ὀφελῶμεν λέγειν δεῖ· τὸ γὰρ διαμαρτύρασθαι τοῦτό ἐστιν, ὅταν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν· τὸ γὰρ διαμαρτύρασθαι ὡς ἐπὶ πολὺ τοῦτό ἐστιν.*

22 Καὶ νῦν ἰδοὺ, δεδεμένος ἐγὼ τῷ Πνεύματι πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συμβησόμενά μοι μὴ εἰδὼς,

Τοῦ αὐτοῦ. *Τοῦτο διατί φησι; παρασκευάζων αὐτοὺς ἀεὶ ἑτοίμους εἶναι πρὸς κινδύνους, καὶ τοὺς δήλους καὶ τοὺς ἀδήλους, καὶ πάντα τῷ Πνεύματι πείθεσθαι.*

Ἐξ ἀνεπιγράφου. *Εἰς τὸ δεδεμένος ὑποστίξαι δεῖ· ἵνα ᾖ ἡ διάνοια αὕτη· πορεύομαι εἰς Ἱερουσαλὴμ, προγνοὺς διὰ τοῦ Πνεύματος τὰ ἐσόμενα, πορεύομαι δέσμιος ὤν.*

Ἀμμωνίου. *Σημειωτέον ὅτι οὐ πάντα ἴσασιν οἱ προφῆται, ἀλλ᾽ ὅσα ὑποβάλλει αὐτοῖς τὸ Ἅγιον Πνεῦμα· ἰδοὺ γὰρ προειπὼν ὡς προφήτης ὁ Παῦλος “ ὅτι δεσμὰ καὶ θλίψεις με μένουσι,” καὶ ὅτι οὐκέτι ἤμελλον οἱ ἐν Ἐφέσῳ βλέπειν αὐτὸν, καὶ περὶ τῶν γενησομένων ἐν αὐτοῖς κακοπίστων καὶ αἱρετικῶν, τὸ ἓν εἶπεν ἀγνοεῖν· τὸ τί ἄρα ἔσται τούτων τὸ τέλος. πάντα γὰρ φανερώσας*

αὐτῷ ὁ Κύριος, ἐκεῖνο μόνον ἔκρυψεν ἀπ' αὐτῷ, τὸ τί ἄρα ἔσται αὐτῷ μετὰ τὰ δεσμὰ καὶ τὰς θλίψεις· ἵνα μὴ ἐπαρθεὶς καὶ εἰδὼς ὅτι πάντα τεύξεται τούτου, διὰ ὑπεροψίας ἐκπέσῃ· ἀλλ' εἴασεν αὐτὸ ἀμφίβολον αὐτῷ τὸ Πνεῦμα· ἵνα δεδιὼς τὸ τῆς σαρκὸς ἀσθενὲς, δεηθῇ τοῦ Θεοῦ ῥυσθῆναι ἐκ πειρασμῶν.

Διδύμου. *Ὁ ἑνωθεὶς τῷ Πνεύματι τῷ Ἁγίῳ δέδεται ἐν αὐτῷ, ὥστε μηδὲ κατὰ πόσον ἀποχωρίζεσθαι αὐτοῦ. ὁ οὕτω διαθέσεως ἔχων δέσμιός ἐστι Χριστοῦ, ἔχων τὸ Πνεῦμα αὐτοῦ· εἰ γάρ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, τοῦ ἔχοντος αὐτὸ, δηλόνοτι τὸν Χριστὸν ἔχοντος ἐν αὐτῷ· τούτοις τοῖς δεσμίοις συσφιγγόμενος καὶ ἐγκαλλωπιζόμενος τις γεννᾷ τοὺς παιδευομένους ὑπ' αὐτοῦ, ἑαυτοῦ τὲ καὶ τοῦ Εὐαγγελίου δεσμοῖς· καὶ ἔστιγε ἐκ τῆς γραφῆς ἐπιμαρτύρασθαι· ὡς αἱ μετουσίαι τῶν θείων τούτων δηλοῦνται τῷ ὀνόματι· φησὶ γὰρ ὁ Θεὸς περί τινων, " ἐξέτεινα " αὐτοὺς ἐν δεσμοῖς ἀγάπης ἕως ἐμοῦ·" καὶ ἔν τισιν ἀντιγράφοις τῶν Ψαλμῶν φέρεται· " τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ." λεκτέον οὖν εἰς τὰ προκείμενα, ὅτι ἕτοιμος ὢν ὁ Ἀπόστολος περὶ τὸ δεσμοῖς ὑποβάλλεσθαι ὑπὲρ εὐσεβείας· ἀκούσας μὴ δεῖν εἰς Ἱερουσαλὴμ ἀναβῆναι, διὰ τὸ πάντως ἐκεῖ γενόμενον θλίψεσι καὶ δεσμοῖς ὑποβληθήσεσθαι, φησὶ, δεδεμένον τῷ Πνεύματι νῦν ἐπείγεσθαι ἐπὶ τὴν Ἱερουσαλὴμ, οὐκ ἀγνοοῦντα τὰ ἐν αὐτῇ ἀπαντησόμενα· ταύτης τῆς προαιρέσεως αὐτοῦ παραστατικὸν καὶ τὸ " καθημέραν ἀποθνήσκω" καὶ τὸ " ἀεὶ ἡμεῖς οἱ ζῶντες εἰς θάνα- " τον παραδιδόμεθα διὰ Χριστὸν Ἰησοῦν·" εἰς τοῦτο λήψῃ τὸ ὑπὸ τοῦ Ὑμνῳδοῦ[m] λεχθὲν, τὸ " ἐγὼ εἰς μάστιγας ἕτοιμος," ἐπεὶ δυνατὸν ὑποστίξαντας εἰς τὸ " δεδεμένος," ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶναι τὸ " τῷ Πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ."*

23 Πλὴν ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγων,

Τοῦ Χρυσοστόμου. *Ἵνα δείξῃ ὅτι ἑκὼν ἀπέρχεται· ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃς, φησὶν, ὅτι " κατὰ πόλιν."* Καὶ μετ' *ὀλίγα—" Δεσμὰ καὶ θλίψεις με μένουσιν·" ὅτι μὲν πειρασμοὶ οἶδα· ὁποῖοι δὲ οὐκ οἶδα· ὅπερ ἦν χαλεπώτερον.*

m τὸ ὑπὸ in marg. suppl. rec. m.

Πολλὰς θλίψεις διαφόρως ὑπέμεινεν ὁ Παῦλος· καὶ τοῦτο δείκνυσι, λέγων ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ Ἐπιστολῇ· "εὐλογητὸς ὁ Θεὸς ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει·" ἐξηγούμενος δὲ τὸ ῥητὸν τοῦτο ὁ τῆς Κωνσταντίνου πόλεως Ἐπίσκοπος, ὁ ἁγιώτατος Ἰωάννης, οὕτως φησὶν, "οὐκ εἶπεν ὁ μὴ ἐῶν ἡμᾶς θλίβεσθαι, ἀλλ' ἐν τῷ θλίβεσθαι παρακαλῶν· τοῦτο γὰρ καὶ τοῦ Θεοῦ τὴν δύναμιν δείκνυσι, καὶ τῶν θλιβομένων αὔξει τὴν ὑπομονήν· ἡ γὰρ θλίψις," φησὶ, "τὴν ὑπομονὴν κατεργάζεται·" τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· "ἐν θλίψει ἐπλάτυνάς μοι·" οὐκ εἶπεν ὅτι οὐκ εἴασάς με ἐμπεσεῖν εἰς θλίψιν· οὐδ' ὅτι παρήγαγε τάχεως τὴν θλίψιν, ἀλλ' ὅτι μενούσης αὐτῆς ἐπλάτυνάς με· τουτέστι πολὺν τὴν εὐρυχωρίαν καὶ τὴν ἄνεσιν πάρεσχες."

24 Ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν. ἀλλ' οὐδενὸς λόγου ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

Τοῦ Χρυσοστόμου. Ἕως οὗ, φησι, τελέσω "τὸν δρόμον μετὰ χαρᾶς·" ὅτι οὐκ ἀποδυρομένου ἦν τὰ ῥήματα, ἀλλὰ μετριάζοντος καὶ παιδεύοντος ἐκείνους, καὶ συμπάσχοντος τοῖς γενομένοις· οὐκ εἶπεν ὅτι ἀλγῶμεν, ἀνάγκη δὲ φέρειν, ἀλλ' οὐδὲ ἡγοῦμαί τι· τοῦτο πάλιν οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλ' ἐκείνους διδάσκων διὰ τῶν προτέρων τὴν ταπεινοφροσύνην, διὰ δὲ τούτων, τὴν διδασκαλίαν, τὴν παρρησίαν. Καὶ μετ' ὀλίγα—"Οὐ γὰρ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχὴν," ἵνα ἀναστήσῃ αὐτῶν τὴν διανοίαν ταῦτά φησι, καὶ πείσῃ, μὴ μόνον μὴ φεύγειν, ἀλλὰ καὶ γενναίως φέρειν· διὰ τοῦτο "δρόμον καὶ διακονίαν" καλεῖ· τὸ μὲν δεικνὺς λαμπρὸν ἀπὸ τοῦ δρόμου, τὸ δὲ ὀφειλόμενον ἀπὸ τῆς διακονίας.

Τοῦ Χρυσοστόμου. Τί οὖν ἀπέρχῃ, εἰ δεσμὰ καὶ θλίψεις σε μένει; διὰ τοῦτο αὐτὸ, ἵνα δεσμευθῶ διὰ Χριστόν· ἵνα ἀποθανῶ δι' αὐτόν· "οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

Ἀμμωνίου. Ἵνα κατὰ κοινοῦ λάβῃ τις τὸ "ποιοῦμαι·" ἀντὶ τοῦ, οὐ προτιμῶ τὴν ζωήν μου· ἀλλ' οὐδὲ ἄλλου τινὸς ἀντιποιοῦμαι ἐν

τῷ νῦν βίῳ, ἢ τοῦ ἐκτελέσαι τὴν διακονίαν μου, καὶ πειθαρχῆσαι τῇ τοῦ Κυρίου βουλῇ· οὐ γίνομαι κατὰ τὸν Ἰωνᾶν τὸν ἀπολιπόντα τὴν διακονίαν τοῦ κηρύγματος, ἵνα μὴ φανῶ, φησι, ψεύστης, ἐν ᾧ μὴ ἀποβαίνει τὰ παρ' αὐτοῦ κηρυττόμενα. οὐ προτιμῶ δόξαν ἀνθρώπων τῆς διακονίας, οὐ χρήματα, οὐκ ἄλλό τι· τοῦτο γὰρ οἶμαι σημαίνειν τὸ "οὐδενὸς λόγου ποιοῦμαι."

25 Καὶ νῦν ἰδοὺ, ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν.

Τοῦ Χρυσοστόμου. *Ὥστε εἰκότως διαμαρτύρομαι ὑμῖν, ἅτε μηκέτι παραγινόμενος, "ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων," καὶ τὰ ἑξῆς.*

26 Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων·

Τοῦ αὐτοῦ. *Ὁρᾷς πῶς φοβεῖ πεπονημένας αὐτῶν τὰς ψυχὰς, καὶ τεθλιμμένας ἐπιτρίβει· ἀλλ' ἀναγκαῖον ἦν.*

Ἐξ ἀνεπιγράφου. *"Καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων·" εἰ νυστάξαντες ἀποθανεῖτε ἀπὸ τοῦ φονευτοῦ τῶν ψυχῶν· τὸ γὰρ τοῦ διδασκάλου, φησὶ, πεποίηκα, τὸ ἀπαγγεῖλαι ὑμῖν τὴν βουλὴν τοῦ Θεοῦ· αὕτη δέ ἐστιν ἡ βουλὴ τοῦ Θεοῦ καὶ τὸ θέλημα αὐτοῦ, ὡς ὁ Κύριος εἶπεν· "ἵνα πιστεύσωσιν εἰς τὸν μονογενῆ αὐτοῦ," τὸν ἀποσταλέντα ἐξ οὐρανοῦ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν.*

Ἀμμωνίου. *"Ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων." καὶ ὀπίσω τοιοῦτόν τι ἐσημειωσάμην, ὅτι ὁ ψευδοδιδάσκαλος δίκην ὑπέχει ὑπὲρ τῶν ψυχῶν τῶν δεχομένων τὸν λόγον αὐτοῦ· ὡς τὸ αἷμα αὐτῶν, ὅ ἐστιν ἡ ζωὴ ἡμῖν, ἐκχέων· τὸ οὖν "καθαρός εἰμι" μᾶλλον τοῦτο σημαίνει· μαρτύρομαι, ὅτι ἡ διδασκαλία μου οὐδένα τῆς αἰωνίου ζωῆς ἀποστερεῖ, ἀλλὰ προτίθησι καὶ οὐρανῶν βασιλείαν· ὁ οὖν μὴ πειθαρχῶν μοι, ἑαυτὸν αἰτιάσθω ὡς φονέα· ἀθῷος γάρ εἰμι ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων τῶν ἀκουόντων τῶν λόγων καὶ μὴ πιστευόντων.*

Διδύμου. *Ὁ ἐν τῷ διδάσκειν τοὺς ὠφελεῖσθαι δυναμένους μὴ βλάπτων τινὰ αὐτῶν, καὶ ἐν τούτῳ μιμητὴς Παύλου γενόμενος,*

ἐρεῖ καθαρὸς εἶναι ἀπὸ τοῦ αἵματος πάντων τῶν ἀκροατῶν, σφάττοντος δηλονότι τὸν μανθάνοντα δι' ἀπάτης τοῦ διδάσκοντος· ὡς ἐκχεῖσθαι αὐτοῦ τὴν ζωτικὴν δύναμιν τῆς ψυχῆς, αἷμα ἀλληγορικώτερον ὠνομασμένην. πρὸς τῇ προκειμένῃ φωνῇ παρρησιάζεται, ὡς διεστείλατο αὐτοῖς πᾶσαν τὴν τοῦ Θεοῦ βουλὴν, ἀπαγγείλας αὐτὴν αὐτοῖς· εἶτα ἐπεὶ καθάπαξ λεγομένη, πᾶσα ἡ τοῦ Θεοῦ βουλὴ ἀκατάληπτος τοῖς γενητοῖς ἐστι· "τίς γὰρ ἔγνω νοῦν Κυρίου;" ἐπιστατέον ποίαν ἔχει διάνοιαν τὸ προκείμενον· μή ποτ' οὖν ἐπεὶ πρόσκειται τὸ ἀπήγγειλα ὑμῖν, σημαίνεται, ὡς "πᾶσαν" ἐκείνην "τὴν βουλὴν" λέγει, ἣν δυνατὸν εἰπεῖν καὶ ἀκοῦσαι ἀνθρώποις· συμφωνήσει γὰρ ταύτῃ τῇ νοήσει καὶ τὸ "ἐκ μέρους γινώσκομεν" καὶ γὰρ αὕτη ἡ γνῶσις, ὡς πρὸς τὴν ἐν τῷ μέλλοντι αἰῶνι, μερική ἐστιν αὐτὴ καθ' ἑαυτὴν, ὡς τοιαύτη οὖσα καὶ πληρεστάτη οὖσα· δυνατὸν δὲ "πᾶσαν βουλὴν Θεοῦ" λέγεσθαι, τὴν περὶ τῆς δόσεως τοῦ νόμου καὶ προφητῶν καὶ τοῦ Εὐαγγελίου· οἴονται γὰρ πᾶσαν αὐτὴν ἀπαγγέλλεσθαι διδασκαλικῶς.

27 Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ ὑμῖν.

Ἄρα ὁ μὴ λέγων ὑπεύθυνός ἐστι τοῦ αἵματος, τουτέστι τῆς σφαγῆς· οὐδὲν τούτου φοβερώτερον. δείκνυσιν ὅτι κἀκεῖνοι ἂν μὴ ποιῶσιν, ὑπεύθυνοί εἰσι τοῦ αἵματος· καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, ἐκείνους δὲ φοβεῖ.

Ἀμμωνίου. Σημειωτέον, ὅτι οὐδὲν ὠφελεῖ ὁ διδάσκαλος ἀποκρύπτων τοὺς πιστοὺς τῶν ὅσα πρὸς θεοσέβειαν ἄγει.

28 Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους,

Τοῦ αὐτοῦ. Ὁρᾷς δύο προσέταξεν· οὔτε γὰρ τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει κέρδος· "φοβοῦμαι γάρ," φησι, "μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι·" οὔτε τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι ἔχει· ὁ γὰρ τοιοῦτος φίλαυτος, καὶ τὸ ἑαυτοῦ ζητεῖ· καὶ τοῦ τὸ τάλαντον καταχώσαντος ἴσος ἐστίν· οὐκ ἐπειδὴ προτιμοτέρα ἡ ἡμετέρα σωτηρία τοῦ ποιμνίου, ἀλλ' ἐπειδὴ ὅταν ἑαυτοῖς προσέχωμεν, τότε καὶ τὸ ποίμνιον κερδαίνομεν. "ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο

ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου· ἰδοὺ καὶ ἄλλη ἀνάγκη τοῦ Κυρίου ἐστὶν ἡ Ἐκκλησία.

Ὁρᾷς παρὰ τοῦ Πνεύματος τὴν χειροτονίαν ἔχετε ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Κυρίου.

Ἀμμωνίου. "Ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκό- "πους·" σημειωτέον ὅτι οὓς ὀπίσω ἐκάλεσε πρεσβυτέρους, ὧδε ἐπισκόπους καλεῖ· ἤτοι καὶ διὰ τὸ τοὺς πρεσβυτέρους ἀνάγκην ἔχειν ἐποπτεύειν τὰ τῆς Ἐκκλησίας λογικὰ ποίμνια· μήτις ἀσθενεῖ τῇ πίστει, μήτις πεινᾷ ἢ διψᾷ, ἢ ἐλέγχου καὶ ἐπιστροφῆς δεῖται, κατὰ τὸ ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· ἢ καὶ ἐπισκόπους ὧδε τοὺς Ἐπισκόπους λέγει.

Διδύμου. "Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ," καὶ τὰ ἑξῆς· ἐπεὶ μὴ ἐκ φύσεως, ἀλλ' ἐξ οἰκείας τῆς ἐκ τοῦ ἐφ' ἡμῖν ἀρετῆς χειροτονεῖταί τις εἰς ἐπισκοπὴν ὑπὸ τοῦ Ἁγίου Πνεύματος, ἐκπεσεῖν δυνατὸν τοιαύτην τάξιν ἔχοντα τινὰ, εἰ μὴ προσέχοι. εἰ γὰρ διὰ κατασκευὴν οὐσίας ὡρίζετό τις ποιμὴν εἶναι τῆς Ἐκκλησίας, ἀμεταπτώτως εἶχεν, ἣν ἔσχεν ἀρχήν· λέγειν δὲ μὴ μόνον προσέχειν δεῖν ἑαυτοῖς τοὺς ἐπισκόπους, ἀλλὰ καὶ τῷ ποιμνίῳ ὃ περιεποιήσατο[o] ὁ Σωτὴρ τῷ ἰδίῳ αἵματι· καὶ ὥσπερ ὁ ἑαυτῷ προσέχων, καὶ τὴν προσοῦσαν ἀρετὴν καὶ εὐσέβειαν τηρῶν, οὐκ ἐκπεσεῖται, ὡς ὁρμῆσαι ἐπὶ τὸ λέγειν διεστραμμένα κατὰ ψευδοδοξίαν ἤτοι ἐριθείαν, πρὸς τὸ ἀποσπᾶν τοὺς Χριστοῦ μαθητὰς ἐπὶ τῷ ἑαυτὸν μιμεῖσθαι καὶ ἕπεσθαι αὐτῷ, οὕτω καὶ τῷ ποιμνίῳ δεῖ προσέχειν, ἀποστρέφοντα ἀπ' αὐτῶν τοὺς ψευδαποστόλους λύκους, βαρεῖς ὄντας, ζῶντας ἐπὶ λύμῃ τῶν προβάτων· ἀποστρέφει δέ τις τούτους, δυνατὸς ὢν τοὺς λέοντας ἐπιστομίζειν, τῷ διαλύειν τὰς ἀπατηλὰς αὐτῶν διδασκαλίας· εἰς τοῦτο ληπτέον τὰ περὶ αὐτῶν εἰρημένα, "ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες·" ἀποστρέφει δὲ τοὺς οὕτω λύκους, καλὸς ὢν ποιμὴν, ὁ τεθειμένος ὑπὸ τοῦ Πνεύματος ἐπισκοπεῖν τὴν Ἐκκλησίαν· τοῦ μισθωτοῦ, καὶ οὐ ποιμένος ὄντος, φεύγοντος, ἐρχομένου τοῦ λύκου ἐπὶ τῷ σκορπίσαι καὶ ἀπολέσαι τὰ πρόβατα· μισθωτὸς δὲ καὶ οὐ ποιμήν ἐστιν, ὅτι κέρδει καὶ μισθῷ προϊστάμενος τοῦ κοινοῦ, ἀλλ' οὐ διὰ τὸ συμφέρον. ἐπιστα-

[o] περὶ ἐποιήσατο Cod.

τέον δὲ ὡς τὸ Ἅγιον Πνεῦμα ποιμένας καὶ ἐπισκόπους τίθησι τῇ Ἐκκλησίᾳ, ὡς καὶ ὁ Θεὸς τίθησιν ἐν τῇ Ἐκκλησίᾳ “πρῶτον Ἀποστόλους,” καὶ τὰ ἑξῆς.

Ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου,

Ἐξ ἀνεπιγράφου. Πολλοὶ τῶν ἀνοήτων, μᾶλλον δὲ τῶν σφόδρα πρὸς τὴν ἀλήθειαν ἀπεχθῶς διακειμένων, διαβάλλουσι τοὺς λέγοντας, σῶμα καὶ αἷμα Θεοῦ τὸ σωτήριον· οἷς ἀναγκαῖον αὐτὰ παραθεῖναι τοῦ Κυρίου τὰ ῥήματα· τίνα δέ ἐστιν, ἄκουε αὐτοῦ λέγοντος, “ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.” “οἱ πατέρες ὑμῶν,” πρὸς Ἰουδαίους λέγων, “ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον· οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ· ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· ὁ δὲ ἄρτος ὃν ἐγὼ δώσω αὐτῷ, ἡ σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.” Καὶ πάλιν μεθ' ἕτερα—“Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον· κἀγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις· καὶ τὸ αἷμα μου ἀληθής ἐστι πόσις· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ.” Καὶ πάλιν—“Ὁ τρώγων τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα.” ὁρᾶς πανταχοῦ αὐτὸν ἐσθίεσθαι λέγει, καὶ οὐχ ἕτερα ἐν ἑτέρῳ· τούτοις οὖν τοῖς δεσποτικοῖς ῥήμασι πειθόμενος ὁ μαθητὴς, τὴν Ἐκκλησίαν αὐτοῦ λέγει λελυτρῶσθαι τῷ ἰδίῳ αἵματι· “ἣν” γάρ φησι “περιεποιήσατο ὁ Θεὸς διὰ τοῦ αἵματος τοῦ ἰδίου·” θάρρει, οὖν ὦ ἄνθρωπε, τούτοις πειθόμενος τοῖς λόγοις· καὶ μηδὲν ἐνδοιάσεις ἀκούειν ὥσπερ Ἰουδαῖοι, αἷμα καὶ σῶμα Θεοῦ τὸ σωτήριον, δι' οὗ λυτρωθεὶς υἱὸς Θεοῦ γέγονας, καὶ κληρονόμος, ἐὰν θέλῃς, τῆς αἰωνίου ζωῆς.

Ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου.

Τοῦ Χρυσοστόμου. Δείκνυσι τίμιον τὸ πρᾶγμα, ὅτι οὐχ ὑπὲρ μικρῶν ὁ κίνδυνος· εἴγε οὐδὲ τοῦ ἰδίου αἵματος ἐφείσατο· ἐκεῖνος μὲν ἵνα ἐχθροὺς καταλλάξῃ, καὶ τὸ αἷμα ἐξέχεε· σὺ δὲ οὐδὲ φίλους γινομένους ἰσχύεις κατασχεῖν.

29 Ἐγὼ οἶδα ὅτι μετὰ τὴν ἄφιξίν μου, εἰσελεύσονται
30 λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου· καὶ
ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

Τοῦ αὐτοῦ. Πάλιν ἄλλοθεν αὐτοὺς ἐπιστρέφει ἀπὸ τῶν ἐσομένων· ὥσπερ ὅταν λέγῃ· "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα "καὶ σάρκα·" "ὅτι εἰσελεύσονταί," φησι, "μετὰ τὴν ἄφιξίν "μου λύκοι βαρεῖς·" διπλοῦν τὸ κακὸν, ὅτι τε αὐτὸς οὐ πάρεστιν, ὅτι τε ἕτεροι ἐπιθήσονται· τί οὖν ἀπέρχῃ εἰ[p] τοῦτο προοῖδας; τὸ Πνεῦμά με ἕλκει· καὶ "λύκοι βαρεῖς οὐ φειδόμενοι τοῦ ποιμνίου" καὶ τὸ χαλεπώτερον, ἐξ ὑμῶν αὐτῶν τὸ βαρύ· ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ, περισπούδαστον σφόδρα τὸ πρᾶγμα· Ἐκκλησία γάρ ἐστι· μέγας ὁ κίνδυνος· αἵματι γὰρ αὐτὴν ἐλυτρώσατο· πολὺς ὁ πόλεμος καὶ διπλοῦς.

Κυρίλλου Ἀλεξανδρείας. Ἵνα μὴ ξενιζώμεθα τῶν αἱρετικῶν τὰ ἐκβράσματα, Πνεύματι Ἁγίῳ ἀσφαλιζόμενος ἡμᾶς ταῦτά φησι.

Ἀμμωνίου. Τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν· ὁ γὰρ τῶν αἱρετικῶν σκοπὸς σπουδάζει περιποιῆσαι ἑαυτοῖς λαὸν, οὐ τῷ Κυρίῳ· ἵνα ἑαυτοῖς καυχῶνται, ἐμφερομένου αὐτοῖς τοῦ ὀνόματος τῶν αἱρετικῶν, ἵνα ἐξ αὐτοῦ χρηματίζωσιν· οἷον ἐκ Μάνη, Μανιχαῖοι· ἐξ Ἀρείου, Ἀρειανοί· ἐκ Νεστορίου, Νεστοριανοί· καὶ ἄλλα αἱρέσεων εἴδη· τοῦτο προαναστέλλων αὐτὸς ὁ Παῦλος ἐπιστομίζει, καὶ μέμφεται τοὺς λέγοντας· "ἐγὼ μὲν εἰμὶ "Παύλου· ἐγὼ δὲ Ἀπολλῶ· ἐγὼ δὲ Κηφᾶ·" μὴ θέλων ἐξ ὀνομασίας ἀνθρώπου δηλοῦσθαι αὐτῶν τὸ σύστημα, ἀλλ' ἐκ τοῦ Χριστοῦ, Χριστιανοὺς πάντας ὀνομάζεσθαι θέλων· κἂν παρὰ διαφόρων διδασκάλων κατηχήθησαν. ὅταν οὖν οἱ πάντες ἕνα σκοπὸν ἔχωσιν οἱ διδάσκαλοι, τὸ τὴν ἀληθῆ καταγγεῖλαι πίστιν, σβεννυ-

[p] εἰς Cod.

μένου τοῦ ἐξ ἰδικοῦ διδασκάλου χρηματίζειν τοὺς μαθητὰς, τῷ κοινῷ ὀνόματι καλοῦνται Χριστιανοί· εἰ δέ τι παρατρώσουσι τῶν τῆς Ἐκκλησίας δογμάτων οἱ καθηγηταὶ, σβεννυμένης τῆς καθολικῆς προσηγορίας, ἐπὶ τὸ ἰδικὸν τοῦ διδάξαντος ἀνάγονται ὄνομα.

31 *Διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον.*

Δεῖ τὸν διδάσκαλον συμπαθῆ εἶναι, καὶ ἀνενδότως διδάσκοντα νυκτὸς καὶ ἡμέρας.

Τοῦ Χρυσοστόμου. *Ὅρα πᾶσαι ὑπερβολαί· μετὰ δακρύων καὶ νυκτὰ καὶ ἡμέραν· καὶ ἕνα ἕκαστον· οὐ γὰρ εἰ πολλοὺς εἶδε τότε ἐφίστατο, ἀλλ᾽ ᾔδει καὶ ὑπὲρ μιᾶς ψυχῆς πάντα ποιεῖν· οὕτως γοῦν αὐτοὺς συνεκρότησεν· ἀρκεῖ τὰ παρ᾽ ἐμοῦ· τριετίαν ἔμεινα· ἱκανῶς ἐστερεώθησαν, φησὶν, ἱκανῶς ἐριζώθησαν.*

32 *Καὶ τανῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοὶ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ οἰκοδομῆσαι καὶ δοῦναι ὑμῖν τὴν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.*

Τοῦ Χρυσοστόμου. *Ὅπερ ἐπιστέλλων ποιεῖ, τοῦτο καὶ συμβουλεύων· ἀπὸ παραινέσεως εἰς εὐχὴν τελευτᾷ· ἐπειδὴ γὰρ αὐτοὺς σφοδρα ἐφόβησε λέγων· "ὅτι λύκοι βαρεῖς εἰς ὑμᾶς ἐλεύσονται," ἵνα μὴ καταπλήξῃ τῇ διανοίᾳ καὶ ἀπολέσῃ, ὅρα τὴν παραμυθίαν· "καὶ τὰ νῦν," φησι, "παρατίθεμαι ὑμᾶς τῷ Θεῷ, ἀδελφοὶ, καὶ "τῷ λόγῳ τῆς χάριτος αὐτοῦ·" τουτέστι τῇ χάριτι αὐτοῦ· ἡ χάρις σώζει· συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς χάριτος, σπουδαιοτέρους ποιῶν ὡς ὀφειλέτας, καὶ πειθῶν θαρρεῖν.*

Ἀμμωνίου. *Δείκνυσιν ἀφανῶς καὶ λεληθότως, ὅτι ὁ Πατὴρ καὶ Θεὸς, καὶ ὁ τούτου Υἱὸς Ἰησοῦς, ὁ Θεὸς Λόγος ἔνεισιν· οὐ γὰρ εἶπε τοῖς δυναμένοις πληθυντικῶς, ἀλλ᾽ ἑνικῷ ὀνόματι τὴν μοναδικὴν οὐσίαν ἀμφοτέρων ἐσήμανεν εἰπὼν "τῷ δυναμένῳ·" ὥστε οὖν καὶ τὴν μίαν οἴδαμεν Πατρὸς καὶ Υἱοῦ οὐσίαν, καὶ ὅτι δύο εἰσὶ καὶ ὑφίστανται, οὐκ ὀνόμασι ψιλοῖς δηλούμενοι, ἀλλ᾽ ἀληθείᾳ ὑφιστάμενοι, ἐκ τῶν νῦν τῷ Παύλῳ λεγομένων εἰς καταρτισμὸν τῶν τῆς Ἀσίας ἐκκλησίων.*

33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδένος ἐπεθύμησα·

Τοῦ Χρυσοστόμου. Τὴν ῥίζαν ἀναιρεῖ τῶν κακῶν, τὴν φιλαργυρίαν· "ἀργυρίου," φησιν, "ἢ χρυσίου·" οὐκ εἶπεν, οὐκ ἔλαβον, ἀλλ' οὐδὲ ἐπεθύμησα· οὐδὲ μέγα τοῦτο· τὸ δὲ ἑπόμενον μέγα· "ὑμεῖς ἐπίστασθε· ὅτι ταῖς χρείαις μου," καὶ τὰ ἑξῆς.

Ἐξ ἀνεπιγράφου. Νόμον τίθησι τοῖς διδασκάλοις, πῶς ὀφείλουσιν οἰκονομεῖν τὰ καθ' ἑαυτούς· μεγίστης γὰρ ὡς ἀληθῶς παρρησίας τοῖς κηρύττουσι τὸ Εὐαγγέλιον, τὸ μηδενὸς τῶν ἐπιγείων ἡττᾶσθαι.

Ἀμμωνίου. Σημειωτέον ὅτι δεῖ ἀποστρέφεσθαι τὴν φιλαργυρίαν, καὶ μηδενὸς τὸ σύνολον τῶν ἐπὶ γῆς ἐπιθυμεῖν.

Διδύμου. Μεγίστη παρρησία παιδεύοντος κατὰ τὸ Εὐαγγέλιον, τὸ μηδὲν τῶν συμπληρούντων πλοῦτον ἡττᾶσθαι· λέγονται δὲ αἱ προκείμεναι λέξεις οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς τεθεῖσιν ἐπισκοπεῖν τὴν Ἐκκλησίαν. καὶ μέγιστός γε ἔπαινος τὸ μὴ ἐπιθυμεῖν ἀλλοτρίου πλούτου· πόρρω γὰρ πάσης ἀδικίας ἡ τοιαύτη πρόθεσις.

34 Αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται.

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτὸν τῷ ἔργῳ κεχρημένον οὐχ ἁπλῶς ἀλλὰ κοπιῶντα· ὅρα πῶς ἐργάζετο μετὰ σπουδῆς ἄνθρωπος, νύκτα καὶ ἡμέραν διαλεγόμενος.

Τοῦ αὐτοῦ. Καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς Ἐπιστολῇ φησὶν, "ἐργάζεσθαι ἐν ταῖς χερσὶν ὑμῶν" ποῦ εἰσὶν οἱ ἔργον ζητοῦντες τὸ πνευματικόν; ὁρᾷς πῶς αὐτοῖς πᾶσαν πρόφασιν ἀνεῖλεν εἰπὼν, "ταῖς χερσὶν ὑμῶν·" ἆρα νηστείαν τις ἐργάζεται ταῖς χερσί; ἆρα παννυχίδας; ἀλλὰ χαμευνίαν οὐδεὶς τοῦτο ἂν εἴποι· ἀλλὰ περὶ ἔργου[q] φησὶ τοῦ πνευματικοῦ· πνευματικὸν γὰρ οὕτως ἐστὶ, τὸ τὸν ἐργαζόμενον ἑτέροις παρέχειν· καὶ οὐδὲν ἴσον τούτου.

Ἀμμωνίου. Σημειωτέον ὅτι ἡ ἀληθὴς ἐλεημοσύνη τὸ ἐκ τῶν ἰδίων κόπων διδόναι τοῖς ἐνδεέσι.

Διδύμου. Τοῖς προισταμένοις τῆς Ἐκκλησίας λέγεται ταῦτα, ἵνα πρὸς τοῖς ἄλλοις μιμηταὶ τοῦ λέγοντος κρίναντες εἶναι, λή-

[q] περιέργου Cod.

ψεως χρημάτων ἀπέχονται· ἐμφαίνει γὰρ τοῦτο τὸ ἐπιφερόμενον ἑξῆς· τὸ "πάντα ὑπέδειξα ὑμῖν, ὅτι δεῖ κοπιῶντας ἀντιλαμβά- "νεσθαι τῶν ἀσθενούντων," ἐπικουροῦντας αὐτοῖς· ὑπάρξεται δὲ τοῦτο, εἰ διὰ μνήμης οἱ λόγοι τοῦ Κυρίου μένοιεν εἰρηκότος, "μακάριον εἶναι μᾶλλον τοῦ λαμβάνειν τὸ διδόναι." ὅθεν προκρι-νέσθω τοῖς ἐπισκόποις τὸ διδόναι.

35 Καὶ πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.

Τοῦ Χρυσοστόμου. Οὐκ ἔχετε εἰς ἄγνοιαν καταφυγεῖν· "ὑπέ- "δειξα" διὰ τῶν ἔργων, "ὅτι οὕτως κοπιῶντας δεῖ" ἐργάζεσθαι· καὶ οὐκ εἶπεν ὅτι κακὸν τὸ λαβεῖν, ἀλλὰ βέλτιον τὸ μὴ λαβεῖν. Καὶ μετ' ὀλίγα—Τοῦτο συμπαθείας τῆς πρὸς τοὺς ἀσθενεῖς· ἐπεὶ ἐκ τῶν ἀλλοτρίων διδόναι οὐ καλόν.

Μνημονεύετε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε, μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν.

Τοῦ αὐτοῦ. Καὶ ποῦ εἶπεν; ἴσως ἀγράφως παρέδωκαν οἱ Ἀπόστολοι· ἢ ἐξ ὧν ἄν τις συλλογίσαιτο δῆλον· καὶ γὰρ ἔδειξε τὴν παρρησίαν τὴν πρὸς τοὺς κινδύνους, τὴν συμπάθειαν τὴν πρὸς τοὺς ἀρχομένους, τὴν διδασκαλίαν τὴν μετὰ παρρησίας, τὴν ταπεινοφροσύνην, τὴν ἀκτημοσύνην· τοῦτο δὲ τῆς ἀκτημοσύνης μεῖζον· εἰ γὰρ ἐκεῖ "πώλησόν σου," φησι, "τὰ ὑπάρχοντα, εἰ θέλεις "τέλειος εἶναι," ὅταν πρὸς τῷ μηδὲν λαμβάνειν, καὶ ἑτέρους τρέφῃ· τί τούτου ἴσον; εἷς βαθμὸς, ῥίψαι τὰ αὐτοῦ· δεύτερος, ἑαυτῷ ἐπαρκεῖν· τρίτος, καὶ ἑτέροις· τέταρτος, τὸ καὶ κηρύττοντα ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν· ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος βελτίων ἦν.

36 Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσι[r] προσηύξατο.

Τοῦ αὐτοῦ. Οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς κατανύξεως πολλὴ ἡ παράκλησις τὸ εἰπεῖν "παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ."

Ἀμμωνίου. Σημειωτέον ὅτι δεῖ τὸν συνταττόμενον εὐχὴν καὶ γονυκλισίαν ποιεῖσθαι σὺν πᾶσι τοῖς παροῦσι, καὶ οὕτως ἀποχωρεῖν.

[r] συμπᾶσι Cod.

37 Ἱκανὸς δὲ κλαυθμὸς ἐγένετο πάντων· καὶ ἐπιπεσόν-
τες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτόν.

Τοῦ Χρυσοστόμου. Τὴν διάθεσιν δείκνυσιν ἐκ τοῦ εἰπεῖν "ἐπὶ "τὸν τράχηλον," ἅτε ὑστέρας περιπλοκὰς περιπλεκόμενοι, καὶ πολλὴν ἀπὸ τῆς δημηγορίας λαβόντες τὴν ἀγάπην καὶ τὸ φίλτρον.

38 Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι
οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμ-
1 πον δὲ αὐτὸν εἰς τὸ πλοῖον· ὡς δὲ ἐγένετο ἀναχθῆναι
ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν,

Τοῦ Χρυσοστόμου. Δείκνυσι τὴν βίαν τῷ εἰπεῖν "ἀποσπα- "σθέντες ἀπ' αὐτῶν·" καὶ εἰκότως· εἰς γὰρ τὴν θάλασσαν αὐτοὺς λοιπὸν ἐμβῆναι οὐκ ἐνῆν.

Εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ· τῇ δὲ ἑξῆς εἰς
2 τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα. καὶ εὑρόντες πλοῖον
3 διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν. ἀναφανέν-
τες δὲ τὴν Κύπρον, καὶ καταλίποντες αὐτὴν εὐώνυμον,
ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε
γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον.

Τοῦ αὐτοῦ. Τί ἐστιν "εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ;" ἀντὶ τοῦ προήλθομεν· οὐδὲν ἐνδιετρίψαμεν ἐν ἑτέροις τόποις· εἶτα εἰς Ῥόδον· ὅρα αὐτὸν ἐπειγόμενον· "καὶ εὑρόντες πλοῖον διαπε- "ρῶν εἰς Φοινίκην·" ἴσως ἐκεῖνο αὐτόθι διέτριβε, διὸ μετετίθουν ἀλλαχοῦ· καὶ οὐχ εὑρίσκοντες εἰς Καισαρείαν ἀπερχόμενον ἀλλ' εἰς Φοινίκην, ἀνῆλθον· καὶ Κύπρον δὲ εἴασαν καὶ Συρίαν· τὸ γὰρ "καταλιπόντες αὐτὴν εὐώνυμον" οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὅτι οὐδὲ ἐγγὺς γενέσθαι τῆς Συρίας ἔσπευδον· ἦλθεν οὖν εἰς Λυκίαν· καὶ τὴν Κύπρον ἀφεὶς, εἰς Τύρον κατέπλευσεν· ἐκεῖσε γὰρ τὸ πλοῖον ἀπεφόρτιζε τὸν γόμον.

4 Ἀνευρόντες δὲ τοὺς μαθητὰς, ἐπεμείναμεν αὐτοῦ ἡμέ-
ρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος,
μὴ ἐπιβαίνειν εἰς Ἱεροσόλυμα.

Τοῦ αὐτοῦ. Εἰ τοίνυν τὸ Πνεῦμα ἐκέλευε, διατί ἀντεῖπε;

τουτέστι διὰ τοῦ Πνεύματος εἰδότες· οὐ γὰρ δὴ τὴν παραίνεσιν διὰ τοῦ Πνεύματος ἐποιοῦντο· οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προὔλεγον, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρὴ, φειδόμενοι αὐτοῦ.

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόν-
τες ἐπορευόμεθα· προπεμπόντων δὲ ἡμᾶς πάντων σὺν
γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ
6 γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσευξάμενοι ἠσπασάμεθα
ἀλλήλους, καὶ ἀνέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι τὲ ὑπέ-
στρεψαν εἰς τὰ ἴδια.

Τοῦ αὐτοῦ. *Πάλιν ἐκεῖ προσευχόμενοι διαλύονται ἀπ' ἀλλήλων· "ἐξαρτίσαι," τουτέστι πληρῶσαι τὰς τεταγμένας· "προπεμ-"πόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις·" ὅρα πόση ἡ παράκλησις ἦν.*

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες, ἀπὸ Τύρου κατην-
τήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελ-
8 φοὺς ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. τῇ δὲ ἐπαύριον
ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς
τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν
9 ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. τούτῳ δὲ ἦσαν παρθένοι
θυγατέρες τέσσαρες προφητεύουσαι.

Τοῦ Χρυσοστόμου. *Θέα μοι πάσας τὰς ἡμέρας· μετὰ τὰ ἄζυμα εἰς Τρωάδα ἦλθον δι' ἡμερῶν πέντε· εἶτα ἐκεῖ ἐποίησαν ἑπτὰ ἡμέρας· τὰς πάσας δώδεκα· εἶτα εἰς Ἄσσον, Μιτυλήνην, Τρώγιλιον· εἶτα εἰς Κῶ, Ῥόδον, Πάταρα· εἰκοσὶ μίαν· εἶτα βουληθῆναι πέντε εἰς Τύρον, κϛ'· ἐκεὶ ἑπτὰ, λγ'· Πτολεμαεῖς, τριάκοντα τέσσαρες· εἶτα εἰς Καισάρειαν, πλείους ἡμέρας· τότε λοιπὸν αὐτοὺς ἐκεῖθεν ἀνάγει ὁ προφήτης· οὕτως ἡ πεντηκοστὴ πληροῦται· καὶ ἐκεῖ αὐτὴν ποιεῖ· εἰς Καισάρειαν δὲ εἰσελθόντες παρὰ Φιλίππῳ, φησιν, ἐμείναμεν· "τούτῳ δὲ ἦσαν θυγατέρες τέσσαρες "παρθένοι προφητεύουσαι·" ἀλλ' οὐκ αὐταὶ προλέγουσι τῷ Παύλῳ, καίτοι προφητεύουσαι, ἀλλ' Ἄγαβος.*

Ἀμμωνίου. *Ὅτι τοῦ διακόνου Φιλίππου ἦσαν αἱ θυγατέρες·*

ὥστε εὖν ἐξῆν τῷ κοινωνήσαντι γάμῳ[s] διακονεῖν· σημειῶσαι δὲ ὅτι αἱ προφητίδες αἱ θυγατέρες αὐτοῦ παρθένοι ἦσαν, καὶ ὅτι ἤσκουν μᾶλλον δι' εὐλάβειαν τοῦτο, ὥστε καὶ προφητείας ἠξιῶσθαι· εἰ μὴ δὲ ἦν περισπούδαστον, οὐκ ἂν προσέθηκεν ὁ συγγραφεὺς, ὅτι καὶ πάρθενοι ἦσαν.

ΚΕΦ. Λ.

Ἀγάβου προφητεία περὶ τῶν συμβησομένων τῷ Παύλῳ ἐν Ἱερουσαλήμ.

10 Ἐπιμένοντες δὲ ἡμέρας πλείους, κατῆλθέ τις ἀπὸ τῆς
11 Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος· καὶ ἐλθὼν πρὸς
ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας ἑαυτοῦ
τοὺς πόδας καὶ τὰς χεῖρας, εἶπε· τάδε λέγει τὸ Πνεῦμα
τὸ Ἅγιον, τὸν ἄνδρα, οὗ ἐστὶν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν αὐτὸν ἐν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖρας ἐθνῶν.

Τοῦ Χρυσοστόμου. *Ἄγαβος, ὁ πάλαι τὸν λίμον μηνύσας οὗτος, "τὸν ἄνδρα τοῦτον οὗ ἐστιν ἡ ζώνη αὕτη οὕτω δήσουσιν ἐν "Ἱερουσαλὴμ," ὅπερ οἱ προφῆται ἐποίουν, καὶ ὄψει τὲ γινόμενα ὑπογράφοντες, ὅταν περὶ αἰχμαλωσίας ἔλεγον, ὡς ὁ Ἰεζηκιὴλ τοῦτο καὶ οὗτος ἐποίησε· καὶ τὸ δὴ χαλεπὸν, ὅτι εἰς χεῖρας ἐθνῶν παραδώσουσιν· ὅρα δὲ αὐτὸν, ὅτε τὸ Πνεῦμα οὐκ ἐκώλυεν, οὐ πειθόμενον. ἐν Πτολεμαΐδι μίαν μένουσιν ἡμέραν· ἐν δὲ Καισαρείᾳ πλείους· ὅτε ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται· οὐκ εἶπε δὲ Ἄγαβος ὅτι Παῦλον δήσουσιν, ἵνα μὴ δόξῃ ἐκ συνθήκης λέγειν, ἀλλὰ "τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη." Ὅρα· καὶ ζώνην εἶχεν.*

12 Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τὲ καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.

Τοῦ Χρυσοστόμου. *Πολλοὶ, φησὶ, παρεκάλουν μὴ ἀνελθεῖν, καὶ οὐδὲ οὕτω ὑπήκουσεν, ὁρᾷς· ἵνα γὰρ μὴ ἀκούσας νομίσῃς ἀνάγκης εἶναι τὸ "δεδεμένος τῷ Πνεύματι πορεύομαι" μηδὲ ἀγνοοῦντα αὐτὸν ἐμπεσεῖν, διὰ τοῦτο ταῦτα προλέγεται.*

[s] Sic Cod.

13 Τότε ἀπεκρίθη ὁ Παῦλος, τί ποιεῖτε κλαίοντες καὶ
συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον
δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως
14 ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ. μὴ πειθο-
μένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες, τοῦ Κυρίου τὸ
θέλημα γινέσθω.

Τοῦ αὐτοῦ. Ἄλλοι ἔκλαιον, αὐτὸς δὲ παρεκάλει, ἀλγῶν ἐπὶ τοῖς δάκρυσι τοῖς ἐκείνων· "Τί ποιεῖτε γὰρ," φησι, "κλαίοντες "καὶ συνθρύπτοντές μου τὴν καρδίαν;" οὐδὲν αὐτοῦ φιλοστοργότερον· ὅτι ἑώρα δακρύοντες ἤλγει, ὁ μὴ πάσχων ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς· "τὸ θέλημα," φησὶ, "τοῦ Κυρίου γενέσθω·" ἐμὲ ἀδικεῖτε τοῦτο ποιοῦντες, μὴ γὰρ ἀλγῶ ἐγώ· τότε ἐπαύσαντο, ὅτε εἶπε, "συντρίβοντές μου τὴν καρδίαν·" ἐφ' ὑμῖν κλαίω, φησὶν, οὐκ ἐπὶ τοῖς παθήμασιν· ὑπὲρ γὰρ ἐκείνων καὶ ἀποθανεῖν βούλομαι· εἶπαν, μὴ δῷς ἑαυτὸν εἰς τὸ θέατρον, καὶ οὐκ ἔδωκε· πολλάκις αὐτὸν ἐξήγαγον καὶ ἐπείσθη· διὰ θυρίδος πάλιν ἔφυγε, καὶ νῦν ὡς εἰπεῖν μυρίων παρακαλούντων, καὶ τῶν ἐν Τύρῳ, καὶ τῶν ἐν Καισαρείᾳ κλαιόντων, καὶ μυρία προλεγόντων δεινὰ, οὐκ ἀνέχεται· καὶ μὴν αὐτὰ τὰ δεινὰ προέλεγον· ἀλλὰ διὰ τοῦ Πνεύματος προέλεγον· οὐ τὴν παραίνεσιν διὰ τοῦ Πνεύματος ἐποιοῦντο· οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προὔλεγον· ἀλλ' ὅτι ἀναβῆναι οὐ χρὴ, φειδόμενοι αὐτοῦ· ἐπειδὴ οὐκ ἴσχυσαν πεῖσαι, διὰ τοῦτο ἔκλαιον· εἶτα ἡσύχασαν· ὁρᾷς φιλοσοφίαν· ὁρᾷς φιλοστοργίαν· Κυρίος, φησὶ, τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει· συνεῖδον ὅτι θέλημα ἦν Θεοῦ· οὐ γὰρ ἂν Παῦλος οὕτω προεθυμήθη, ὁ ἀεὶ κινδύνων προεξαρπάζων ἑαυτόν.

Τοῦ αὐτοῦ. Τί λέγεις, εἰπέ μοι, ἐκείνην τὴν ἀδαμαντίνην ψυχήν; συντρίψαι δάκρυον ἴσχυσε; ναί, φησι, πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης· αὕτη γάρ μου περιγίνεται καὶ κρατεῖ· τοῦτο τῷ Θεῷ δοκεῖ· ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψεν.

Ἀμμωνίου. Σημειωτέον ὅτι δεῖ ἀποτρέπεσθαι τοὺς κωλύοντας τινὰ ποιεῖν τί γενναῖον, κἂν δακρύωσι· καὶ ὅτι τὸ τοιοῦτον δάκρυον

καὶ αὐτὸν τὸν Παῦλον συνέκλα, καὶ τὸ ἐρρωμένον[t] αὐτοῦ διέλυε· διὸ ἀποσείεται αὐτούς· τί οὖν δεῖ εἰπεῖν περὶ τῶν λοιπῶν τοῦ Παύλου τοῦτο εἰπόντος; ἁρμόζει κατὰ μητέρων ἤτοι γονέων κωλυόντων τοὺς ἑαυτῶν παῖδας μονάζειν.

ΔΙΔΥΜΟΥ. *Ῥητέον καὶ εἰς ταύτην τὴν διαστολὴν τοιαῦτα· τί με κωλύετε κλαίοντες ἢ προστίθεμαι ὀδοῦ, ἀκούσαντες ὡς δεσμὰ καὶ θλίψεις με μένουσι γενόμενον εἰς Ἱερουσαλήμ; ἰστέον οὖν ὅτι τῷ Πνεύματι, τῷ φανεροῦντί μοι τὰ ἀπαντησόμενά μοι, ἕπομαι, καὶ τῆς ἐπὶ τὴν πόλιν πορείας ἄρχομαι· οὐκ ἀγνοῶν τὰ ἐκεῖ ἀπαντησόμενα, προεῖδον γὰρ αὐτὰ, καὶ οὐ κωλύομαι τῆς πορείας· διὸ μὴ συνθρύπτετέ μου τὴν καρδίαν ὑμετέροις δάκρυσιν· ὁ οὖν εἰς ἀνδρείαν γνησίως παρεσκευασμένος, ὡς καὶ θανάτου αὐτοῦ καταφρονεῖν, οὐ πίπτει εἰς δειλίαν, κἂν ᾖ ὁ εἰς τοῦτο ἐρεθίζων· ὅσον γὰρ ἐπ' ἐκείνοις, ταραχὴ ἐγγίνεται τῷ λογισμῷ. λέγων οὖν ὁ Ἀπόστολος συνθρύπτεσθαι ἑαυτοῦ τὴν καρδίαν, οὐκ ἀσθένειαν τοῦτο εἶπεν, ἀλλ' ὅσον ἧκεν εἰς ἐκείνους πικρῶς κλαίοντας· εἰ μὴ ἄρα εἴποι τις, ὅτι ὥσπερ τὰ μικρὰ τῶν ἁμαρτημάτων δοκεῖ μεγάλα εἶναι ἁγίῳ ἀνδρὶ προσόντα, οὕτω τὴν προσπάθειαν τῶνδε, ὡς μεγάλην σύνθρυψιν καρδίας τῆς ἑαυτοῦ εἶπεν.*

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι ἀνεβαίνομεν εἰς Ἱεροσόλυμα.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *“Ἐπισκευασάμενοι·” τουτέστι τὰ πρὸς τὴν ὁδοιπορίαν λαβόντες· ὅτε δὲ ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπαίρεται· οὐκ ἐπὶ τοὺς κινδύνους ῥίπτων ἑαυτὸν, ἀλλ' ἡγούμενος τοῦ Πνεύματος εἶναι τὸ πρόσταγμα.*

16 Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνι τινὶ Κυπρίῳ, ἀρχαίῳ μαθητῇ.

ΤΟΥ ΑΥΤΟΥ. *Δείκνυσι πολὺν τοῦ κηρύγματος τὸν χρόνον λοιπὸν, ὅθεν μοι δοκεῖ πολλὰ ἔτη ἐπιτέμνειν ἐν ταῖς πράξεσιν οὗτος· τὰ κατεπείγοντα λέγων· Κυρίος, φησὶ, τὸ ἀρεστὸν αὐτὸς ἐνώπιον αὐτοῦ ποιήσει· συνεῖδον γὰρ ὅτι θέλημα Θεοῦ ἦν· οὐ γὰρ ἂν*

[t] ἐρρωμενὲς Cod.

Παῦλος οὕτω προεθυμήθη, ὁ ἀεὶ κινδύνων ἐξαρπάσας ἑαυτόν. οὐκ ἐβούλοντο βαρῆσαι τὴν Ἐκκλησίαν, ὄντος ἑτέρου τοῦ ξενίζοντος αὐτούς· οὐδὲ ἀξίωμα ἀπῄτουν.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἀπε-
δέξαντο ἡμᾶς οἱ ἀδελφοί.

Τοῦ Χρυσοστόμου. *Τὸ λοιπὸν εἰρήνης ἦν μετὰ τὰ πράγματα ἐν Ἰουδαίοις· οὐχ οὕτως πόλεμος ἦν.*

18 Τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκω-
19 βον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπα-
σάμενος αὐτοὺς, ἐξηγεῖτο καθ' ἓν[t] ἕκαστον ὧν ἐποίησεν
ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

Τοῦ αὐτοῦ. *Οὗτος Ἐπίσκοπος ἦν τῶν Ἱεροσολύμων· καὶ πρὸ τούτου πρὸς τοῦτον πέμπεται· οὗτος ἦν ἀδελφὸς τοῦ Κυρίου· ἀνὴρ μέγας καὶ θαυμαστός· " εἰσῄει ὁ Παῦλος," φησὶ, " σὺν ἡμῖν." ὅρα τὸ ἄτυφον σχῆμα· καὶ οἱ πρεσβύτεροι· πάλιν αὐτοῖς τὰ τῶν ἐθνῶν διηγεῖται· οὐ κενοδοξῶν, μὴ γένοιτο· ἀλλὰ τοῦ Θεοῦ θέλων τὴν φιλανθρωπίαν ἐνδείξασθαι, καὶ πολλῆς αὐτοὺς ἐμπλῆσαι χαρᾶς.*

Ἀμμωνίου. *Διὰ τῆς διακονίας αὐτοῦ· ἀντὶ τοῦ τῆς κηρύξεως τοῦ εὐαγγελικοῦ λόγου.*

Τοῦ αὐτοῦ. *Οὐκ ἐκεῖνον ἐπῄνουν, οὐδὲ ἐθαύμαζον· οὕτω γὰρ διηγήσατο ὡς ἀνατιθέμενος τῷ Θεῷ.*

ΚΕΦ. ΛΑ.

Παραίνεσις Ἰακώβου πρὸς Παῦλον, περὶ τοῦ μὴ δοκεῖν κωλύειν Ἑβραίους περιτέμνεσθαι.

20 Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεόν·

Τοῦ Χρυσοστόμου. *Ὅρα καὶ αὐτοὶ μεθ' ὅσης ὑποστολῆς· οὐχ ὡς Ἐπίσκοπος αὐθεντικῶς διαλέγεται· ἀλλ' αὐτὸν παραλαμβάνουσι κοινωνὸν τῆς γνώμης, ὡσανεὶ εὐθέως ἀπὸ προοιμίων ἀπολογούμενοι ἀεὶ, ὅτι οὐκ ἐβουλόμεθα· ὁρᾷς τοῦ πράγματος τὴν ἀνάγκην.*

Εἶπόν τε αὐτῷ, θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰ-
σὶν ἐν τοῖς Ἰουδαίοις τῶν πεπιστευκότων·

[t] Cod. ἕνα.

Τοῦ αὐτοῦ. Αὗται οἱ μυριάδες, ἐκ τῶν βοησάντων "τὸ αἷμα "αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν," ὑπῆρχον· ἀλλ' ὅμως ὁ φιλάνθρωπος τοσαύτῃ μανίᾳ χρησαμένων, καὶ καθ' ἑαυτῶν καὶ κατὰ τῶν παίδων, οὐδ' ἐπ' αὐτῶν τὴν ψῆφον ἐκύρωσεν· ἀλλὰ καὶ ἐξ αὐτῶν καὶ ἐξ ἐκείνων ἐδέξατο τοὺς μετανοήσαντας καὶ πιστεύσαντας, καὶ μυρίων ἠξίωσεν ἀγαθῶν· καὶ γὰρ καὶ Παῦλος ἐξ αὐτῶν ἦν.

21 Καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. κατηχή-
θησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋ-
σέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ
περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπα-
22 τεῖν. τί οὖν ἐστί; πάντως δεῖ πλῆθος συνελθεῖν· ἀκού-
σονται γὰρ ὅτι ἐλήλυθας.

Τοῦ αὐτοῦ. Δύο αἰτίαι, καὶ τὸ πλῆθος καὶ ἡ γνώμη· οὔτε γὰρ εἰ ὀλίγοι ἦσαν καταφρονῆσαι ἔχει, οὔτε εἰ πολλοὶ, καὶ μὴ πάντῃ τοῦ νόμου ἀντεῖχον τὸ περὶ πολλοῦ ποιεῖσθαι· εἶτα καὶ τρίτη αἰτία· "καὶ οὗτοι πάντες κατηχήθησαν," φησὶ, "περὶ σοῦ, ὅτι "ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως·" καὶ τὰ ἑξῆς· οὐκ εἶπεν ἤκουσαν, ἀλλ' οὕτως ἐπίστευσαν καὶ ἐδιδάχθησαν.

Σευήρου ἐκ τῆς πρὸς[u] Μισαὴλ Κουβικουλάριον ἐπιστολῆς. Οὕτως καὶ οἱ Ἀπόστολοι καὶ τοῦ Σωτῆρος ἱεροὶ μαθηταὶ, τοὺς ἐκ περιτομῆς μεθιστάντας ἐπὶ τὴν εὐαγγελικὴν πολιτείαν, ἐξ ἀρχῆς αὐτοῖς κατὰ τὸν νόμον Μωϋσέως περιτέμνεσθαι συνεχώρησαν· ἵνα μόνον τὸ πιστεύειν εἰς Χριστὸν παραδέξωνται· καὶ λοιπὸν αὐτοὶ δι' ἑαυτῶν ἐμφορηθέντες τῆς ἐν Πνεύματι λατρείας καὶ εὐαγγελικῆς τελειότητος, τὰ μικρὰ καὶ σκιώδη καὶ νομικὰ παρατηρήματα διαπτύσωσι· καὶ τὴν σαρκικὴν περιτομὴν ἀτιμάσωσι, τὸ τὰς ψυχὰς περιτέμνεσθαι τῆς κακίας ἀνταλλαξάμενοι.

23 Τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν·

Τοῦ Χρυσοστόμου. Ὡς συμβουλεύοντες φασὶν, οὐχ ὡς ἐπιτάττοντες· ὅθεν πείθουσιν αὐτὸν, ὅτι οἰκονομία καὶ συγκατάβασις ἦν· οὐκ ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν· ὅπου γε καὶ αὐτοὶ ἐνομοθέτουν ἐκείνοις τὰ τοιαῦτα· οὐκ ἄρα ἐγκαλεῖ Πέτρῳ ἁπλῶς·

[u] πρὸς om. Cod.

ὅπερ γὰρ ἐνταῦθα ἐποίησεν αὐτὸς, τοῦτο Πέτρος *ἐκεῖ σιγῶν καὶ ἱστῶν*[x] *αὐτοῦ τὸ δόγμα· καὶ οὐκ εἶπε τί γὰρ οὐ χρὴ τοὺς κατὰ τὰ ἔθνη διδάσκειν· οὐκ ἀρκεῖ τὸ μὴ κηρύξαι ἐκεῖ, ἀλλ' ἔδει καὶ πλέον τι, ποιῆσαι νόμον.*

Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυ-
24 τῶν· τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς,

Ἀμμωνίου. *Οἱ ἐν* Ἱεροσολύμοις *πιστεύσαντες ἀπὸ* Ἰουδαίων *τὰ ἔθη τὰ νομικὰ ἤθελον*[y] *φυλάττειν.*

Τοῦ Χρυσοστόμου. *Ἔργῳ τὴν ἀπολογίαν ποιῆσαι μὴ λόγῳ· "ἵνα ξυρίσωνται," φησὶ, "καὶ γνῶσι πάντες, ὅτι ὧν κατήχηνται "περὶ σοῦ, οὐδέν ἐστιν·" οὐκ εἶπον ὅτι διδάσκεις, ἀλλ' ἐκ περιουσίας, ὅτι καὶ αὐτὸς φυλάττεις· οὐ γὰρ μόνον τοῦτο ἦν τὸ σπουδαζόμενον, εἰ μὴ ἑτέρους διδάσκει, ἀλλὰ τί; καὶ αὐτὸς τηρεῖ· τί οὖν ἂν τὰ ἔθνη μάθωσι; βλάψω αὐτούς φησι, πῶς, ὅπου καὶ ἡμεῖς οἱ τῶν* Ἰουδαίων *διδάσκαλοι ἐπέμψαμεν πρὸς αὐτούς· "περὶ δὲ τῶν πεπι- "στευκότων," φησὶν, "ἐθνῶν, ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν "τοιοῦτον τηρεῖν αὐτοὺς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς, τὸ εἰδωλόθυ- "τον καὶ τὸ αἷμα, καὶ τὸ πνικτὸν καὶ πορνείαν·" ἐνταῦθα ἐντρεπτι- κῶς· ὥσπερ ἐκείνοις ἡμεῖς ἐπετάξαμεν, καίτοι* Ἰουδαίους *κηρύττοντες· οὕτω καί συ τοῖς ἔθνεσι κηρύττων σύμπραξον ἡμῖν· ὅρα τὸν* Παῦλον *οὐ λέγει· καὶ μὴν δύναμαι* Τιμόθεον *παραγαγεῖν, ὃν περιέτεμον· καὶ μὴν δύναμαι πεῖσαι τῷ λόγῳ· ἀλλ' ἐπείσθη αὐτοῖς· καὶ πάντα ἐποίησεν, καὶ γὰρ οὕτως συνέφερεν· οὐ γὰρ ἦν ἴσον εἰς ἀπολογίαν καταστῆσαι, καὶ οὐδενὸς εἰδότος ποιῆσαι ταῦτα· ἀνύποπτος ἦν τῷ καὶ δαπανᾶσθαι ταῦτα.*

Καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλὴν,

Θεοδωρήτου Κύρου. *Τουτέστι τὰς ὑπὲρ αὐτῶν προσφερομένας κατὰ τὸν νόμον θυσίας· σὺ πάρασχε ἵνα λύσῃς τὴν ὑποψίαν.*

Καὶ γνώσωνται πάντες, ὅτι περὶ ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ καὶ στοιχεῖς καὶ αὐτὸς, φυλάσ-

[x] *καὶ ἱστῶν* suppl. rec. m. in marg. [y] *ἤθελλον* Cod.

25 *σων τὸν νόμον. περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς*
ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτοὺς,
εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ αἷμα
καὶ[z] *πνικτὸν καὶ πορνείαν.*

Τοῦ αὐτοῦ. Πολλὰ τῆς ἐπαγγελίας τὰ εἴδη· οἱ μὲν γὰρ θυσίας ἐπηγγέλλοντο, οἱ δὲ χρήματα, οἱ δὲ ἑαυτούς· οἱ δὲ ῥητὸν ἀριθμὸν ἡμερῶν μὴ πιεῖν οἶνον, μὴ κείρασθαι τὴν κεφαλήν· τοιοῦτοι ἦσαν καὶ οὗτοι οἱ ἄνδρες· εὐχὴν δὲ καλεῖ τὴν ὑπόσχεσιν· αἱ γὰρ τρίχες νεκρώσεως σύμβολον· νεκραὶ γὰρ αὗται, καὶ ὀδύνης αἴσθησιν οὐ δεχόμεναι· τοῦτό φησι καὶ ὁ Ἀπόστολος· "ζῶ δὲ "οὐκέτι ἐγώ."

Τοῦ Χρυσοστόμου. Συγκατάβασις τὸ πρᾶγμα ἐστί· μὴ φοβηθεὶς οὐ πρότερον παραινοῦσιν αὐτῷ, ἕως τοῦ εἰπεῖν τὴν οἰκονομίαν πρῶτον καὶ τὸ κέρδος· καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν φορητόν· ποίησον τοῦτο ἐνταῦθα· ἵνα ἐξῇ σοι ἔξω ποιεῖν ἐκεῖνο· εἰκὸς γὰρ ἦν αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ διατρίβειν ἐν τῷ ἱερῷ.

26 Τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ
ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς, εἰσῄει εἰς τὸ ἱερόν.

Τοῦ αὐτοῦ. Ἐγένετο δὲ ταῦτα, οὐ τῆς γνώμης αὐτοῦ μεταβαλλομένης, ἐπεὶ κακία τὸ πρᾶγμα ἦν· ἀλλὰ τῆς ἀγάπης συγκαταβαινούσης· ἵνα γὰρ τοὺς ὄντας ἀληθῶς ταῦτα μεταστήσῃ· ἐγίνετο δὲ ταῦτα οὐκ ἀληθῶς· ἐπιδεικνύμενος μόνον οὐκ ἐκ διανοίας αὐτὰ πράττων οὕτως ἐχούσης· πῶς γὰρ ὁ καὶ ἑτέρους μεταθεῖναι σπεύδων, καὶ διὰ τοῦτο ταῦτα ποιῶν, ἵνα ἄλλους ποιοῦντας ἐλευθερώσῃ τῆς ταπεινότητος ἐκείνης; Καὶ πάλιν—Καὶ ἐξύρατο, καὶ πάντα τὰ Ἰουδαϊκὰ ἐπετέλεσεν· ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ Εὐαγγέλιον, πάντων ἦν ταπεινότερος· ἔνθα δὲ ἐκ τῆς ταπεινοφροσύνης ἑώρα τινὰς ἀδικουμένους, οὐκέτι κέχρηται τῷ αὐτῷ πλεονεκτήματι· τοῦτο γὰρ λοιπὸν οὐκ ἦν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι καὶ διαφθείρειν τοὺς μαθητευομένους.

Ἀμμωνίου. Ἔθος μᾶλλον ἦν τοὺς ἔχοντας εὐχὴν κείρασθαι τὴν κεφαλὴν μετὰ τὸ ἁγνισθῆναι, καὶ οὕτως ἐπὶ ζʹ ἡμέρας ποιεῖν

[z] *καὶ* om. Cod.

προσφορὰν ὑπὲρ ἑαυτῶν· τοιοῦτόν τι ἐποίησεν Ἀκύλας καὶ Πρίσκιλλα· ὡς δῆλον εἶναι, ὅτι ὡς θεοσεβοῦντες ἀπεκείροντο τὴν κόμην· καλῶς οὖν καὶ νῦν οἱ εὐλαβεῖς κείρονται· δεῖ δὲ καὶ ἁγνισμοῦ· ἐν τοῖς Ἀριθμοῖς δὲ κεῖται ὁ νόμος οὗτος· Ἰουδαϊκὸν οὖν τὸ ἔθος.

Τοῦτό ἐστι τὸ ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ εἰρημένον· "ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· "τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς "ἀνόμοις ὡς ἄνομος, ἵνα κερδήσω ἀνόμους·" ταῦτα τὰ ῥητὰ διαλαμβάνων Ἰσίδωρος ὁ Πηλουσιώτης ἐν τῇ χλϛʹ Ἐπιστολῇ· λέγει οὕτως· "ἐγένετο τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ὅτε ἐν τῷ ἱερῷ ἡγνί-"σατο καὶ ἔθυσε· καὶ περιτεμὼν Τιμόθεον Ἰουδαίοις πέπομφε δι-"δάσκαλον, διὰ περιτομῆς τὴν περιτομὴν ἀναιρῶν· διὸ οὐκ εἶπεν "Ἰουδαῖος, ἀλλ' ὡς Ἰουδαῖος· τοῖς ἀνόμοις ὡς ἄνομος, ὅτε Ἀθηναίοις "δημηγορῶν, οὐκ ἀπὸ προφητῶν οὐδὲ ἀπὸ τοῦ νόμου διελέχθη, ἀλλὰ "ἀπὸ βώμου τὴν παραίνεσιν ἐποιήσατο· ἀπὸ τῶν οἰκείων αὐτοὺς "χειρούμενος δογμάτων· διὸ οὐκ εἶπεν ἄνομος, ἀλλ' ὡς ἄνομος."

Διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

Τοῦ Χρυσοστόμου. *"Διαγγέλλων·" τουτέστι καταγγέλλων· αὐτὸς ἦν ὁ δῆλον ἑαυτὸν ποιῶν.*

ΚΕΦ. ΛΒ.

Περὶ τῆς ἐν Ἱερουσαλὴμ κατὰ τοῦ Παῦλου κινηθείσης ἀταξίας· ὅπως τε αὐτὸν ὁ χιλίαρχος τοῦ πλήθους ἐξαιρεῖται.

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συμπληροῦσθαι, θεα-
σάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι
συνέχεαν πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς
28 χεῖρας, κράζοντες,

Τοῦ αὐτοῦ. *"Οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι·" μάλιστα γὰρ ἐκείνοις συγχρονίζει, "θεασάμενοι αὐτὸν συνέχεον πάντα τὸν ὄχλον·" ὅρα οἰκονομίαν γενομένην, μετὰ τὸ πεισθῆναι τοὺς Ἰουδαίους, τότε ἐπιτίθενται ἐκεῖνοι, ἵνα κἀκεῖνοι συνεπιτίθωνται.*

Τοῦ Χρυσοστόμου. *Ὅρα τὸ ἦθος αὐτῶν πανταχοῦ ταραχῶδες·*

καὶ ἁπλῶς βοώντων ἐν τῷ μέσῳ, ὥστινος δυσθηράτου καὶ δυσχειρώτου ταῖς ἐκείνων ἐμπεσόντος χερσίν.

Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων·

ΤΟΥ ΑΥΤΟΥ. *Μάλιστα αὐτοὺς ἐθορύβει ὁ ναὸς καὶ ὁ νόμος· καὶ οὐδὲν ἐνεκάλεσε τοῖς Ἀποστόλοις ὁ Παῦλος, ὅτι αὐτοὶ αἴτιοι γεγόνασιν αὐτῷ.*

Ἔτι τὲ καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κε-
29 κοινώνηκε τὸν ἅγιον τόπον τοῦτον. ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.

ΤΟΥ ΑΥΤΟΥ. *Εἶτα καὶ ἡ κατηγορία μείζων ἀπὸ τῶν παρόντων· "ἔτι δὲ," φησὶ, "καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ "κεκοινώνηκε[a]." καὶ μὴν καὶ ἐπὶ τοῦ Χριστοῦ ἀνέβησαν προσκυνήσοντες· ἀλλὰ τοὺς οὐκ ἀνελομένους προσκυνῆσαι φασίν.*

30 Ἐκινήθη τὲ ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ· καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

ΤΟΥ ΑΥΤΟΥ. *Ἐβούλοντο γὰρ αὐτὸν ἀνελεῖν, καὶ διὰ τοῦτο ἔξω εἷλκον· ὥστε μετὰ πλείονος ἀδείας τοῦτο ποιῆσαι.*

31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλι-
32 άρχῳ τῆς σπείρης, ὅτι ὅλη συγκέχυται Ἱερουσαλήμ· ὃς
ἐξ αὐτῆς παραλαβὼν τοὺς στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ, ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

ΤΟΥ ΑΥΤΟΥ. *Οὐκέτι νόμων ἐδέοντο οὐδὲ δικαστηρίων· ἀλλ' ἔτυπτον αὐτὸν δι' ὅλου.*

Ἐν δὲ τῷ μεταξὺ στάσις κατειλήφει τις τὴν πόλιν· καὶ ὁ δῆμος ἦν θορύβῳ πολλῷ, Ἰουδαίων ταραττόντων τὸ κοινόν· δεινὸν γὰρ καὶ βαρὺ ἡγήσαντο κατήγορον ἔχειν τὸν πάλαι προστάτην καὶ κοινωνὸν τῆς μανίας αὐτῶν· καὶ κτείνειν αὐτὸν ἔσπευδον.

[a] Scriptum erat *κεκοινώνηκε*, sed rec. m. corr. et dedit *κεκοίνωκε*.

33 Τότε ἐγγίσας ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέ-
λευσε δεθῆναι ἁλύσεσι δυσίν· καὶ ἐπυνθάνετο τίς εἴη,
34 καὶ τί ἐστι πεποιηκώς. ἄλλοι δὲ ἄλλό τι ἐπεφώνουν ἐν
τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν
θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.
35 ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμοὺς, συνέβη βαστά-
ζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιώτων διὰ τὴν βίαν τοῦ
ὄχλου.

Τοῦ Χρυσοστόμου. *Παραμυθούμενος τὸν θύμον τοῦ δήμου.*

36 Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ, κράζοντες, αἶρε
αὐτόν.

Τοῦ Χρυσοστόμου. *Τί ἐστιν "αἶρε αὐτόν;" τουτέστιν ὃ παρ' ἡμῖν λέγουσι κατὰ τὴν Ῥωμαϊκὴν συνήθειαν, ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε, αἶρε αὐτόν· ἐφοβοῦντο γὰρ αὐτὸν μὴ διαφύγῃ.*

Τοῦ αὐτοῦ. *Ἵππός ἐστιν ἀναβάτην φέρων, ἡ κραυγὴ δὲ τὴν ὀργήν· συμπόδισον τὸν ἵππον, καὶ κατέστρεψας τὸν ἀναβάτην.*

Ἀμμωνίου. *Ἔθος τοῖς Ἰουδαίοις ταύτην λέγειν τὴν φωνὴν κατὰ τῶν δικαίων· ὡς καὶ κατὰ τοῦ Κυρίου· "αἶρε αὐτόν·" ἀντὶ τοῦ, ἔπαρον αὐτὸν ἐκ τῶν ζώντων.*

37 Μέλλων δὲ εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦ-
λος, εἶπε τῷ χιλιάρχῳ, εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε;
38 ὁ δὲ ἔφη, Ἑλληνιστὶ γινώσκεις; οὐκ ἄρα σὺ εἶ ὁ Αἰ-
γύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ
ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους τῶν σι-
καρίων;

Τοῦ Χρυσοστόμου. *Ὅρα μεθ' ὅσης συστολῆς διαλέγεται ὁ Παῦλος τῷ χιλιάρχῳ· "εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; ὁ δὲ "ἔφη, Ἑλληνιστὶ γινώσκεις; οὐκ ἄρα συ εἶ ὁ Αἰγύπτιος;" ἄνθρωπος γάρ τις νεωτεροποιὸς γέγονε καὶ στασιαστὴς καὶ ἀπατεὼν καὶ γόης· καὶ προσεδόκησε ὁ διάβολος συσκιάζειν διὰ τούτου, καὶ κοινωνοὺς ποιεῖν τῶν ἐκείνους προσηκόντων καὶ τὸν Χριστὸν καὶ τοὺς Ἀποστόλους· ἀλλ' οὐδὲν ἴσχυσεν· ἀλλὰ τί; λαμπροτέρα γέγονεν ἡ ἀλήθεια· οὐδὲν παραβλαβεῖσα τοῖς τοῦ διαβόλου μη-*

χανήμασιν, ἀλλὰ καὶ μᾶλλον λάμψασα· εἰ μὲν γὰρ μὴ ἦσαν γόητες, εἶτα καὶ οὗτοι ἐκράτουν, τάχα ἄν τις ἐπελάβετο· ὅτε δὲ καὶ αὐτοὶ ἐφάνησαν, τοῦτό ἐστι τὸ θαυμαστὸν, ἵνα καὶ οἱ δόκιμοι φανεροί, φησι, γένωνται· μὴ τοίνυν ἀλγῶμεν ὅταν αἵρεσίς ἐστιν, ὅπου καὶ ψευδόχριστοι[z]· καὶ τῷ Χριστῷ ἐπιθέσθαι ἠθέλησαν, καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο, ὥστε συσκιάσαι· ἀλλ' ἡ ἀλήθεια λάμπει, καὶ δήλη ἐστὶ πανταχοῦ.

Ὠριγένους. Παρὰ Ἰουδαίοις τρεῖς αἱρέσεις γενικαί· Φαρισαῖοι· Σαδδουκαῖοι· Ἐσσηνοί· οὗτοι τὸν βίον σεμνότερον ἀσκοῦσι, φιλάλληλοι ὄντες, καὶ ἐγκρατεῖς· διὸ καὶ Ἐσσηνοὶ προσαγορεύονται, ἤγουν ὅσιοι· ἄλλοι δὲ αὐτοὺς σικαρίους ἐκάλεσαν, ἤγουν ζηλωτάς.

Ἰωσήπου. Σικάριοι λέγονται λῃσταὶ, ξίφεσι[a] διαχρώμενοι, παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ ὁμοίαις ταῖς ὑπὸ Ῥωμαίων σίκαις καλουμέναις· ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον.

39 Εἶπε δὲ ὁ Παῦλος, ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης·

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτὸν ὅταν πρὸς τοὺς ἔξω διαλέγηται, παραιτούμενον καὶ τοῖς ἀπὸ τῶν νόμων κεχρῆσθαι βοηθήμασιν· ἐνταῦθα αὐτὸν ἀπὸ τῆς πόλεως ἐντρέπει, καὶ ἀλλαχοῦ πάλιν οὕτως φησί· "δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας "ἔβαλον εἰς φυλακήν" ἐπειδὴ γὰρ εἶπε, "σὺ εἶ ὁ Αἰγύπτιος;" εὐθέως αὐτὸν ταύτης ἀπήγαγε τῆς ὑποψίας· εἶτα ἵνα μὴ νομισθῇ τὸ ἔθνος Ἰουδαῖος, λέγει τὴν θρησκείαν· καὶ γὰρ καὶ ἀλλαχοῦ, ἔννομον ἑαυτὸν Χριστοῦ καλεῖ· τί δὴ τοῦτό ἐστι; τί οὖν οὐκ ἠρνήσατο; μὴ γένοιτο· Ἰουδαῖος γὰρ ἦν καὶ Χριστιανὸς, ὅσα ἔδει φυλάττων· ἐπεὶ καὶ τῷ θείῳ νόμῳ μάλιστα πάντων αὐτὸς ἐπείθετο ὁ τῷ Χριστῷ πιστεύων· καὶ πρὸς Πέτρον διαλεγόμενος φησίν, "ἡμεῖς φύσει Ἰουδαῖοι."

Ἀμμωνίου. "Ἄνθρωπος μέν εἰμι Ἰουδαῖος·" φύσει γὰρ Ἰουδαῖοι ἐσμὲν οἱ Χριστιανοὶ, ὡς ἐξομολογούμενοι τὴν ἀληθῆ πίστιν· ὅπερ σημαίνει τὸ Ἰούδας ὄνομα.

[z] ψευδόχρηστοι Cod. [a] ξίφει Cod.

Δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν
40 λαόν. ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν
ἀναβάθμων, κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς
γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ, λέγων,

Τοῦ Χρυσοστόμου. *Καὶ τοῦτο τεκμήριον ὅτι οὐ ψεύδεται· εἴγε πάντας ἐπήγετο μάρτυρας· ὅρα δὲ αὐτὸν πάλιν μετὰ ἐπιεικείας διαλεγόμενον· τοῦτο τεκμήριον πάλιν τοῦ μηδένος εἶναι ὑπεύθυνον, τὸ οὕτως ἕτοιμον εἶναι πρὸς ἀπολογίαν, καὶ βούλεσθαι εἰς λόγον καταστῆναι τῷ δήμῳ τῶν Ἰουδαίων. ὅρα τεταγμένον ἄνδρα· ὅρα οἰκονομίαν· εἰ μὴ ὁ χιλίαρχος ἦλθεν, εἰ μὴ ἔδησεν, οὐκ ἂν ἐδεήθη λόγου πρὸς ἀπολογίαν· οὐκ ἂν τοιαύτης ἀπήλαυσε σιγῆς· "ἑστὼς," φησὶν, "ἐπὶ τῶν ἀναβάθμων·" καὶ ἀπὸ τοῦ τόπου πολλὴ ἡ εὐκολία, τὸ καὶ ὑψηλὸν ὄντα δημηγορεῖν καὶ δεδεμένον· τί τούτου ἶσον τοῦ θεάματος, δυσὶν ἁλύσεσι δεδεμένον ἰδεῖν* Παῦλον *δημηγοροῦντα; πῶς οὐκ ἐταράχθη; πῶς οὐ συνεχύθη; πῶς τοσοῦτον δῆμον ἐκπεπολεμωμένον ὁρῶν, τοῦ ἄρχοντος ἐφεστῶτος; πρότερον ἀπέστησεν αὐτοὺς τοῦ θυμοῦ· εἶτα ὅρα πῶς φρονίμως, ὅπερ ἐν τῇ πρὸς* Ἑβραίους Ἐπιστολῇ *ἐποίησε, τοῦτο καὶ ἐνταῦθα· πρῶτον τῇ συγγενείᾳ τῆς φωνῆς αὐτοὺς ἐπισπᾶται· εἶτα αὐτῷ τῷ ἡμέρῳ· "προσεφώνησε" γάρ, φησι, "τῇ* Ἑβραΐδι *διαλέκτῳ."*

* **Παύλου κατάστασις περὶ ἑαυτοῦ καὶ τῆς εἰς Ἀπόστολον[b] αὐτοῦ κλήσεως.**

1 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες,

Τοῦ Χρυσοστόμου. *Ὅρα καὶ κολακείας ἀπηλλαγμένον τὸν λόγον, καὶ τὸ ἐπιεικὲς ἔχοντα· οὐ γὰρ εἶπε, δεσπόται, οὐδὲ κύριοι, ἀλλ' "ἀδελφοὶ," ὃ μάλιστα ἐπόθουν· ὅτι οὐκ ἀλλότριος ὑμῶν ἐγώ φησιν, οὐδὲ καθ' ὑμῶν, "ἄνδρες ἀδελφοὶ καὶ πατέρες·" τοῦτο τιμῆς, ἐκεῖνο γνησιότητος.*

2 Ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νυνὶ ἀπολογίας. ἀκού-
σαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνησεν αὐ-
τοῖς, μᾶλλον παρέσχον ἡσυχίαν.

Τοῦ αὐτοῦ. *Ὁρᾷς πῶς αὐτοὺς εἷλε τὸ ὁμοιόφωνον· εἶχον γάρ τινα αἰδῶ πρὸς τὴν γλῶτταν ἐκείνην.*

[b] Sic Codd. N.C. et Coisl. ἀποστολὴν Œcum.

3 Καί φησιν, ἐγώ εἰμι ἀνὴρ Ἰουδαῖος, γεγενημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ,

Τοῦ Αὐτοῦ. Ὅρα πῶς προοδοποιεῖ τῷ λόγῳ οὕτως ἀρχόμενος· "ἐγὼ μέν εἰμι," φησὶν, "ἀνὴρ Ἰουδαῖος," ὃ μάλιστα πάντων ἀκοῦσαι ἠβούλοντο.

Τοῦ Αὐτοῦ. Ἵνα μὴ[c] πάλιν νομίσωσι τὸ ἔθνος ἀλλὸ[d], τὴν θρησκείαν ἐπήγαγεν, "ἀνατεθραμμένον δὲ ἐν τῇ πόλει ταύτῃ" τὴν πολλὴν αὐτοῦ δείκνυσι σπουδὴν τὴν περὶ τὴν λατρείαν· ὅπουγε καὶ πατρίδα τηλικαύτην ἀφεὶς τοσοῦτον ἀφεστῶσαν, ἐνταῦθα εἵλετο τραφῆναι διὰ τὸν νόμον· ὅρα πῶς ἄνωθεν προσεῖχε τῷ νόμῳ· ταῦτα δὲ οὐ πρὸς ἐκείνους ἀπολογούμενος λέγει μόνον, ἀλλὰ δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῳ σκοπῷ πρὸς τὸ κήρυγμα ἤχθη, ἀλλὰ θείᾳ δυνάμει· οὐ γὰρ ἂν οὕτω πεπαιδευμένος ἀθρόον μετέστη· εἰ μὲν ἦν τις τῶν πολλῶν, εἰκὸς ἦν τοῦτο ὑποπτεῦσαι· εἰ δὲ τῶν μάλιστα πάντων κατεχομένων ὑπὸ τοῦ νόμου, οὐκ ἦν ἁπλῶς εἰκὸς, καὶ οὐδεμιᾶς ἀνάγκης ἰσχυρᾶς οὔσης, μεταθέσθαι αὐτόν.

Παρὰ τοὺς πόδας Γαμαλιήλου, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστὲ σήμερον·

Τοῦ Αὐτοῦ. Οὐχ ἁπλῶς εἶπε παρὰ Γαμαλιῆλον, ἀλλὰ "παρὰ "τοὺς πόδας·" τὴν καρτερίαν, τὴν προσεδρείαν, τὴν σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν, τὴν πολλὴν πρὸς τὸν ἄνδρα αἰδῶ δεικνύς.

Τοῦ Χρυσοστόμου. Οὐχ ἁπλῶς "νόμου," ἀλλὰ "τοῦ πατρῴου·" δείκνυσιν ὅτι ἄνωθεν τοιοῦτος ἦν, καὶ οὐχ ἁπλῶς εἰδὼς τὸν νόμον· ταῦτα δὲ δοκεῖ μὲν ὑπὲρ ἐκείνων λέγεσθαι, κατ' ἐκείνων δὲ ἦν· εἴγε καὶ εἰδὼς αὐτὸν εἴασε· τί οὖν εἰ ᾔδεις μὲν ἀκριβῶς τὸν νόμον, οὐκ ἐκδικεῖς δέ; οὐ φιλεῖς δέ; "ζηλωτής" φησιν οὐχ ἁπλῶς.

Ἐπειδὴ μεγάλα περὶ ἑαυτοῦ ἐγκώμια εἶπε, κοινοποιεῖ τὸν λόγον ἐπάγων, "καθὼς πάντες ὑμεῖς σήμερον," καὶ δείκνυσιν αὐτοὺς οὐχ ἁπλῶς ἀνθρωπίνῳ σκόπῳ ποιοῦντας, ἀλλὰ ζήλῳ θείῳ, χαρισάμενος αὐτοῖς καὶ προκαταλαμβάνων τὴν διάνοιαν· καὶ κατάρχων ἐν οἷς βλάβος οὐδὲν ἦν.

c μὴ om. Cod. d ἀλλὰ Cod.

4 Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων
5 καὶ παραδιδοὺς εἰς φυλακὴν ἄνδρας τε καὶ γυναῖκας, ὡς
καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον·
παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς,
εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας
δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν.

Τοῦ Χρυσοστόμου. Πόθεν τοῦτο; μάρτυρας παράγει αὐτὸν τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους· λέγει μὲν, "ζηλωτὴς ὑπάρχων "καθὼς ὑμεῖς," δείκνυσι δὲ διὰ τῶν ἔργων, ὅτι ὑπὲρ αὐτοὺς ἦν· οὐ γὰρ δὴ περιέμενον, φησὶν, ὥστε συλλαβεῖν, ἀλλὰ καὶ τοὺς ἱερέας διήγειρον, καὶ ἀποδημίας ἐστελλόμην· οὐδὲ μέχρι ἀνδρῶν ἐχώρουν καθάπερ ὑμεῖς, ἀλλὰ καὶ γυναικῶν, δεσμεύων καὶ εἰς δεσμωτήρια ἐμβάλλων· ἀναμφισβήτητος ἡ μαρτυρία· ἀναπολόγητα τὰ τῶν Ἰουδαίων· ὅρα πόσους ἐπάγει μάρτυρας· τὸ πρεσβυτέριον, τὸν ἀρχιερέα, τοὺς ἐν τῇ πόλει· ὅρα αὐτοῦ τὴν ἀπολογίαν, οὐ δειλίας οὖσαν, ἀλλὰ διδασκαλίας μᾶλλον καὶ κατηχήσεως· εἰ γὰρ μὴ λίθοι ἦσαν οἱ ἀκούοντες, προσεῖχον ἂν τοῖς λεγομένοις· μέχρι γὰρ τούτου μάρτυρας εἶχε· τὰ δὲ λοιπὰ ἀμάρτυρα. Καὶ πάλιν—Περὶ τῆς προτέρας αὐτοῦ σπουδῆς διηγήσασθαι βουλόμενος, μάρτυρας αὐτοὺς καλεῖ τῶν γενομένων· ὅτι μὲν γὰρ κατηξίωσεν ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καλέσαι με ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε· καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη.

Τοῦ αὐτοῦ. Μάλιστα μὲν οὖν καὶ ταῦτα ἀξιόπιστα ἔδει εἶναι ἀπὸ τῶν προλαβόντων· οὐ γὰρ ἂν μετεστράφη· τί οὖν εἰ κομπάζει φησί; διατί τοσοῦτον ἐξαίφνης ἔρριψε ζῆλον; εἰπέ μοι, τιμὴν προσδοκῶν; καὶ μὴν τἀναντία ὑπέμεινεν· ἀλλ' ἄνεσιν; οὐδὲ τοῦτο· ἀλλά τι ἕτερον; ἀλλ' οὐδὲν ἀπὸ λογισμῶν εὑρεῖν δυνατόν· ταῦτα τοίνυν ἀφεὶς αὐτοῖς συλλέγειν, τὰ πράγματα διηγεῖται.

Τοῦ Χρυσοστόμου. Ἵνα γὰρ μὴ νομίσῃς ὅτι θυμοῦ ἦν τὸ πρᾶγμα, δείκνυσιν ὅτι ζήλῳ τὸ πᾶν ἐποίει, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν· οὐκ ἀπὸ κενοδοξίας οὐδὲ ὑπὸ ἔχθρας ἐκδιώκων, ἀλλὰ "ζη-"λωτὴς ὑπάρχων" τῶν πατρικῶν μου παραδόσεων φησίν.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζων τῇ Δαμασκῷ,
περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι
7 φῶς ἱκανὸν περὶ ἐμέ· ἔπεσά τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα
φωνῆς λεγούσης μοι, Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

Τοῦ αὐτοῦ. Ὅρα πόση ὑπερβολὴ τοῦ φωτός· τί οὖν εἰ κομπάζει; φησὶν, οἱ συνόντες μαρτυροῦσιν, οἱ χειραγωγοῦντες, οἱ τὸ φῶς θεασάμενοι· ἑτέρωθι δὲ φησὶ, "τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες." οὐκ εἶπεν, ὅτι τὸ φῶς οὐκ ἔβλεπον, ἀλλὰ μηδένα· τουτέστι λαλοῦντα· εἰκότως δὲ τοῦτο ἐγένετο· αὐτὸν γὰρ ἔδει τῆς φωνῆς καταξιωθῆναι ἐκείνης· εἰ μὲν γὰρ ἤκουσαν κἀκεῖνοι, οὐκ ἂν τοσοῦτον ἐγένετο· ἐπειδὴ γὰρ οἱ παχύτεροι ὄψει πείθονται μᾶλλον, τὸ φῶς εἶδον ἐκεῖνοι, καὶ ἔμφοβοι γίνονται· ἐπεὶ οὐδὲ περὶ αὐτοὺς τὸ φῶς τοσοῦτον εἰργάσατο ὅσον περὶ τοῦτον· καὶ γὰρ ἐπήρωσεν αὐτοῦ τὰς ὄψεις· διὰ τῶν εἰς τοῦτον συμβαινόντων κἀκείνοις ἔδωκεν ἀναβλέψαι, εἴγε ἤθελον· ἐμοὶ δὲ δοκεῖ ἐκείνους μὴ πιστεῦσαι· καὶ οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας ἀξιοπίστους.

Ἀμμωνίου. "Φῶς ἱκανὸν," πολὺ φῶς· οὗ μὴ ἐνεγκὼν τὴν αἴγλην ὁ Παῦλος, ἀπελιθώθη τοὺς ὀφθαλμούς· οὐ μόνον τοὺς αἰσθητοὺς, ἀλλὰ τάχα καὶ τοὺς νοητούς· ἀμέλει φησὶν, "ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου."

8 Ἐγὼ δὲ ἀπεκρίθην, τίς εἶ, Κύριε; εἶπέ τε πρός με,
9 ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. οἱ δὲ σὺν
ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο·
10 τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. εἶπον
δὲ, τί ποιήσω, Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκόν· κἀκεῖ σοι λαληθήσεται
11 περὶ πάντων ὧν τέτακταί σε ποιῆσαι. ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.

Τοῦ Χρυσοστόμου. Καλῶς ἡ πόλις πρόσκειται· ὥστε ἐπιγνῶναι αὐτούς· καὶ οἱ Ἀπόστολοι οὕτως ἔλεγον, καὶ αὐτὸς ἐμαρτύρησεν ὅτι ἐδιώκετο.

Φωνῆς λέγει, τῆς τοῦ Κυρίου πρὸς τὸν Παῦλον γεγενημένης· μόνον δὲ τὸ φῶς τεθεᾶσθαι.

* Περὶ ὧν ὁ Ἀνανίας[c] πρὸς τὸν Παῦλον ἐν Δαμασκῷ, ὀπτασίας τὲ καὶ φωνῆς Θεοῦ γενομένης ποτὲ πρὸς αὐτὸν ἐν τῷ ἱερῷ.

12 Ἀνανίας δέ τις, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον μαρτυ-
ρούμενος ὑπὸ πάντων τῶν κατοικούντων Ἰουδαίων ἐν
13 Δαμασκῷ, ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέ μοι, Σαοὺλ
ἀδελφὲ, ἀνάβλεψον· κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς
αὐτόν.

Τοῦ Χρυσοστόμου. Εἶτα ἡ διὰ τῶν πραγμάτων μαρτυρία· ὅρα διὰ προσώπων καὶ πραγμάτων αὐτὴν πλεκομένην· προσώπων οἰκείων τὲ καὶ ἀλλοτρίων· οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, οἱ συνοδεύοντες· τὰ πράγματα, ἃ ἐποίει, ἃ ἔπαθε· καὶ πράγματα πράγμασι μαρτυρεῖ, οὐχὶ πρόσωπα μόνον· εἶτα ἀλλότριος ὁ Ἀνανίας· εἶτα τὸ πρᾶγμα αὐτὸ ἡ ἀνάβλεψις· εἶτα προφητεία μεγάλη.

14 Ὁ δὲ εἶπεν, ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ,

Τοῦ αὐτοῦ. Καλῶς εἶπε "τῶν πατέρων" ἵνα δείξῃ αὐτοὺς οὐκ ὄντας Ἰουδαίους, ἀλλὰ ἀλλοτρίους τοῦ νόμου· καὶ οὐχὶ ζήλῳ ποιοῦντας· "γνῶναι" φησὶ τὸ "θέλημα αὐτοῦ·" οὐκοῦν αὐτοῦ θέλημα τοῦτο. ὅρα πῶς ἐν τάξει διηγήσεως διδασκαλία ἐστίν.

Καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ στόματος αὐτοῦ·

Τοῦ αὐτοῦ. Τέως τοσοῦτον λέγει· εἰ δίκαιος, οὗτοι ὑπεύθυνοι· "καὶ ἀκοῦσαι φωνὴν ἐκ στόματος αὐτοῦ." ὅρα πῶς τὸ πρᾶγμα ἐπαίρει.

15 Ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους, ὧν τὲ ἑώρακας καὶ ἤκουσας.

Τοῦ Χρυσοστόμου. Διὰ τοῦτο, ὅτι οὐ προδώσει τὴν ὄψιν καὶ τὴν ἀκρόασιν, ὧν τὲ εἶδες, φησὶν, ὧν τὲ ἤκουσας· δι' ἑκατέρων τῶν αἰσθήσεων αὐτὸν πιστοῦται. Καὶ μετ' ὀλίγα—"Μάρτυς ἔσῃ," φησὶ, "πρὸς πάντας ἀνθρώπους·" οὐχὶ πρὸς τοὺς οἰκείους μόνον,

[c] Ἀνανίας εἶπε Œcum. verb. om. Codd. Coisl. et N.C.

ἀλλὰ καὶ πρὸς τοὺς ἀλλοτρίους· οἱ γὰρ μάρτυρες τοιοῦτοί εἰσιν, οὐχὶ τοὺς εἰδότας πείθουσιν, ἀλλὰ τοὺς οὐκ εἰδότας.

Ἀμμωνίου. Σημειωτέον ὅτι καὶ εἶδε τὸν Ἰησοῦν καὶ ἤκουσεν αὐτοῦ ὁ Παῦλος· οἱ δὲ συνόντες τὴν λαμπηδόνα μόνον τοῦ φωτὸς αὐτοῦ εἶδον, οὐ μὴν αὐτόν· καὶ τὸν ἦχον ἤκουον τῆς φωνῆς, οὐ μὴν συνῆκαν τὰ λαλούμενα, ὡς ὀπίσω ἐλέχθη.

16 Καὶ νῦν τί μέλλεις ; ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ.

Τοῦ Χρυσοστόμου. Ἐνταῦθα μέγα ἐφθέγξατο· οὐ γὰρ εἶπεν, εἰς τὸ ὄνομα αὐτοῦ βαπτίσαι, ἀλλ' "ἐπικαλεσάμενος τὸ ὄνομα "αὐτοῦ" τοῦ Χριστοῦ· δείκνυσιν αὐτὸν Θεὸν ὄντα. οὐ γὰρ ἔνι ἕτερον ἐπικαλέσασθαι τινὰ, εἰ μὴ τὸν Θεόν· εἶτα δείκνυσιν ἑαυτὸν οὐκ ἀναγκασθέντα· ἐγὼ γὰρ εἶπον, φησὶ, τί με δεῖ ποιεῖν; ὅρα οὐδὲν ἀμάρτυρον, ἀλλὰ πόλεως ὁλοκλήρου αὐτοῦ μαρτυρίαν παράγει, εἴγε εἶδον αὐτὸν χειραγωγούμενον· καὶ ὅρα προφητείαν ἐξελθοῦσαν· "πρὸς πάντας," φησὶν, "ἀνθρώπους" μάρτυς αὐτοῦ γέγονε· μάρτυς, ὡς χρὴ, δι' ὧν ἔπαθε, καὶ δι' ὧν εἶπεν.

Ἀμμωνίου. Οὐ πᾶν οὖν βάπτισμα ἀλλὰ μόνον τὸ εἰς Κύριον Ἰησοῦν ποιεῖ ἁμαρτιῶν καθαρισμόν.

17 Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ, καὶ
προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστά-
18 σει, καὶ εἶδον αὐτὸν λέγοντά μοι, σπεῦσον καὶ ἔξελθε
ἐν τάχει ἐξ Ἱερουσαλήμ· διότι οὐ παραδέξονταί σου
τὴν μαρτυρίαν περὶ ἐμοῦ.

Ὅρα πῶς αὐτὸν εἰσωθεῖ· ἦλθόν, φησι, μετὰ τὴν ὄψιν ἐκείνην εἰς Ἱερουσαλήμ· πάλιν τοῦτο ἀμάρτυρον· ἀλλ' ὅρα ἐκ τῆς ἐκβάσεως ἡ μαρτυρία· εἶπεν, ὅτι οὐ δέξονταί σου τὴν μαρτυρίαν· οὐκ ἐδέξαντο· καὶ μὴν φησὶν, εἴγε ἀπὸ λογισμῶν ἔδει τοῦτο ὑποπτεῦσαι, ὅτι πάντως δέξονται· ἐγὼ ἤμην ὁ πολεμῶν Χριστιανοῖς, ὥστε διὰ τοῦτο ἔδει αὐτοὺς δέξασθαι· ἐνταῦθα δύο κατασκευάζει, ὅτι τὲ ἀναπολόγητα αὐτοῖς ἐστιν· οὐ γὰρ κατὰ τὸ εἰκὸς αὐτὸν ἐδίωκον οὐδὲ κατὰ λογισμόν· καὶ ὅτι Θεὸς ἦν ὁ Χριστὸς, τὰ παρὰ προσδοκίαν προφητεύων, καὶ οὐχ ὁρῶν εἰς τὰ γενόμενα, ἀλλὰ τὰ μέλλοντα προειδώς. Καὶ μετ' ὀλίγα—"Προσευχομένῳ," φησὶν,

“ἐν τῷ ἱερῷ·” ὅτι οὐχ ἁπλῶς φαντασία ἦν· διὰ τοῦτο προσευχομένῳ ἐπέστη· καὶ δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτὸν τοὺς κινδύνους ἔφυγεν, ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ.

19 Καὶ ἐγὼ εἶπον, Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπί σε·

Τοῦ αὐτοῦ. Διατί εἶπεν, ὅτι “αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην “δεσμεύων;” οὐχὶ ἀντιλέγων τῷ Χριστῷ, ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον· ἀλλ' οὐκ ἐδίδασκεν αὐτὸν ὁ Χριστὸς, ἀλλ' εἶπε μόνον ἀπελθεῖν.

Τοῦ αὐτοῦ. “Αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων·” τοῦτό φησιν ὁ Παῦλος, ὅτι εἰ καὶ μὴ πιστεύωσί σοι οἱ Ἰουδαῖοι, ἀλλ' οὖν ὤφειλον τὸν ἐμὸν καταδέξασθαι λόγον· ἐπείπερ σὺν αὐτοῖς ἤμην ὁ διώκων τὴν ἐκκλησίαν, καὶ ἔδει αὐτοὺς πληροφορηθῆναι, ὅτι οὐκ ἄλλως ἀπέστην τῆς πρώτης δόξης, εἰ μὴ ἀκριβῶς ἐπληροφορήθην· ὅτι οὐκ ἔστιν ἄλλως σωθῆναι ἄνθρωπον εἰ μὴ διὰ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως· τὸ οὖν παράδοξον τῆς ἐμῆς μεταβολῆς ἐχρῆν κἀκείνους μεταπεῖσαι.

20 Καὶ ὅτε ἐξεχεῖτο[a] τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.

Τοῦ Χρυσοστόμου. Τὸν Στέφανον· ὑπέμνησεν αὐτοὺς μιαιφονίας χαλεπῆς· τότε δὴ μάλιστα οὐκ ἤνεγκαν, ἐπειδὴ τοῦτο οὐκ ἤλεγχεν αὐτούς· καὶ ἤδη ἡ προφητεία ἐπληροῦτο· ὁ ζῆλος πολὺς καὶ ἡ κατηγορία σφοδρὰ, καὶ οἱ μάρτυρες τῆς ἀληθείας τοῦ Χριστοῦ· οὐκ ἠνέσχοντο λοιπὸν οἱ Ἰουδαῖοι πάσης ἀκοῦσαι τῆς δημηγορίας, ἀλλ' ὑπὸ τοῦ θυμοῦ σφόδρα ἐμπλησθέντες, ἐβόων.

Ἀμμωνίου. Οἶδεν ὅτι τὸ ὁμολογεῖν ἐπὶ τοῦ Θεοῦ τὰ ἴδια πλημμελήματα, καὶ κατακρίνειν ἑαυτὸν, ποιεῖ καθαρισμὸν ἁμαρτιῶν· καὶ ὡμολόγει καὶ αὐτὸς τὰ πραχθέντα αὐτῷ ἄτοπα, ἵνα δικαιωθῇ, καὶ τοῦ μεγάλου κριτηρίου ἀφεθῇ· ἐξ ὧν αὐτὸς ἑαυτὸν ἐνταῦθα κατακρίνων ἐφαίνετο.

[a] ἐξεχύνετο Cod.

21 Καὶ εἶπε πρός με, πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν
22 ἐξαποστελῶ σε. ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ
λόγου.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς ἄνωθεν καὶ κάτω διισχυρίζεται, ὅτι τοῦ Χριστοῦ γέγονε μαθητής· οὐκ ἀνθρώπου μεσιτεύσαντος, ἀλλ' αὐτοῦ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι αὐτῷ τὴν γνῶσιν πᾶσαν.

Τοῦ αὐτοῦ. Ὥστε καὶ τῷ διαστήματι παραμυθήσασθαι τὸ μῖσος.

Καὶ ἐπῆραν αὐτῶν τὴν φωνὴν, λέγοντες, αἶρε τὸν
τοιοῦτον ἀπὸ τῆς γῆς· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν.

Τοῦ αὐτοῦ. Καὶ μὴν ὑμᾶς οὐ καθήκει ζῆν, οὐχὶ τοῦτον τὸν πάντα πειθόμενον τῷ Θεῷ, ὦ μιαροὶ καὶ ἀνδροφόνοι.

23 Κραυγαζόντων δὲ αὐτῶν, καὶ ῥιπτούντων τὰ ἱμάτια,
καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,

Τοῦ αὐτοῦ. Ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν, φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα· καὶ ὅρα οὐ λέγουσι τὴν αἰτίαν· ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ καταπλήξειν οἴονται.

24 Ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος εἰσάγεσθαι εἰς τὴν
παρεμβολὴν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτὸν, ἵνα
γνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ.

Τοῦ Χρυσοστόμου. Καὶ μὴν παρ' ἐκείνων ἔδει μαθεῖν τῶν καταβοώντων, καὶ ἐρωτῆσαι εἴ τινος τῶν εἰρημένων ἐπελαμβάνοντο· ἀλλ' ἁπλῶς τῇ ἐξουσίᾳ χαρίζεται· καὶ ἐκείνοις πρὸς χάριν ποιεῖ· οὐ γὰρ τοῦτο ἐζήτει, ὅπως δικαίως τι πράξειεν, ἀλλ' ὅπως παύσειεν τὸν ἐκείνων θυμὸν ἄδικον ὄντα.

* Ὅτι μέλλων ἐπὶ τούτοις ὁ Παῦλος τύπτεσθαι, εἰπὼν ὅτι Ῥωμαῖος ἐστὶν [b], ἀνέθη [c].

25 Ὡς δὲ προέτειναν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα
ἑκατόνταρχον ὁ Παῦλος, εἰ ἄνθρωπον Ῥωμαῖον καὶ
26 ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; ἀκούσας δὲ ὁ
ἑκατόνταρχος, προσελθὼν τῷ χιλιάρχῳ, ἀπήγγειλε λέ-

[b] εἰμὶ Œcum. [c] ἀνέθη Œcum. ἀνείθη Codd. N. C. et Coisl.

γων, τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι.

Οὐκ ἂν ἐψεύσατο Παῦλος, μὴ γένοιτο· Ῥωμαῖος γὰρ ἦν· εἰ καὶ μηδὲν ἕτερον, ἔδεισεν ἂν μὴ ἁλῷ, καὶ μείζονα δίκην δῷ· καὶ ὅρα οὐχ ἁπλῶς φησιν· ἀλλ' ἔξεστιν ὑμῖν δύο τὰ ἐγκλήματα, καὶ ἄνευ λόγου, καὶ τὸ Ῥωμαῖον ὄντα· μεγάλην εἴχοντό τε ταύτην τὴν προνομίαν· ἀπὸ γὰρ Ἀδριανοῦ φασι πάντας εἶναι Ῥωμαίους· καὶ γὰρ Ῥωμαίων βασιλεὺς σχεδὸν κατ' ἐκεῖνο καιροῦ ἐκράτει πάσης τῆς γῆς, καὶ αὐτῆς τῆς Ἰουδαίας· τὸ δὲ παλαιὸν οὐχ οὕτως ἦν. εὐκαταφρόνητος ἂν ἐγένετο μαστιχθεὶς, νῦν δὲ εἰς πλείονα αὐτοὺς ἐμβάλλει φόβον, εἰ μάστιξαν καὶ παρέτρεψαν ἂν τὸ πρᾶγμα, ἢ καὶ ἀπέκτειναν αὐτόν· νῦν δὲ οὐχ οὕτως γίνεται· ὅρα πῶς ὁ Θεὸς συγχωρεῖ ἀνθρωπίνως πολλὰ γίνεσθαι, καὶ ἐπ' αὐτῶν καὶ τῶν λοιπῶν. ὅρα πῶς ὑπόπτευσαν πρόφασιν εἶναι τὸ πρᾶγμα, καὶ τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον· τοῦτο ὑπολαμβάνοντες ἀπὸ τῆς πενίας.

27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ, λέγε μοι, σὺ
28 Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, ναί. ἀπεκρίθη δὲ ὁ χιλίαρχος,
ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην.

Ἀμμωνίου. "Λέγε μοι σύ· Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη ναί·" εἰδὼς ὅτι δεῖ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάττεσθαι· καὶ ὅτι ὁ Ῥωμαίων βασιλεὺς κατ' ἐκεῖνο καιροῦ ἐκράτει σχεδὸν εἰπεῖν πάσης γῆς[b], ἔτι μὴν καὶ αὐτῆς τῆς Ἰουδαίας· οἵτινες καὶ φόρον ἐτέλουν Καίσαρι· ὡμολόγησεν εἶναι ἑαυτὸν Ῥωμαῖον, μὴ ἀποσειόμενος τὴν ἀρχὴν καὶ δεσποτείαν τὴν Ῥωμαϊκήν· ὅπερ οἱ λοιποὶ Ἰουδαῖοι φρεναπατῶντες, τὸν μὲν Θεὸν ἑαυτῶν μόνον ἔλεγον ἴδιον βασιλέα, οὐ μὴν ἄνθρωπον· ἔργοις δὲ αὐτοῖς ὡς ὑποτελεῖς οἰκέται φόρον ἐτέλουν, τὸ μὲν ὄνομα ἀρνούμενοι, ἔργοις δὲ ὑποκείμενοι· οὓς καὶ ἐπόρθησεν Οὐεσπασιανὸς, ὡς μὴ ὑποτασσομένους· ὃς μετὰ τέσσαρας βασιλεῖς Ῥωμαίων ἐβασίλευσεν.

29 Ὁ δὲ Παῦλος ἔφη, ἐγὼ καὶ γεγέννημαι. εὐθέως οὖν
ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ

[b] σχεδ. πάσ. γ. εἰπ. Cod., corr. rec. m.

ὁ χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι αὐτὸν ἦν δεδεκώς.

Τοῦ Χρυσοστόμου. Ὅρα καὶ πατρὸς ἦν Ῥωμαίου· τί οὖν ἀπὸ τούτου γίνεται; λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ἰουδαίους· οὐκ ἄρα ψεῦδος ἦν, ὅτι Ῥωμαῖός ἐστιν· "ἐφοβήθη" γάρ, φησιν, "ὁ χιλίαρχος, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν."

Ἀμμωνίου. Πρὸ γὰρ τοῦ γεννηθῆναι τὸν Παῦλον γεγενημένης τῆς Κιλικίας ὑπὸ Ῥωμαίους, ἀνάγκη καὶ αὐτὸν ὡς ὄντα ὑπ᾽ αὐτοὺς, Ῥωμαῖον εἶναι· τέως δὲ κατὰ τὴν προφητείαν ἐδεσμεύθη ἐν Ἱερουσαλὴμ ὁ Παῦλος, καὶ ἐξέβη ὁ λόγος.

Μαξίμου. Τί δήποτε ὁ Ἀπόστολος Παῦλος Ῥωμαῖον ἑαυτὸν ἀποκαλεῖ· καὶ πρὸς χιλίαρχον διαλεγόμενος ἔφη· "ὅτι ἐγὼ δὲ "καὶ γεγέννημαι;" οἱ κατὰ πᾶσαν χώραν, ὡς δή τι μέγα τὸ Ῥωμαῖοι καλεῖσθαι νομίζοντες, παρέχοντες δόσεις ἀπεγράφοντο Ῥωμαῖοι, καὶ ἔτρεχεν εἰς τὸ γένος τὸ ὄνομα· ἐπεὶ οὖν οἱ γονεῖς τοῦ Ἀποστόλου ὄντες ἐν Ταρσῷ ἀπεγράφησαν εἰς τὸ καλεῖσθαι Ῥωμαῖοι, εἰκότως ὁ Ἀπόστολος ὡς ἐξ αὐτῶν γεννηθεὶς λέγει· "ὅτι ἐγὼ δὲ καὶ γεγέννημαι."

ΚΕΦ. ΛΓ.

Ὅσα Παῦλος καταβὰς εἰς τὸ συνέδριον ἔπαθέ τε καὶ εἶπε, καὶ εὐθυβόλως ἔπραξεν.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ
τί κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ
τῶν δεσμῶν, καὶ ἐκέλευσε συνελθεῖν τοὺς ἀρχιερεῖς καὶ
πᾶν τὸ συνέδριον· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν
εἰς αὐτούς.

Οὐκέτι πρὸς τὸ πλῆθος οὐδὲ πρὸς τὸν δῆμον διαλέγεται.

1 Ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ εἶπεν, ἄνδρες ἀδελ-
φοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ
2 ἄχρι ταύτης τῆς ἡμέρας. ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐκέ-
λευσε τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα.

Τουτέστιν οὐ σύνοιδα ἐμαυτῷ τι ἠδικηκὼς ὑμᾶς, οὐδὲ ἄξιον τῶν δεσμῶν τούτων πράττων.

Τινὲς φασὶν ὅτι οὐκ ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς· τί οὖν ἀπολογεῖται ὡς κακηγορίας οὔσης, καὶ ἐπάγει, “ἄρχοντα τοῦ λαοῦ σου “οὐκ ἐρεῖς κακῶς;” εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει· αὐτός φησὶ, “λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχό“μεθα·” ἐνταῦθα δὲ τουναντίον· καὶ οὐ λοιδορεῖται μόνον ἀλλὰ καὶ ἐπαρᾶται· παρρησίας μᾶλλόν ἐστι τὰ ῥήματα ἢ θυμοῦ· οὐκ ἐβούλετο εὐκαταφρόνητος φανῆναι τῷ χιλιάρχῳ· εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι, ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκεῖνο θρασύτερον εἰργάσατο· διὰ τοῦτο οὐ πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα· τὸ δὲ “τοῖχε κεκονιαμένε, καὶ σὺ κάθῃ “κρίνων με κατὰ τὸν νόμον;” ἀντὶ τοῦ ὑπεύθυνος ὤν· ὡσανεὶ ἔλεγε, καὶ μυρίων πληγῶν ἄξιος ὤν. Καὶ μετ' ὀλίγα—Σφόδρα πείθομαι μὴ εἰδέναι αὐτὸν ὅτι ἀρχιερεύς ἐστι· διὰ μακροῦ μὲν ἐπανελθόντα χρόνου, μὴ συγγενόμενον δὲ Ἰουδαίοις, ὁρῶντα δὲ αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων· οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεὺς, πολλῶν ὄντων καὶ διαφόρων. Καὶ μετ' ὀλίγα—Οὐδὲ ὕβρις ἦν τὸ παρ' αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕβριν εἴποι τις, ὅταν λέγῃ· “οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι “παρομοιάζετε τάφοις κεκονιαμένοις.”

3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε, τύπτειν σε μέλλει
ὁ Θεὸς, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ
4 τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι; οἱ
δὲ παρεστῶτες εἶπον, τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;
5 ἔφη τε ὁ Παῦλος· οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν ἀρχιε-
ρεύς· γέγραπται γὰρ, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς
κακῶς.

Ἐξ ἀνεπιγράφου. Εἴ τις ἀμφιβάλλει εἰ καλῶς ἐλέχθη τὰ προκείμενα, ἀκουέτω, ὡς εἰ μὲν λοιδορῆσαι σπεύδων τοῦτο ἐποίησεν, οὐ δεόντως· εἰ δὲ χάριν ἐλέγξαι ὑπόκρισιν, καὶ τοῦ κολάσεως ὀφειλέτην εἶναι τὸν ὄντα μὲν κακὸν, πλαττόμενον δὲ τὸ καλὸν ἐπὶ ἀπάτῃ πολλῶν, προσηκόντως εἴρηται· διὸ οὐδὲ ἀρχιερέα εἰδέναι λέγει, εἴγε ἀρχιερέως μὲν ἔργον τὸ καὶ σώζειν τὸ ὑποτεταγμένον

ποίμνιον· οὗτος δὲ καὶ ἐπέτριβε καὶ ἐλυμαίνετο, ἀφιστῶν τῆς δεδομένης σωτηρίας παρὰ Θεοῦ.

Σευήρου. Διατί τοῖχον κεκονιαμένον καλεῖ; ἐπειδὴ λαμπρὰν μὲν εἶχε τὴν ὄψιν, ὡς νόμου ἔκδικος, καὶ νόμῳ δικάζων, ἡ δὲ διάνοια ἀνομίας πεπλήρωτο· ἐλέγχει αὐτοῦ τὸ σχῆμα ἐκ τῆς ἔξωθεν διαθέσεως· οἱ δὲ παρεστῶτες ἔλεγον· "τὸν ἀρχιερέα τοῦ Θεοῦ "λοιδορεῖς;" ὁ δὲ ἅγιος Παῦλος βουληθεὶς δεῖξαι, ὅτι δεῖ καὶ θυμὸν δίκαιον περιστέλλειν, καὶ ἀγανάκτησιν δικαίαν καλύπτειν· ὥσπερ μεταμεληθεὶς λέγει· "οὐκ ᾔδειν," καὶ τὰ ἑξῆς· οὐκ ᾔδεις ὅτι ἱερεύς ἐστι; πῶς οὖν ἔλεγες, "καὶ σὺ κάθῃ κρίνων με κατὰ "τὸν νόμον;" ἀλλὰ προσποιεῖται ἄγνοιαν, οὐ βλάπτουσαν ἀλλ' οἰκονομοῦσαν· ἔστι γὰρ καὶ μεταχειρισμῷ χρήσασθαι ἰσχυροτέρῳ παρρησίας· πολλάκις μὲν παρρησία ἄκαιρος ἔβλαψε τὴν ἀλήθειαν· μεταχειρισμὸς δὲ εὔκαιρος κατόρθωσε τὸ προκείμενον.

Διδύμου. Ὁ τῆς ἔξω ἐπιφανείας ἐπιμελόμενος, κακὸς ὢν τῇ γνώμῃ, τοῖχος κεκονιαμένος εἴη, ᾧ κόλασις ἕπεται, διὰ τὸ δολερῶς ὑποκρίνεσθαι τὴν ἁγίου κατάστασιν· ἐπειδὴ δὲ ταῦτα προσδοκοῦντα ἀρχιερέα λέγεται ὑπὸ Παύλου, ἀμφιβάλλεταί τις εἰ μετὰ τοῦ καθήκοντος ἐλέγχθη· πρὸς ὃν λεκτέον· εἰ μὲν γὰρ διὰ τοῦ[c] λοιδορήσασθαι προέκειτο, οὐ δεόντως· εἰ δὲ τοῦ ἐλέγξαι, καὶ τὸ[d] κολαστέον εἶναι τὸν ἐπιμορφαζόμενον τὸ καλὸν, καθηκόντως εἴρηται ἡ φωνή· διὸ καὶ μάλιστα ἐπεὶ ἀρχιερεὺς ὢν, ἐδόκει τοῖχος εἶναι, τοῖχον κεκονιαμένον εἶπεν αὐτόν. οὐ παντὸς ὑποκριτοῦ· ὡς ὅτε ὑποτεταγμένος ἐστὶ ὄντος τοίχου.

Ἀμμωνίου. "Καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;" ἤλεγχε τὸν ἀρχιερέα τῶν Ἰουδαίων παραβάτην ὄντα τοῦ νόμου, καὶ μὴ ὀφείλοντα ἄλλον ἐπὶ παρανομίᾳ κρίνειν.

6 Γνοὺς δὲ ὁ Παῦλος, ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραζεν ἐν τῷ συνεδρίῳ,

Τοῦ Χρυσοστόμου. Πάλιν ἀνθρωπίνως διαλέγεται· καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει· καὶ ἐν τούτῳ μετὰ ταῦτα ἐβουλήθη σχίσαι τὸ πλῆθος, τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ· καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα· Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων.

c τοῦ om. Cod. d τὸ Cod. corr. r. m. τῷ.

Ἄνδρες ἀδελφοὶ, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίων· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.

Τοῦ αὐτοῦ. Ἐπειδὴ γὰρ ἐκεῖνοι οὐκ ἠβούλοντο εἰπεῖν διατί κρίνουσιν αὐτὸν, ἀναγκάζεται λοιπὸν αὐτὸς ἐξειπεῖν. Καὶ πάλιν— Ἀπὸ τῆς κατηγορίας αὐτῶν καὶ διαβολῆς, συνίστησιν ἑαυτόν· οὐκ ἴσασι Σαδδουκαῖοι τάχα, οὐδὲ τὸν Θεὸν, παχεῖς τινὲς ὄντες· ὅθεν οὐδὲ ἀνάστασιν βούλονται πιστεύειν εἶναι.

7 Τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν
Φαρισαίων καὶ τῶν Σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆ-
8 θος. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν,
μήτε ἄγγελον μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι
τὰ ἀμφότερα.

Τοῦ Χρυσοστόμου. Καὶ μὴν τρία ἐστί· πῶς λέγει ἀμφότερα; πνεῦμα καὶ ἄγγελος ἕν φησι· ὅτε μετ' αὐτῶν ἔστη, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ.

Ἀμμωνίου. Σημειωτέον ἐν ῥητῷ τὴν τῶν Σαδδουκαίων αἵρεσιν· καὶ ὅτι ἡ λέξις ἡ λέγουσα "ἀμφότερα," οὐ μόνον περὶ δύο λέγει, ὅπερ κυρίως δηλοῖ τὰ ἀμφότερα, ἀλλὰ καὶ περὶ τριῶν· ὥς τε οὖν οὐ δεῖ ἐκ τῆς ἔξωθεν ἀκριβολέκτου κυριότητος κρίνειν τὰς τῶν ἁπλῶν καὶ ἀγραμμάτων ἁλιέων συγγραφάς· ἐκ τούτων γὰρ πᾶσα ὡς εἰπεῖν αἵρεσις γεννᾶται, κατὰ κυριολεξίαν ἐπί τινων λόγων τὰς γραφὰς πολυπραγμονεῖν ζητούντων.

9 Ἐγένετο δὲ κραυγὴ μεγάλη· καὶ ἀναστάντες τινὲς τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο, λέγοντες, οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν.

Τοῦ Χρυσοστόμου. Διατί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; ὁρᾷς ὅταν τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται· ποῖον ἔγκλημα; φησίν· "εἰ ἄγγελος αὐτῷ ἐλάλησεν ἢ "πνεῦμα." ὅρα συνετῶς τὸν Παῦλον, οὐδεμίαν αὐτοῖς δόντα λαβήν.

Ἰσιδώρου Πηλουσιώτου ἐπιστολῆς ΑΩΞΗ. "Εἰ δὲ πνεῦμα

“ἐλάλησεν αὐτῷ ἢ ἄγγελος·” τὸ γὰρ “εἰ” ἤ ἐστι· τουτέστιν, ἢ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος.

Ἀμμωνίου. “Εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος.” ἀσαφὲς τὸ ῥητὸν, ἢ γὰρ λείπει τι αὐτῷ πρὸς ἀναπλήρωσιν τοῦ νοήματος, ἵνα ᾖ οὕτως· εἰ δὲ πνεῦμα ἢ ἄγγελος ἐλάλησεν αὐτῷ τὴν μηχανὴν τοῦ λόγου, ἵνα ἐκφύγῃ τὴν ἐπιβουλὴν, ἄδηλόν φησιν· ἢ ὡς ἀπὸ τῶν Φαρισαίων τὸ ῥῆμα λεκτέον· “εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος,” ἀντὶ τοῦ, ἰδοὺ τὰ περὶ ἀναστάσεως λαλῶν δῆλός ἐστιν, ἢ διὰ Πνεύματος Ἁγίου ἢ δι’ ἀγγέλου κατηχηθεὶς τὸν τῆς ἀναστάσεως λόγον.

10 Πολλῆς δὲ γενομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ’ αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τὲ εἰς τὴν παρεμβολήν.

Τοῦ αὐτοῦ. Φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν, ὅτι Ῥωμαῖός ἐστι· καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα· ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ῥωμαῖον εἶναι· ἢ γὰρ ἂν οὐδὲ νῦν ἐφοβήθη· καὶ τὸ στράτευμα λοιπὸν ἁρπάζει αὐτὸν ὡς ἴδιον, οἶμαι.

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε, θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλὴμ, οὕτως δεῖ καὶ εἰς Ῥωμὴν μαρτυρῆσαι.

Τοῦ Χρυσοστόμου. Ὅρα πόση ἡ παράκλησις· πρῶτον αὐτὸν ἐπαινεῖ, “ὡς διεμαρτύρω τὰ περὶ ἐμοῦ,” φησιν, “ἐν Ἱεροσολύμοις·” εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην· καὶ γὰρ καὶ ἐκεῖ, φησιν, οὐκ ἀπελεύσῃ μόνος, ἀλλὰ τοσαύτῃ χρήσῃ παρρησίᾳ· ὅτι σωθήσεται ἐδηλοῦτο, ἀλλ’ ὅτι καὶ ἐπὶ μεγάλοις στεφάνοις.

Διατί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεός· τότε γὰρ ποθεινότερον φαίνεται, καὶ ἐν τοῖς κινδύνοις ἐγγυμνάζων ἡμᾶς· καὶ μετὰ τὸ φανῆναι πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι· τί δὴ τοῦτο οὐκ ἐθορυβήθη; οὐδὲ εἶπεν, ἆρα ἠπάτημαι παρὰ Χριστοῦ, ἀλλ’

ἐπίστευσεν; οὐ μὴν ἐπειδὴ ἐπίστευσεν, ὕπνωσεν· ἀλλὰ τὰ ἐνόντα ἐξ ἀνθρωπίνης σοφίας οὐ προέδωκεν. ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀνεθαματισμοῦ· ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ· καθάπερ ὁ Ἡρώδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν, οὕτω δὴ καὶ οὗτοι· τοιαῦτα γὰρ τὰ διαβολικά· προσχήματι δῆθεν εὐλαβείας τὰς παγίδας τίθησι· καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι· ταῦτα γὰρ οὐχ ἱερέων ἀλλὰ λησταρχῶν· ταῦτα οὐκ ἀρχόντων ἀλλὰ λυμαινομένων· καὶ τὸν ἄρχοντα διαφθεῖραι ἐπιχειροῦσιν· ἀλλ' ᾠκονομήθη, ὥστε καὶ ἐκεῖνον καταμαθεῖν αὐτῶν τὴν ἐπιβουλήν.

ΤΟΥ ΑΥΤΟΥ. Ἀεὶ μὲν γὰρ οἱ ἅγιοι θαυμαστοὶ, καὶ πολλῆς γέμουσι χάριτος· μάλιστα δὲ ὅταν διὰ Χριστὸν κινδυνεύωσιν, ὅταν δέσμιοι γίνωνται· καθάπερ γὰρ στρατιώτης γενναῖος, ἀεὶ μὲν καὶ ἁπλῶς ἐγγυμναζόμενος τοῖς ὅπλοις, ἡδὺ θέαμα τοῖς ὁρῶσι γίνεται, μάλιστα δὲ ὅταν εἱστήκῃ καὶ παρατάττηται παρ' αὐτὸν τὸν βασιλέα, οὕτω δὴ καὶ Παῦλον ἐννόησον, ὅσον ἦν ἰδεῖν μετὰ τῶν δεσμῶν αὐτὸν διδάσκοντα.

ΚΕΦ. ΛΔ.

Περὶ ἐπιβουλῆς μελετωμένης ὑπὸ Ἰουδαίων κατὰ Παῦλον, καὶ μηνύσεως αὐτῆς πρὸς Λυσίαν.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντες συστροφὴν οἱ Ἰου-
δαῖοι, ἀναθεμάτισαν ἑαυτοὺς, λέγοντες μήτε φαγεῖν μήτε
13 πιεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον· ἦσαν δὲ πλείους
τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν ποιησάμενοι·
14 οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέ-
ροις εἶπον, ἀναθέματι ἀναθεματίσαμεν ἑαυτοὺς, μηδενὸς
15 γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον. νῦν οὖν
ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ, ὅπως
καταγάγῃ αὐτὸν πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον
διαγινώσκειν τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ, πρὸ τοῦ ἐγγίσαι
αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.

ΤΟΥ ΑΥΤΟΥ. Ὅρα πῶς σφοδροὶ καὶ ἀμυντικοὶ περὶ τὴν κακίαν, καὶ τεσσαράκοντα ὁμοῦ· τοιοῦτον γὰρ τὸ ἔθος· ὅταν μὲν ἐπὶ ἀγαθῷ

δεῖ συμφωνῆσαι, οὐδὲ δύο συνέρχονται· ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος· καὶ λαμβάνουσι κοινωνοὺς τοὺς ἄρχοντας.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς πρόεισι τὸ κακόν· ἡ πικρία τὸν θυμὸν ἔτεκεν, ὁ θυμὸς τὴν ὀργήν· ἡ ὀργὴ τὴν κραυγήν, ἡ κραυγὴ τὴν βλασφημίαν· ἡ βλασφημία τὰς πληγάς, αἱ πληγαὶ τὰ τραύματα, τὰ τραύματα θάνατον.

Τοῦ αὐτοῦ. "Ἀναθεμάτισαν ἑαυτούς·" τίς ἡ τοσαύτη σπουδὴ, "ὅπως καταγάγῃ αὐτὸν πρὸς ἡμᾶς;" οὐχὶ δεύτερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί τὸ περιττόν; ὄντως οὐδὲν ἐφοβοῦντο οὔτε δικαστήρια οὔτε νόμους· οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν· καὶ τὴν γνώμην εἰσηγοῦνται καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται· ἀνάγκην αὐτοῖς τινὰ ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ.

Ἀμμωνίου. "Ἀναθεμάτισαν ἑαυτοὺς," ἀντὶ τοῦ ἔξω εἶναι τῆς κατὰ Θεὸν πίστεως εἶπον ἑαυτοὺς, εἰ μὴ ποιήσαιεν τὰ δόξαντα· εἴτε οὖν ἐψεύσαντο τὴν ὑπόσχεσιν, ὡς καὶ ἐψεύσαντο, ἀνάθεμά εἰσιν· εἴτε καὶ τὸν Παῦλον δίκαιον ἄνδρα καὶ ἀκατάκριτον ἐξεγεγόνει αὐτοῖς φονεῦσαι, πάλιν ὡς φονεῖς ἀνάθεμα ἑαυτοὺς ἐποίουν· ἤτοι ὁ Θεὸς ἐποίει αὐτοὺς, εἰ καὶ παρεσιώπων οἱ ἀρχιερεῖς.

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὴν ἐνέδραν, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ Παύλῳ.

Τοῦ Χρυσοστόμου. Τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν, τὸ μὴ συνιδεῖν αὐτοὺς, ὅτι ἀκούσεται· τί οὖν ὁ Παῦλος; οὐκ ἐθορυβήθη ἀλλὰ συνεῖδεν, ὅτι Θεοῦ ἔργον ἐστὶ τοῦτο· καὶ τὸ πᾶν ἐπ' αὐτὸν ῥίψας, οὕτως ἑαυτὸν ἀφίησιν.

Ἀμμωνίου. Μᾶλλον ὡς Ἰουδαῖος ὢν καὶ συνὼν αὐτοῖς ἤκουσε· σημειωτέον δὲ ὅτι οὐ συγγένεια ποιεῖ ὁμοπίστους, ἀλλ' ὁ τρόπος· ἢ καὶ οὐκ ἦν Ἰουδαῖος, καὶ ἀκούσας ἦλθε, καὶ προδιωρθώσατο τὸν Παῦλον.

* Ὅτι παρεπέμφθη ὁ Παῦλος τῷ ἡγεμόνι εἰς Καισάρειαν μετὰ στρατιωτῶν καὶ γραμματέων.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, εἶπε, τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλί-

18 αρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν παρα-
λαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον, καὶ φησὶν, ὁ
δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον
τὸν νεανίαν ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι.
19 ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀνα-
χώρησας κατ' ἰδίαν ἐπυνθάνετο, τί ἐστιν, ὃ ἔχεις ἀπαγ-
20 γεῖλαί μοι; εἶπε δὲ, ὅτι καὶ οἱ Ἰουδαῖοι συνέθεντο τοῦ
ἐρωτῆσαί σε, ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς
τὸ συνέδριον, ὡς μελλόντων τί ἀκριβέστερον πυνθάνε-
21 σθαι περὶ αὐτοῦ. σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύ-
ουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα,
οἵτινες ἀναθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν,
ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσι, προσδε-
χόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.

Τοῦ Χρυσοστόμου. *Πάλιν ἀνθρωπίνῃ σώζεται προμηθείᾳ· καὶ ὅρα ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν, οὐδὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον· ἀλλὰ λαβὼν ὁ ἑκατόνταρχος ἀπήγαγε τῷ χιλιάρχῳ· καὶ καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον· καὶ τότε λέγει τοῖς ἑκατοντάρχοις τὸ τί δεῖ γένεσθαι.*

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Κορινθίους ἐπιστολῆς ὑπομνήματος. *Τί λέγεις; καὶ Παῦλος κινδύνους ἐφοβεῖτο; καὶ σφόδρα ἐδεδοίκει· εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλ' ἄνθρωπος ἦν· τοῦτο δὲ οὐκ ἔγκλημα τοῦ Παύλου, ἀλλ' ἀσθένεια μὲν τῆς φύσεως, ἐγκώμιον δὲ τῆς προαιρέσεως, ὅτι καὶ δεδοικὼς θάνατον καὶ πληγὰς, οὐδὲν ἀνάξιον διὰ τὸν φόβον τοῦτον ἐποίησεν· ὡς οἱ λέγοντες ὅτι οὐκ ἐφοβεῖτο πληγὰς, οὐ μόνον αὐτὸν οὐ σεμνύνουσιν, ἀλλὰ καὶ ὑποτέμνονται πολὺ τῶν ἐπαίνων· εἰ γὰρ οὐκ ἐφοβεῖτο, ποία καρτερία, ἢ ποία φιλοσοφία τὸ τοὺς κινδύνους φέρειν; ἐγὼ γὰρ διὰ τοῦτο αὐτὸν θαυμάζω, ὅτι φοβούμενος, καὶ οὐχ ἁπλῶς φοβούμενος, ἀλλὰ καὶ τρέμων τοὺς κινδύνους, διὰ παντὸς ἔδραμε στεφανούμενος· καὶ οὐδενὶ τῶν δικαίων ἐνέδωκεν ἐκκαθαίρων τὴν οἰκουμένην, καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὸ κήρυγμα σπείρων.*

22 *Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγ-*
γείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἐνεφάνισας πρός
με.

Τοῦ Χρυσοστόμου. *Ὠικονομήθη ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν· οὐ γὰρ ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν ἤλεγξαν ἑαυτοὺς μηδὲν ὄντας· εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποσταλῆναι αὐτὸν προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι· οὐ γὰρ δὴ ἐβούλετο οὔτε ἀρνήσασθαι οὔτε ἐπινεῦσαι· τότε δὲ ἐπίστευσεν ἐκ τῶν ἤδη γενομένων.*

23 *Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων*
εἶπεν, ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πορευ-
θῶσι, μεχρὶ Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ
δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός·
24 *κτήνη τε παραστῆσαι, ὅπως ἐπιβάσαντες τὸν Παῦλον*
25 *διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα· γράψας ἐπιστο-*
26 *λὴν περιέχουσαν τὸν τύπον τοῦτον· Κλαύδιος Λυσίας*
27 *τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν. τὸν ἄνδρα τοῦτον*
συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναι-
ρεῖσθαι ὑπ᾽ αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξει-
λόμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

Τοῦ αὐτοῦ. *Πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα καὶ ἐκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου· ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι, ὅτι εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος· καὶ αὐτὴ οὖν αὐτοῖς ἡ ἀπολογία ἐκκόπτεται.*

28 *Βουλόμενός τε ἐπιγνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν*
29 *αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν· ὃν*
εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν,
μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔχοντα ἔγκλημα.
30 *μηνυθείσης δέ μοι ἐπιβουλῆς ἔσεσθαι, ἐξαυτῆς ἔπεμψα*
πρός σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ
πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀθωοῦται ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου· ὅρα τὴν κακίαν ἀναιρουμένην· παρέδωκαν γὰρ αὐτὸν, ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι· γίνεται δὲ τοὐναντίον· καὶ σώζεται καὶ ἀθῶος εὑρίσκεται· εἰ γὰρ μὴ οὗτος, κἂν διεσπάσθη· εἰ μὴ οὗτος, ἀπώλετο, κἂν κατεδικάσθη. οὐ μόνον ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται, ἀλλὰ καὶ ἄλλης πολλῆς· ὅρα πῶς αὐτῷ ὑπηρέτης γίνεται, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρατάξεως.

ΚΕΦ. ΛΕ.

Τερτύλλου περὶ Παύλου κατηγορία, καὶ αὐτοῦ ἀπολογία ἐπὶ τοῦ ἡγεμόνος.

31 Οἱ μὲν οὖν στρατιῶται, κατὰ τὸ διατεταγμένον αὐ-
τοῖς, ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς
32 τὴν Ἀντιπατρίδα. τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς
πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν·
33 οἵτινες ἐλθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τῷ
ἡγεμόνι τὴν ἐπιστολὴν, παρέστησαν καὶ τὸν Παῦλον
34 αὐτῷ. ἀναγνοὺς δὲ, καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας
35 ἐστὶ, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας, διακούσομαί σου,
ἔφη, ὅταν οἱ κατήγοροί σου παραγένωνται.

Τοῦ αὐτοῦ. Καθάπερ εἰ βασιλέα τινὰ δορυφόροι παρέπεμπον μετὰ τοσούτου πλήθους, καὶ ἐν νυκτὶ, φοβούμενοι τοῦ δήμου τὴν ὁρμήν· ἐπεὶ οὖν τῆς πόλεως αὐτὸν ἐξέβαλον, τότε ἀφίστανται· οὐκ ἂν μετὰ τοσαύτης ἀσφαλείας ἐξέπεμψεν, εἰ μὴ καὶ αὐτῆς ἔτυχεν, οὐδὲν αὐτοῦ κατεγνωκώς· καὶ ἐκείνων ᾔδει τὸ φονικόν.

Ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ Ἡρώδου φυ-
1 λάσσεσθαι. μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς
Ἀνανίας μετὰ πρεσβυτέρων τινῶν καὶ ῥήτορος Τερτύλ-
λου τινός,

Ἀμμωνίου. Σημειωτέον ὅτι ἐν Καισαρείᾳ ἐστὶ τὸ πραιτώριον Ἡρώδου· "ἐνεφάνισαν τῷ ἡγεμόνι·" λείπει πάλιν τῷ ῥητῷ πρὸς τὸ νόημα λέξις, ἵνα ᾖ οὕτως· οἵτινες ἐνεφάνισαν διδασκαλικὸν χάρτην κατὰ τοῦ Παύλου.

Οἵτινες ἐνεφάνησαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς οὐδὲ οὕτως ἀπέστησαν, μυρίοις κωλύμασι κωλυόμενοι, ἀλλ' ἔρχονται ὥστε καὶ ἐκεῖ καταισχυνθῆναι.

2 Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλ-
3 λος, λέγων· πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ
διορθωμάτων πολλῶν γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας.

Τοῦ αὐτοῦ. Ὅρα πῶς τοῖς ἐπαίνοις προκαταλαμβάνεται τὸν δικαστὴν ἐκ προοιμίων, καὶ ὡς νεωτεροποιὸν καὶ στασιαστὴν βούλεται παραδοῦναι τὸν Παῦλον· εἶτα πῶς πολλὰ ἔχων εἰπεῖν παρέτρεχεν.

4 Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ συντόμως ἀκοῦσαι ἡμῶν τῇ σῇ ἐπιεικείᾳ.

Τοῦ αὐτοῦ. Ὅρα πῶς εἰς ἐπιθυμίαν ἐμβάλλει κολάσεως τὸν δικαστὴν, εἴγε ἔμελλεν τὸν τὴν οἰκουμένην ἀνατρέποντα καθέξειν.

5 Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην,

Τοῦ αὐτοῦ. "Τοῖς κατὰ τὴν οἰκουμένην," φησιν, "Ἰουδαίοις "στάσεις κινῶντα," ὡς εὐεργέτην λοιπὸν καὶ κοινὸν σωτῆρα τοῦ ἔθνους ἔμελλον ἀνακηρύττειν.

Πρωτοστάτην τὲ τῆς τὸν Ναζωραίων αἱρέσεως·

Τοῦ αὐτοῦ. Ἐδόκει τοῦτο ἐπονείδιστον εἶναι, τὸ τῶν Ναζωραίων· καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν· ἡ γὰρ Ναζαρὲτ εὐτελὴς ἦν.

Ἀμμωνίου. Αἱρετικοὺς λέγει τοὺς Ναζωραίους ὁ Τέρτυλλος, ὡς εἶναι καὶ ταύτην ἐν Ἰουδαίοις αἵρεσιν· μᾶλλον δὲ ὁ Τέρτυλλος Ἕλλην ἦν· διὸ καὶ ἐρητόρευεν, ἤτοι ἐδικολόγει.

6 Ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν, εἴγε τοῦτο νόμου ἦν, τὸ τύπτειν, τὸ ἀναίρειν, τὸ ἔνεδρα ποιεῖν.

7 Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας
8 ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, κελεύσας τοὺς κατηγό-
ρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' ᾧ δυνήσῃ αὐτὸς ἀνα-
κρίνας περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατη-
9 γοροῦμεν αὐτοῦ· συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φά-
σκοντες ταῦτα οὕτως ἔχειν.

Τοῦ αὐτοῦ. Εἶτα καὶ τοῦ Λυσίου κατηγορία· οὐ προσῆκον αὐτῷ, φησὶ, μετὰ πολλῆς βίας ἀπέσπασε. Καὶ μετ' ὀλίγα— "Ἐπείρασέ," φησι, "βεβηλῶσαι τὸ ἱερὸν," τὸ δὲ πῶς οὐ λέγει· καὶ τὸ μὲν ἐκείνου οὕτως ἐπῆρεν· ὅρα δὲ τὰ αὐτῶν πῶς ἐλαττοῖ· "ἐκρατήσαμέν," φησι, "καὶ ἠθελήσαμεν κρῖναι κατὰ τὸν ἡμέτερον "νόμον·" δείκνυσιν ὅτι ἐπηρεάζονται εἰς δικαστήρια ξένα ἐρχόμενοι, καὶ ὅτι οὐκ ἂν ἐνώχλησαν αὐτῷ, εἰ μὴ ἐκεῖνος ἠνάγκασε, καὶ ὅτι οὐ προσῆκον αὐτῷ ἥρπασε τὸν ἄνδρα· καὶ γὰρ τὰ ἀδικήματα πρὸς ἡμᾶς, ἡνίκα τὸ δικαστήριον παρ' ἡμῖν ἔδει γενέσθαι· ὅτι γὰρ τοῦτό ἐστιν ὅρα τὸ ἑξῆς· "μετὰ πολλῆς," φησι, "βίας·" βία γὰρ τοῦτό ἐστι· "παρ' οὗ δύνασαι," φησὶ, "γνῶναι·" εἰ δὲ κατηγορῆσαι τολμᾷ, μέγας συγγνωμονικὸς ὁ ἀνήρ· οὐδὲν ἁπλῶς μετέρχεται· εἶτα πάλιν ἵνα μὴ δόξῃ ψεύδεσθαι, αὐτὸν ἐφίστησιν ἑαυτοῦ κατήγορον τὸν Παῦλον· "παρ' οὗ," φησι, "δύνασαι ἀνακρίνας "γνῶναι·" εἶτα καὶ μάρτυρες τῶν εἰρημένων κατήγοροι· αὐτοὶ μάρτυρες καὶ κατήγοροι.

10 Ἀπεκρίθη δὲ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος
λέγειν, ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον τῷ ἔθνει
τούτῳ ἐπιστάμενος, εὐθύμος τὰ ἐμαυτοῦ ἀπολογοῦμαι·
11 δυναμένου σου ἐπιγνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέ-
ραι δεκαδύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων εἰς Ἱερου-
σαλήμ·

Τοῦ Χρυσοστόμου. Οὐκ ἔστι ταῦτα τὰ κολακείας ῥήματα ἀλλὰ μαρτυρίας, μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην· ἐκεῖνα δὲ μᾶλλον· "εἰρήνης" γὰρ, φησι, "τυγχάνοντες διὰ σοῦ·" τί οὖν στασιά-

ζεσθε ἀδίκως· οὗτος δὲ τὸ δίκαιον ζητεῖ· ὅτι "ἐκ πολλῶν ἐτῶν," καὶ τί τοῦτο; ὅτι οὐκ ἂν εὐθέως ἐπιστὰς στάσιν ἐκίνησα· ἐπειδὴ ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· "τοῖς κατὰ τὴν οἰκουμένην πᾶσαν Ἰουδαίοις." διὰ τοῦτο ὁ Παῦλος ἐνταῦθα αὐτὸν ἕλκει· "προσκυνῆσαί," φησιν, "ἀνέβην," τοσοῦτον ἀπέχω τοῦ στάσεις κινεῖν· καὶ τούτῳ ἐνδιατρίβει τῷ λόγῳ, ὅπερ ἦν ἰσχυρόν.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγό-
μενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συν-
13 αγωγαῖς, οὔτε κατὰ τὴν πόλιν· οὔτε παραστῆσαι δύναν-
ται περὶ ὧν νῦν κατηγοροῦσί μου.

Τοῦ Χρυσοστόμου. Τί οὖν ἀνέβης; τί ἦλθες προσκυνῆσαι; ἐλεημοσύνας, φησι, ποιῆσαι· τοῦτο οὐκ ἦν στασιῶδους· κἀκεῖνος μὲν πρωτοστάτην φησὶ, καθάπερ ἐπὶ μάχης καὶ συστάσεως· οὗτος δὲ ὅρα ἐπιεικῶς ἀποκρίνεται· "ἐκ πολλῶν ἐτῶν ὄντα κριτὴν "δίκαιόν," φησι· οὐκ ἄρα ξένος ἐστὶν οὐδὲ ἀλλότριος, οὐδὲ νεωτεροποιός· εἴγε ἐκ πολλῶν ἐτῶν οἶδε τὸν δικαστήν· καὶ καλῶς ἐπήγαγε τὸ δίκαιον· ἵνα μὴ πρὸς τὸν ἀρχιερέα ἴδῃ, μηδὲ πρὸς τὸν δῆμον, μηδὲ πρὸς τὸν κατήγορον· ὅρα πῶς οὐ προήχθη εἰς ὕβριν, καίτοιγε ἀνάγκης οὔσης.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγου-
σιν αἵρεσιν, οὕτως λατρεύω τῷ πατρῴῳ Θεῷ,

Ἐξ ἀνεπιγράφου. Μετὰ τὴν κλῆσιν τοῦ εἶναι Ἀπόστολος Χριστοῦ, λατρεύων τῷ πατρῴῳ Θεῷ λέγων, δείκνυσιν ἕνα ὄντα Θεὸν παλαιᾶς τε καὶ νέας.

Ἀμμωνίου. Ὁδὸν λέγει τὴν πίστιν ἤτοι τὴν παράδοσιν· καὶ σημειωτέον ὅτι Ναζωραῖοι πιστεύουσι τῷ Θεῷ τῷ πατρῴῳ, καὶ τοῖς κατὰ τὸν νόμον, καὶ τοῖς προφήταις, καὶ εἰς ἀνάστασιν νεκρῶν· δείκνυσιν ὁ Παῦλος, ἐξ ὧν φησι, "τῷ πατρῴῳ Θεῷ λατρεύω," ὅτι εἰς τὸν Ἰησοῦν πιστεύει· ἀλλ' οὐκ ἄλλον σέβει Θεὸν, ἀλλὰ τὸν αὐτὸν ὄντα τῷ Πατρὶ τῷ ἐκ νόμου καὶ προφήτων κηρυχθέντι· καὶ ὅτι οἱ εἰς τὸν Χριστὸν πιστεύοντες, ὡς καὶ ὁ Παῦλος, δέχονται Μωσέως τὸν νόμον καὶ τοὺς προφήτας· καὶ βλέπε μὴ ἐκ τῆς τοῦ ῥητοῦ ἀκριβείας μόναις δεῖ ἐγκύπτειν ταύταις ταῖς βίβλοις,

εἰ μή τι γε καταχρηστικῶς, ὡς πάσης οὔσης παλαιᾶς γραφῆς θεοπνεύστου καὶ ὠφελίμου, δέξοιτό τις καὶ τὴν Ἐσθὴρ καὶ Ἰουδὴθ, καὶ τὴν Τωβὶ βίβλον.

Διδύμου. *Ἐπειδὴ μετὰ τὸ γενέσθαι Ἀπόστολον Ἰησοῦ ὁ Παῦλος ἑαυτὸν λέγει πιστεύειν τῷ πατρῴῳ Θεῷ καὶ τῷ νόμῳ καὶ τοῖς προφήταις, φανεροῖ ὡς ὅτι ἕνα οἶδε Θεὸν παλαιᾶς καὶ καινῆς διαθήκης· διὸ καὶ συμφωνεῖ Φαρισαίοις καὶ αὐτοῖς ἐλπίζουσι πάντων ἀνθρώπων ἀνάστασιν, δικαίων καὶ ἀδίκων· καὶ ἐπειδὴ τινὲς αἱρετικοὶ ἀνάστασιν λέγουσιν οὐ σώματος ἀλλὰ ψυχῆς ἐκκαθαιρομένης, πευστέον τί ἐροῦσι περὶ τῶν ἀνισταμένων ἀδίκων· τῶν ὄντων κατ᾽ αὐτοὺς χοϊκῶν, τῶν μὴ πεφυκότων καθαίρεσθαι· ὁ γὰρ Παῦλος εἶπεν ὅτι ἄδικοι ἀνίστανται· οὐκουν σωμάτων ἐστὶν ἡ δηλουμένη ἀνάστασις; εἶτα λέγουσι περὶ τῆς μεσότητος, ἣν καὶ ψυχικὴν φύσιν καλοῦσιν, ὅτι αὕτη ἡ μεσότης ὧδε ἔχει μετάπτωσιν, ὅπερ καλεῖται ἔγερσις, ὡς σημαίνει τὸ εἰρημένον ὀπίσω· "καὶ "ἀναστάντες τινὲς τῶν γραμματέων διεμάχοντο λέγοντες, οὐδὲν "κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ·" καὶ πάλιν λέγουσι τοὺς ἐγειρομένους πρεσβυτέρους ἐπὶ τῷ διεστραμμένα λαλεῖν· πρὸς οὓς ἐροῦμεν, ὅτι συνᾴδοντα ἡμῖν λαλεῖτε· καὶ γὰρ καὶ ἡμεῖς οὕτω δοξάζομεν, ὅτι ἑκάστη ψυχὴ ἐν μεσότητί ἐστι, καὶ ὅπου θέλει ῥέπει, ἢ εἰς ἀρετὴν ἢ εἰς κακίαν· καὶ τοῦτο ἐπὶ πάσης ἀνθρώπων ψυχῆς λέγομεν, ὅπερ αὐτοὶ ἐπὶ μόνης λέγουσιν εἶναι τῆς μεσότητος· κἂν τοίνυν ἀνίστασθαι τοὺς ἀδίκους λέγωσι τῷ ἀφίστασθαι ἀπὸ κακίας, καὶ εἰς ἀρετὴν ῥέπειν, ματαία εὑρίσκεται ἡ ἐλπὶς ἡ περὶ τῆς τοιαύτης ἀναστάσεως, ἣν λέγουσιν οὗτοι· ἑκάστοτε τῆς τοιαύτης ἀναστάσεως γινομένης· καθ᾽ ἡμέραν γάρ εἰσιν οἱ μετανοοῦντες· ἀλλ᾽ οὔτε μάχεται ὑμῖν, λέγουσι, πᾶσαν μετάπτωσιν προαιρετικῇ ῥοπῇ γίνεσθαι, οὐ μὴν φύσεως γίνεσθαι μεταβολὴν, τὸ τοὺς πρεσβυτέρους εἰς ἑτέραν μετατραπῆναι βούλησιν.*

Πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις,

Τοῦ Χρυσοστόμου. *Ἐχώριζον αὐτὸν ἐκεῖνοι· οὗτος συνεισάγει καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ.*

15 Ἐλπίδα ἔχων εἰς Θεὸν,

Τοῦ αὐτοῦ. Οὐκ εἶπε πιστεύουσι πᾶσι τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις· οὗτος γὰρ πᾶσιν ἐπίστευσεν, οὐκ ἐκεῖνοι· πῶς δὲ πᾶσι μακροῦ ἂν εἴη λόγου· καὶ οὐδαμοῦ τοῦ Χριστοῦ μέμνηται ἐνταῦθα· τὸ πιστεύειν εἰπὼν, καὶ τὰ κατὰ τὸν Χριστὸν εἰσήγαγεν· ἀλλὰ τέως τῷ τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ.

Ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων·

Σευήρου ἀρχιεπισκόπου ἐκ τοῦ κατὰ τῶν Κωδικέλλων Ἀλεξανδρείας. Μαρτυρεῖ ὁ Παῦλος, ὅτι πρὸς Ἰουδαίους οὐδαμῶς περὶ τοῦ κατὰ τὴν ἀνάστασιν τῶν σωμάτων διαφερόμεθα λόγου.

16 Ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν
ἔχων πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός.

Τοῦ Χρυσοστόμου. Ἡ τελεία αὕτη ἀρετὴ, ὅταν μηδὲ ἀνθρώποις δίδωμεν λαβὰς, καὶ παρὰ Θεῷ σπουδάζωμεν εἶναι ἀπρόσκοποι.

17 Δι' ἐτῶν δὲ πλειόνων ἐλεημοσύνας ποιήσων εἰς τὸ
ἔθνος μου παρεγενόμην καὶ προσφοράς·

Τοῦ αὐτοῦ. Πῶς οὖν ἂν ἐτάραξα, ὃς ὥστε ἐλεημοσύνην ποιῆσαι, τοσαύτην ἦλθον ὁδόν.

18 Ἐν αἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ
ὄχλου οὐδὲ μετὰ θορύβου,

Τοῦ Χρυσοστόμου. Πανταχοῦ τὴν στάσιν ἀναιρεῖ.

19 Τινὲς δὲ τῶν ἀπὸ τῆς Ἀσίας Ἰουδαίων, οὓς ἔδει ἐπὶ
20 σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με· ἢ
αὐτοὶ οὗτοι εἰπάτωσαν, τί εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου,

Τοῦ αὐτοῦ. Τοῦτο γὰρ περιουσία δικαιωμάτων, μὴ φεύγειν τοὺς κατηγόρους, ἀλλ' ἕτοιμον εἶναι πᾶσι διδόναι λόγον.

21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἐν αὐτοῖς
ἑστὼς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι ὑφ' ὑμῶν [d].

Τοῦ αὐτοῦ. Καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν

[d] ἡμᾶς Cod.

ἀνάστασιν ἐκήρυττον· τούτου γὰρ δειχθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο ὅτι ἀνέστη. Καὶ μετ' ὀλίγα—'Εν τῷ συνεδρίῳ, οὐχὶ κατ' ἰδίαν, ἀλλ' ἐξετάσεως γενομένης· ὅτι γὰρ ταῦτα ἀληθῆ λέγω, μαρτυροῦσιν οἱ περὶ τούτου ἐγκαλοῦντες.

22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπὼν, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς·

Τοῦ αὐτοῦ. *Τουτέστιν ἐπιτηδὲς ὑπερέθετο, οὐ δεόμενος μαθεῖν, ἀλλὰ διακρούσασθαι τοὺς Ἰουδαίους· ἀφεῖναι οὐκ ἤθελε δι' ἐκείνους· κολάσαι οὐκ ἦν δυνατὸν, ἀναίσχυντον γὰρ ἦν.*

Ἀμμωνίου. *Σημειωτέον ὅτι ᾔδει ὁ Φῆλιξ τὴν πίστιν ἀκριβῶς, κατηχηθεὶς ἐκ τῆς παλαιᾶς τὰ περὶ Χριστοῦ, καὶ κατὰ ἀνθρωπαρέσκειαν*[e] *οὐκ ἀπέλυε τὸν Παῦλον, ὡς παρακατιὼν ὁ λόγος φησί· "θέλων δὲ χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ·" ἔτι γε μὴν καὶ χρήματα ἐλπίζων λαμβάνειν διὰ τοῦτο παρ' αὐτοῦ· ᾔδει δὲ, ὡς ἔχων γυναῖκα Ἰουδαίαν, παρ' ἧς συνεχῶς ἤκουε ταῦτα.*

23 Διαταξάμενος τῷ ἑκατοντάρχῃ τηρεῖσθαι αὐτὸν, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ.

Τοῦ Χρυσοστόμου. *Καὶ οὗτος αὐτὸν ἀφῆκεν ἐγκλημάτων· ἀλλ' ἐκείνοις χαριζόμενος ἔτι κατεῖχεν· ἔτι δὲ καὶ προσδοκῶν χρήματα λήψεσθαι, μετεκαλεῖτο τὸν Παῦλον.*

24 Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ ἰδίᾳ γυναικὶ οὔσῃ Ἰουδαίᾳ,

Ἀμμωνίου. *"Σὺν Δρουσίλλῃ τῇ ἰδίᾳ γυναικί·" παρὰ τὸν νόμον αὐτῷ συνήφθη Ἰουδαῖα οὖσα Ἕλληνι· ἢ τάχα ἦν μὲν Ἰουδαῖα, γαμηθεῖσα δὲ αὐτῷ ἐγένετο Ἑλληνίς· διὸ καὶ ἐξέλεγεν αὐτῷ τὴν ἑαυτῆς πίστιν· ἢ οὖν Ἰουδαῖα ἦν καὶ ἔλεγεν, ἵνα καὶ μεταπείσῃ καὶ τὸν ἄνδρα· ἢ ὡς παραβᾶσα τὸν νόμον, καὶ εἰς τοῦτο παρέβη.*

Μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως.

[e] *ἀιθρωποπαρέσκειαν* Cod.

Τοῦ Χρυσοστόμου. *Σκόπει πῶς οὐ κρύπτει ἐνταῦθα τοῦ δικάστου τὴν γνώμην· καίτοι εἰ κατεγνώκει, οὐκ ἂν τοῦτο ἐποίησεν, οὐδ' ἂν ἀκοῦσαι ἠθέλησε παρὰ καταδίκου καὶ πονηροῦ. Καὶ ὅρα τὸν Παῦλον, καίτοι πρὸς ἄρχοντα διαλεγόμενον, μηδὲν τούτων λέγοντα ὧν εἰκὸς ἀνεῖναι αὐτοῦ τὴν ψυχὴν, ἀλλὰ "περὶ δικαιοσύνης," φησὶ, "καὶ τοῦ μέλλοντος κρίματος" καὶ ἀναστάσεως· καὶ τοσαύτη ἡ ἰσχὺς τῶν ῥημάτων ἦν, ὥστε καὶ φοβῆσαι τὸν ἄρχοντα.*

25 Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρα-
τείας καὶ τοῦ μέλλοντος κρίματος, ἔμφοβος γενόμενος
ὁ Φῆλιξ ἀπεκρίθη, τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ
26 μεταλαβὼν μετακαλέσομαί σε· ἅμα καὶ ἐλπίζων, ὅτι
χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ
αὐτόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος διε-
λέγετο αὐτῷ.

Τοῦ αὐτοῦ. *Ὁρᾷς πῶς τῆς ἀληθείας ἔχεται τὰ γραφόμενα· μετεπέμπετο αὐτὸν συνεχῶς· οὐχὶ θαυμάζων αὐτὸν, οὐδὲ ἐπαινῶν τὰ λεγόμενα, οὐδὲ πιστεῦσαι βουλόμενος· ἀλλὰ τί; προσδοκῶν χρήματα δοθήσεσθαι, φησὶν, αὐτῷ.*

Τοῦ αὐτοῦ. *Ὅρα τὴν πώρωσιν· τοιαῦτα ἀκούων, χρήματα προσεδόκει λήψεσθαι παρ' αὐτοῦ· καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ διαλεχθεὶς, πρὸς γὰρ τῷ τέλει τῆς ἀρχῆς ἦν, κατέλιπεν αὐτὸν δεδεμένον, ἵνα χαρίσηται τοῖς Ἰουδαίοις· ὥστε οὐ χρημάτων ἐρᾷ μόνον, ἀλλὰ καὶ δόξης· πῶς χρήματα, ὦ μιαρὲ, παρὰ ἀνθρώπου τὸ ἐναντίον κηρύττοντος ἐπιζητεῖς; ὅτι δὲ οὐκ ἔλαβε, δῆλον ἐξ ὧν εἴασε δεδεμένον· λύσας ἂν εἴπερ ἔλαβεν.*

ΚΕΦ. ΛϚ.

Περὶ τῆς Φήλικος διαδοχῆς καὶ τῆς Φήστου προαγωγῆς, τῆς τε ἐπ' αὐτοῦ ἀνακρίσεως Παύλου καὶ ἐφέσεως.

27 Διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ
Πόρκιον Φῆστον· θέλων τε χάριτας καταθέσθαι τοῖς
Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπε τὸν Παῦλον δεδεμένον.
1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη
2 εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. ἐνεφάνισαν δὲ αὐτῷ

οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύ-
3 λου, καὶ παρεκάλουν αὐτὸν, αἰτούμενοι χάριν παρ' αὐ-
τοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλὴμ, ἐνέ-
4 δραν ποιοῦντες τοῦ ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν
οὖν Φῆστος ἀπεκρίθη, τηρεῖσθαι τὸν Παῦλον ἐν Και-
σαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι·

Τοῦ Χρυσοστόμου. Οἰκονομικῶς δὲ ἀφίσταται τῶν Ἱεροσολύμων πρὸς τοιαῦτα θηρία ἔχων· καὶ ἀξίουσιν αὐτὸν ἀχθῆναι ἐκεῖ τὸν Παῦλον δικασόμενον· ἐνταῦθα λοιπὸν ὁ Θεὸς ᾠκονόμησεν, οὐκ ἐπιτρέπων τῷ ἄρχοντι· εἰκὸς γὰρ αὐτὸν νεωστὶ τῆς ἀρχῆς ἐπιβάντα καὶ θελῆσαι χαρίσασθαι· ἀλλ' οὐκ ἀφίησιν ὁ Θεός· ἐπειδὴ δὲ κατῆλθον, λοιπὸν ἀναισχύντως καὶ μειζόνως ἐποιοῦντο τὴν κατηγορίαν.

5 Οἱ οὖν ἐν ὑμῖν, φησὶ, δυνατοὶ συγκαταβάντες, εἴ τι
ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ ἄτοπον, κατηγορήτωσαν αὐτοῦ.
6 διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας οὐ πλείους ἐννέα ἢ δέκα,
καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ
7 βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. παραγενο-
μένου δὲ αὐτοῦ, περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων
καταβεβηκότες Ἰουδαῖοι,

Τοῦ Χρυσοστόμου. Εὐθέως ἐκάθισεν ἐπὶ τοῦ βήματος, μετὰ τοσαύτης σπουδῆς· οὕτως αὐτὸν ὤθουν, οὕτως αὐτὸν ἐπείγουσιν· ἕως μὲν οὐδέπω πεῖραν ἦν λαβὼν τῶν Ἰουδαίων καὶ τῆς τιμῆς παρ' αὐτῶν, ὀρθῶς ἀπεκρίνατο· ἐπειδὴ δὲ ἐγένετο ἐν τοῖς Ἱεροσολύμοις δέκα ἡμέρας, καὶ οὗτος χαρίζεται αὐτοῖς.

Πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύ-
8 λου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι· ἀπολογουμένου δὲ αὐτοῦ,
ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν,
οὔτε εἰς Καίσαρά τι ἥμαρτον.

Ἀμμωνίου. Ἰδοὺ μαρτυρία σαφὴς ὅτι ἐν πᾶσιν ἑαυτὸν ἀπρόσκοπον ὁ Παῦλος ἐφύλαττε· μήτε εἰς τὸν νόμον ἢ εἰς ἄνθρωπον, ἢ εἰς τὸ ἱερὸν ἁμαρτήσας, ἀντὶ τοῦ οὐδὲ τὰ ἐκ λίθων οἰκοδομήματα τῶν Ἰουδαίων ἐνύβρισε ποτὲ ὁ Παῦλος, καίπερ εἰδὼς καὶ κηρύσ-

σων, μὴ ἐν χειροποιήτοις τὸν ὕψιστον οἰκεῖν, ἀλλ' οὔτε ἱερέα ἐτόλμησεν ὑβρίσαι ἐν εἰδήσει Ἰουδαῖον, καίτοιγε μὴ πειθαρχῶν ἔτι τοῖς Ἰουδαίων ἀρχιερεῦσιν.

9 Ὁ Φῆστος δὲ θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε, θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ὑπ' ἐμοῦ;

Τοῦ Χρυσοστόμου. Διότι καὶ αὐτὸς τοῖς Ἰουδαίοις χαρίζεται, διωγμῷ ὁλοκλήρῳ καὶ πόλει· διὰ τοῦτο πάλιν αὐτὸν ἐφόβησαν, ἀνθρωπίνῳ χρησάμενος ὅπλῳ.

10 Εἶπε δὲ ὁ Παῦλος, ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις·

Ἀμμωνίου. "Καίσαρος ἑστώς εἰμι· οὗ με δεῖ κρίνεσθαι·" ἀντὶ τοῦ ἐν τῇ Ῥωμῇ θέλω ἀπελθεῖν παρὰ τῷ βασιλεῖ, κἀκεῖ δικάσασθαι ἐκκαλοῦμαί σε, φησίν.

11 Εἰ μὲν οὖν ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν·

Τοῦ Χρυσοστόμου. Δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο Καίσαρα· εἰ γὰρ οὐδὲν μὲν εἶχον δεινὸν εἰπεῖν, ἐκεῖνος δὲ ἐμεμήνεσεν, εἰκότως ἐπ' ἐκεῖνον ἔρχεται.

Εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται τούτοις χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι.

Τοῦ αὐτοῦ. Εἴποι ἄν τις τίνος ἕνεκεν ἀκούσας "ὅτι καὶ ἐν "Ῥώμῃ δεῖ σε μαρτυρῆσαι τὰ περὶ ἐμοῦ," ὡς ἀπιστῶν ταῦτα ποιεῖ; μὴ γένοιτο, ἀλλὰ καὶ ὡς σφόδρα πιστεύων· ἐπεὶ πειράζοντος ἦν τὸ θαρρεῖν ἐκείνῃ τῇ ἀποφάσει, καὶ εἰς μυρίους ἑαυτὸν ἐπιβάλλειν κινδύνους, καὶ λέγειν· εἰδῶμεν, εἰ δύναται ὁ Θεὸς καὶ οὕτως ἐξελεῖν με· ἀλλ' οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλὰ τὰ καθ' ἑαυτὸν πάντα εἰσφέρει, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ.

Ἀνίεται μὲν τέως τοῦ κριτηρίου· ἀργεῖ δὲ ἡ κατ' αὐτοῦ τοῖς Ἰουδαίοις μελετωμένη ἐπιβουλή.

12 Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου,
ἀπεκρίθη, Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ.
13 ἡμερῶν δὲ διαγενομένων, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερ-
νίκη κατήντησαν εἰς Καισάρειαν, ἀσπασόμενοι τὸν
Φῆστον.

Τοῦ Χρυσοστόμου. *Ἀνακοινοῦται πάλιν τῷ Ἀγρίππᾳ, ὥστε καὶ ἑτέρους γενέσθαι πάλιν ἀκροατὰς, καὶ τὸν βασιλέα καὶ τὸν στρατηγὸν, καὶ τὴν Βερνίκην.* Καὶ μετ' ὀλίγα—*Ὅρα πάλιν ἐκτεινομένην αὐτοῦ τὴν δίκην, καὶ τὴν ἐπιβουλὴν ἀφορμὴν τοῦ κηρύγματος γενομένην· ὥστε μετὰ εὐκολίας καὶ φυλακῆς ἀπενεχθῆναι εἰς Ῥώμην, ὑπὸ μηδενὸς ἐπιβουλευόμενον· οὐ γὰρ ἦν ἴσον ἁπλῶς παραγένεσθαι καὶ ἐπὶ αἰτίᾳ τοιαύτῃ· τοῦτο γὰρ καὶ συνελθεῖν ἐποίησεν Ἰουδαίους ἐκεῖ.*

Τοῦ Χρυσοστόμου. *Ἀγρίππας δὲ οὗτος ὁ καὶ Ἡρώδης, ἕτερος ἦν μετ' ἐκεῖνον τὸν ἐπὶ Ἰακώβου, ὡς εἶναι τέταρτος οὗτος.*

Ἀμμωνίου. *Ἢ εἰς τάξιν βασιλέως κατήει ἐν ταῖς ἐπαρχίαις ὁ Ἀγρίππας, καὶ διὰ τοῦτο καὶ βασιλεὺς ἐχρημάτιζεν· ἢ καὶ τάχα βασιλεὺς ἦν καὶ αὐτὸς τῶν ἀνατολικῶν μερῶν· τοῦ Νέρωνος τῶν δυτικῶν ἄρχοντος καὶ ὄντος ἐν Ῥώμῃ· τὸ γὰρ Καίσαρ ὄνομα Ῥωμαϊστὶ βασιλέα σημαίνει, ὡς κοινῷ ὀνόματι πάντας βασιλεῖς Ῥωμαίων Καίσαρας μὲν καλεῖσθαι, καθὸ βασιλεῖς· οὐ μὴν καὶ ἰδικὰ αὐτῶν εἶναι ὀνόματα ταῦτα· τοῦτο δὲ εἶπον, ἵνα μήτις ἐκ τῆς ὁμωνυμίας τοῦ καθολικοῦ ὀνόματος νομίσῃ, ὅτι ἐπὶ τοῦ αὐτοῦ βασιλέως καὶ ὁ Κύριος ἡμῶν ἐτέχθη, καὶ ὁ Παῦλος ἔπαθεν· ἐτέχθη μὲν γὰρ ὁ Κύριος, καθὼς οἱ χρόνοι δηλοῦσιν, ἐπὶ Αὐγούστου Καίσαρος· ἀπέθανε δὲ μετὰ τριάκοντα δύο ἔτη ἐπὶ Τιβερίου Αὐγούστου· ὁ δὲ Παῦλος ἀπέθανεν ἐπὶ Νέρωνος μετὰ εἰκοστὸν δεύτερον ἔτος τοῦ θανάτου τοῦ Κυρίου. μᾶλλον δὲ καὶ ὁ Ἡρώδης ὡς ὁ Ἀγρίππας ἐν τάξει βασιλέως κατῆλθε· διὸ καὶ αὐτὸς ἐκαλεῖτο βασιλεύς.*

14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ
βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων, ἀνήρ τίς
15 ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ,
γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς

καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ
16 *δίκην· πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥω-*
μαίοις χαρίζεσθαι τινὰ ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ
ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους,
τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.

Ἀμμωνίου. *Ὥστε οὖν ὁ Πίλατος χαρισάμενος τὸν Ἰησοῦν τοῖς Ἰουδαίοις, ἵνα αὐτὸν ἀνέλωσιν, δῆλος ἦν μιαιφονικῇ ψυχῇ τοῦτο ποιήσας, ὅπου γε οὐ μόνον τὸ τοῦ Θεοῦ ὑπερεῖδε κρίμα εἰς τοῦτο, ἀλλὰ καὶ τὸν τῶν Ῥωμαίων νόμον κατεπάτησε, καὶ τῶν θεσμῶν ὑπερεφρόνησε τοῦ βασιλέως· ἵνα αἷμα ἀθῶον παραδοὺς εἰς θάνατον ἀρέσῃ τοῖς φονεύταις, κἂν παρανομίας ἤμελλε κρίνεσθαι παρὰ τοῦ Ῥωμαίων βασιλέως· παρ' οὗ ἦν καὶ ἐκπεμφθεὶς ἄρξαι τῶν τῆς Ἱερουσαλὴμ ὅρων.*

17 *Συνελθόντων οὖν ἐνθάδε αὐτῶν, ἀναβολὴν μηδεμίαν*
ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέ-
18 *λευσα ἀχθῆναι τὸν ἄνδρα· περὶ οὗ σταθέντες οἱ κατή-*
γοροι, οὐδεμίαν αἰτίαν ἔφερον, ὧν ὑπενόουν ἐγὼ, πονηράν·

Τοῦ Χρυσοστόμου. *"Οὐδεμίαν αἰτίαν ἔφερον" κατ' αὐτοῦ· καὶ μὴν ἔφερον, ἀλλ' οὐκ ἤλεγξαν· ἡ μὲν γὰρ ἐπιβουλὴ καὶ τὸ τόλμημα τοῦτο ὑποπτεύειν ἐδήλου· ἡ δὲ ἐξέτασις οὐδὲν τοιοῦτον.*

19 *Ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον*
πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος,

Τοῦ αὐτοῦ. *Εἰκότως περί τινος λέγει· ἄνθρωπος ἐν ἀρχῇ ὢν καὶ τούτων οὐ φροντίζων.*

Ὃν ἔφασκεν ὁ Παῦλος ζῇν.

Τοῦ αὐτοῦ. *Εἰκότως ὑπερέβαινεν ἀκοὰς δικαστοῦ ἡ περὶ τούτων ζήτησις.*

20 *Ἀπορούμενος δὲ ἐγὼ εἰς τὴν περὶ τούτων ζήτησιν,*
ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱεροσόλυμα, κἀκεῖ
21 *κρίνεσθαι περὶ τούτων. τοῦ δὲ Παύλου ἐπικαλεσαμένου*
τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέ-
λευσα τηρεῖσθαι αὐτὸν, ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς
Καίσαρα.

Ἀμμωνίου. Σεβαστὸν καταχρηστικῶς τὸν βασιλέα καλεῖ, ὥσπερ καὶ Καίσαρα· ὃν καὶ παρακατιὼν καὶ Κύριον καλεῖ.

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη, ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δέ, φησιν, αὔριον ἀκούσῃ αὐτοῦ.

Ὅρα τοὺς ἐχθροὺς συμπράττοντας ἄκοντας ὥστε μέγα γενέσθαι τὸ ἀκροατήριον· εἰς ἐπιθυμίαν ἐνέπεσεν ὁ Ἀγρίππας τῆς ἀκροάσεως, καὶ οὐχ ἁπλῶς ἀκούει, ἀλλὰ μετὰ παρασκευῆς· καὶ ὅρα ἀπολογίαν· οὕτως γράφει Φῆστος, καὶ ἐκπομπεύεται ἡ ὠμότης ἡ Ἰουδαϊκή· ὅταν γὰρ ταῦτα ὁ ἄρχων λέγῃ, ἀνύποπτός ἐστιν, ὥστε καὶ παρ' αὐτοῦ καταγνωσθῆναι τοὺς Ἰουδαίους· μετὰ γὰρ τὸ πάντας αὐτῷ καταπεφήνασθαι, τότε ἐπάγει τὴν κόλασιν ὁ Θεός· κατέγνω Φῆλιξ, κατέγνω Φῆστος, καίτοι χαριζόμενος αὐτοῖς, κατέγνω Ἀγρίππας· τί λοιπόν; κατέγνωσαν ἑαυτῶν οἱ Φαρισαῖοι.

ΚΕΦ. ΛΖ.

Ἀγρίππα[f] καὶ Βερνίκης παρουσία καὶ πεῦσις τῶν κατὰ Παῦλον.

23 Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντες εἰς τὸ ἀκροατήριον, σύν τε τοῖς χιλιάρχοις καὶ ἄνδρασι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως,

Τοῦ Χρυσοστόμου. Ὅρα οἷον ἀκροατήριον συλλέγεται ἐν τῷ Παύλῳ, "τοῖς κατ' ἐξοχήν," φησι, "τῆς πόλεως·" τοὺς δορυφόρους πάντας συναγαγὼν ὁ ἄρχων, καὶ ὁ βασιλεὺς καὶ οἱ χιλίαρχοι παραγεγόνασιν· εἶτα ἀχθέντος τοῦ Παύλου, ὅρα πῶς ἀνακηρύττεται.

24 Καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος. καί φησιν ὁ Φῆστος, Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ παρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι, ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι.

Τοῦ Χρυσοστόμου. Καὶ γίνεται λαμπρότερος ὁ Παῦλος· τοιαῦται γάρ, ὅπερ ἔφην, αἱ ἐπιβουλαί· εἰ μὴ ταῦτα ἦν, οὐδεὶς ἂν

[f] ἀγρίππου Cod.

τούτων κατηξίωσεν ἐπακοῦσαι αὐτοῦ τῶν ἀρχόντων· οὐδεὶς ἂν μετὰ τοσαύτης ἡσυχίας καὶ σιγῆς· καὶ δοκεῖ μὲν διδάσκειν, καὶ δοκεῖ ἀπολογεῖσθαι· δημηγορεῖ δὲ μᾶλλον μετὰ πολλῆς τῆς εὐταξίας. Καὶ *μετ' ὀλίγα—Σκόπει πῶς ἐκείνων μὲν κατηγορεῖ, τοῦτον δὲ ἀφίησιν· ὢ τῆς τῶν δικαιωμάτων περιουσίας· ὅπως καταδικάσει οὐχ εὑρίσκει ὁ ἄρχων, τοσαύτης γενομένης ἐξετάσεως· τοῦτον ἄξιον θανάτου ἔφασκον εἶναι.*

25 Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν
πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν
Σεβαστὸν, ἔκρινα πέμπειν.

Τοῦ αὐτοῦ. "Ἀχθέντος *τοῦ* Παύλου." *ὅρα πῶς ἀνακηρύττεται· ἀφίησιν αὐτὸν τῶν ἐγκλημάτων· πᾶν τὸ πλῆθος τῶν* Ἰουδαίων *παρῆσαν· οὐχ οἱ μὲν, οἱ δὲ οὔ· ἐπέστησαν οἱ* Ἰουδαῖοι *λοιπὸν, τῇ ἐφέσει χρησάμενοι ἐκείνου· καὶ τότε ἑαυτῷ λαμπρότερον γίνεται τὸ θέατρον· δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο* Καίσαρα.

Ἀμμωνίου. Τέως *αὐτὸς ὁ δικαστὴς μαρτυρεῖ αὐτῷ ὅτι ἀνεύθυνος ἦν· πλὴν ὅμως οὐκ ἀπέλυσεν αὐτὸν, τάχα οὕτως οἰκονομήσαντος τοῦ* Κυρίου, *ἵνα ἐκκαλέσηται, καὶ ἀνάγκῃ τῆς ἐκκλήτου πεμφθῇ εἰς* Ῥώμην, *καὶ πληρωθῇ τὸ προφητευθὲν ὑπ' αὐτοῦ. "ὅτε "δεῖ με καὶ* Ῥώμην *ἰδεῖν."*

26 Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ Κυρίῳ μου οὐκ ἔχω·
διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ,
βασιλεῦ Ἀγρίππα,

Τοῦ Χρυσοστόμου. Καὶ *τοῦτο ἦν τῆς* Παύλου *καθαρότητος, τὸ μηδὲν ἔχειν τὸν δικαστὴν ὅτι εἴπῃ περὶ αὐτοῦ.*

Ὅπως τῆς ἀνακρίσεως γινομένης σχῶ τι γράψαι.
27 ἄλογον γάρ μοι δοκεῖ, πέμποντα δέσμιον, μὴ καὶ τὰς
1 κατ' αὐτοῦ αἰτίας σημᾶναι. Ἀγρίππας δὲ πρὸς τὸν Παῦ-
λον ἔφη, ἐπιτρέπεταί σοι περὶ σεαυτοῦ λέγειν.

Τοῦ αὐτοῦ. Ὅρα *πῶς βασανίζεται πολλάκις τὸ πρᾶγμα· καὶ τῆς ἀλογίας ταύτης* Ἰουδαῖοι *αἴτιοι, ἣν ἔμελλον μανθάνειν καὶ οἱ ἐν τῇ* Ῥώμῃ· *ὅρα πῶς κήρυκες ἄκοντες καὶ τῆς οἰκείας γίνονται κακίας, καὶ τῆς* Παύλου *ἀρετῆς, καὶ αὐτῷ τῷ κρατοῦντι· ὥστε*

λαμπρότερον ἀπήγετο Παῦλος, ἢ εἰ χωρὶς δεσμῶν ἀπῆλθεν· οὐκέτι γὰρ ὡς πλάνος καὶ γόης, τοσούτων αὐτὸν ἀφέντων δικαστῶν, ἀπήγετο· πάντα τοίνυν ἀποδυσάμενος, παρ' οἷς ἐτράφη καὶ ἐτέχθη, καὶ οὐχ ἁπλῶς, οὕτως καθαρὸς ὑποψίας ἐπιβαίνει τῇ Ῥώμῃ.

* Παύλου ἀπολογία ἐπ' αὐτῶν περὶ τῆς ἐν νόμῳ θρησκείας αὐτοῦ καὶ κλήσεως εἰς τὸ Εὐαγγέλιον.

Τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο οὕτως,

Τοῦ Χρυσοστόμου. Οὐκ εἶπε, τί δὴ τοῦτο; ἃ ἐπεκαλεσάμην Καίσαρα, μυριάκις ἐκρίθην· μέχρι πότε; ἀλλὰ τί; πάλιν ἕτοιμος ἐγένετο δοῦναι εὐθύνας, καὶ ἐπὶ τοῦ μάλιστα εἰδότος· καὶ μετὰ πολλῆς τῆς παρρησίας, οἷά τε οὐκ ὄντων κυρίων, ἀλλὰ τῆς ἀποφάσεως ἐκείνης κρατούσης, ὅτι πρὸς Καίσαρα πορεύσῃ· δίδωσι λόγον καὶ πολλὰς τὰς εὐθύνας περὶ πάντων, οὐ περὶ τῶν μὲν, περὶ τῶν δὲ οὔ.

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλλων σήμερον ἀπολογεῖσθαι·

Τοῦ αὐτοῦ. Ταῦτα δὲ ἔλεγεν οὐ κολακεύων αὐτὸν, ἄπαγε· ἀλλὰ διὰ τῆς ἡμερότητος κερδάναι βουλόμενος· καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλε ὁ τέως κατάδικος εἶναι νομιζόμενος· καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ, παρόντων ἁπάντων λέγων, "ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι."

3 Μάλιστα ἐπιστάμενος γνώστην σε ὄντα πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων.

Τοῦ αὐτοῦ. Καίτοι γε εἰ συνῄδει ἑαυτῷ, φοβηθῆναι ἐχρῆν, παρὰ τῷ πάντα εἰδότι δικαζόμενον· ἀλλὰ καθαροῦ συνειδότος τοῦτό ἐστι, μὴ παραιτεῖσθαι δικαστὴν τὸν ἀκριβῶς εἰδότα τὰ γεγενημένα, ἀλλὰ καὶ χαίρειν καὶ μακάριον ἑαυτὸν λέγειν.

Διὸ δέομαι μακροθύμως ἀκοῦσαί μου.

Τοῦ αὐτοῦ. Ἐπειδὴ μέλλει λόγον ἐκτείνειν καὶ λέγειν τι περὶ ἑαυτοῦ, διὰ τοῦτο προλαβὼν παρεκάλεσεν.

Οὐ λέγει ποταπὸς αὐτοῦ ὁ βίος, ἀλλ' ἀφίησιν αὐτὸν τῷ συν-

ειδότι, καὶ τὸ πᾶν ἐν τῇ αἱρέσει τίθησιν· οὐκ ἂν ἑλόμενος αὐτὴν, εἰ μοχθηρὸς ἦν καὶ πονηρός.

4 Τὴν μὲν οὖν βίωσίν μου ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς
γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάν-
5 τες οἱ Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι
μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμε-
τέρας θρησκείας ἔζησα Φαρισαῖος·

Ἀμμωνίου. Ἀντὶ τοῦ ἴσασι τὸ ἀληθὲς, ἀλλ' οὐ θέλουσιν εἰπεῖν, ἑκουσίᾳ γνώμῃ ψευδόμενοι καὶ ἁμαρτάνοντες, οὐκ ἐκ φύσεως ἔχοντες. τοῦτο ἁρμόζει κατὰ Μανιχαίων, ἤτοι τῶν ἀστρολογίαις καὶ τύχῃ καὶ εἱμαρμένῃ τὰ πρακτέα ἀνατιθέντων, καὶ τὸ τῶν ἀνθρώπων αὐτεξούσιον ἀναιρούντων· σημειωτέον δὲ ὅτι καὶ οἱ Φαρισαῖοι αἱρετικοὶ, εἰ καὶ ἀκριβέστερον τῶν ἄλλων αἱρέσεων τῶν Ἰουδαϊκῶν τὰς γραφὰς ἀνακρίνουσιν· ἀκριβῶς δὲ εἶπε καὶ οὐκ ἀληθῶς· οὐ γὰρ εἶχον τὴν ἀληθῆ τῶν γραφῶν γνῶσιν· ἡ οὖν ἀκρίβεια λεπτολογεῖ καὶ συλλογίζεται· οὐ μὴν ὅτι πάντως γινώσκει τὸ ὂν, ἀλλ' ἔστιν ὅτε καὶ φρεναπατᾷ τις ἑαυτόν.

6 Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἡμῶν
ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος,
7 εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν, ἐν ἐκτενίᾳ νύκτα καὶ ἡμέ-
ραν λατρεῦον, ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγ-
8 καλοῦμαι, ὑπὸ Ἰουδαίων. τί; ἄπιστον κρίνεται παρ'
ἡμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;

Δύο τίθησι περὶ ἀναστάσεως λογισμούς· ἕνα μὲν τὸν ἀπὸ προφητῶν, καὶ οὐ παράγει προφήτην, ἀλλ' αὐτὴν τῶν Ἰουδαίων τὴν δόξαν· ἄλλον δὲ τὸν ἰσχυρότερον τὸν[f] ἀπὸ πραγμάτων, ὅτι διελέχθη αὐτῷ ὁ Χριστὸς, καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν προτέραν αὐτοῦ μανίαν διηγούμενος ἀκριβῶς· εἶτα καὶ μετ' ἐγκωμίου τῶν Ἰουδαίων· "νύκτα καὶ ἡμέραν," φησὶ, "λατρεῦον[g], "ἐλπίζει καταντῆσαι·" ὥστε εἰ καὶ μὴ ἀλήπτου βίου ἤμην ὑπὲρ τούτων, οὐκ ἔδει κρίνεσθαί τι ἄπιστον, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει. Καὶ ἄλλος λογισμός· εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν· εἰ γὰρ μὴ

[f] τῶν Cod. [g] λατρεύων Cod.

ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, νῦν δὲ εἰσεφέρετο, τίς οὐκ ἂν ἐδέξατο τὸν λόγον; ὑπὲρ τῆς αἱρέσεως ταύτης, φησὶν ἐγκαλοῦμαι, καὶ αὐτὴ παρ' αὐτοῖς πρεσβεύεται· διὰ ταύτην ηὔχοντο, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι· ταύτην ἐγὼ καταγγέλλω.

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τοῦ κατὰ τῶν κωδικέλλων[h] Ἀλεξανδρείας. Οὐ γὰρ ἐπειδὴ τὸν Χριστὸν ἐσταύρωσαν καὶ τὸ Εὐαγγέλιον οὐκ ἐδέξαντο, ἤδη που καὶ τὰ ἐκ τῶν πατέρων καὶ προφητῶν διὰ μέσων αὐτῶν καταβάντα διωθησόμεθα· καὶ τῶν τηλικούτων ἀγαθῶν ξενοὺς ἑαυτοὺς καταστήσομεν. Καὶ μετ' ὀλίγα—Ἀκούεις ὅπως ἐν τούτοις οὐκ ἐρυθριᾷ Παῦλος περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως τὴν αὐτὴν ἔχειν ἐλπίδα τοῖς Ἰουδαίοις ὁμολογῶν· ἥντινα καὶ πρὸς τοὺς πατέρας ἐπαγγελίαν ἐκάλεσε τοῦ Θεοῦ, ὡς οὐκ Ἰουδαίων, ἀλλὰ τὴν ὑπάρχουσαν.

9 Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ
10 τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι· ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις· καὶ πολλοὺς δὲ τῶν ἁγίων ἐγὼ ἐν φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τὲ αὐτῶν, κατήνεγκα ψῆφον.
11 καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον βλασφημεῖν· περισσῶς τὲ ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον καὶ εἰς τὰς ἔξω πόλεις.

Τοῦ Χρυσοστόμου. Λέγει πῶς ἐδίωκε· καὶ τοῦτο δὲ κατασκευαστικόν· καὶ τοὺς ἱερεῖς παράγει μάρτυρας, καὶ "τὰς ἔξω "πόλεις·" καὶ ὅτι ἤκουσε λέγοντος αὐτῷ "σκληρὰ λακτίζειν·" καὶ δείκνυσι τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι ὁ διωκόμενος ὤφθη αὐτῷ· οὐ γὰρ ἐμὲ μόνον εὐηργέτησεν, ἀλλὰ καὶ ἑτέροις ἔπεμψε διδάσκαλον· καὶ δεικνὺς τὴν προφητείαν ἐξελθοῦσαν τὴν λέγουσαν, "ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν." "ἐγὼ μὲν οὖν "ἔδοξα ἐμαυτῷ," τουτέστιν ἔκρινα "πολλὰ ἐναντία πρᾶξαι·" οὐκ ἤμην τῶν μαθητῶν τοῦ Χριστοῦ· τῶν πολεμούντων αὐτῷ ἤμην· ὅθεν καὶ ἀξιόπιστος γίνεται μάρτυς, ὅτι μυρία ποιῶν καὶ πολεμῶν καὶ ἀναιρῶν τοὺς πιστεύοντας καὶ πείθων βλασφημεῖν, καὶ πάντα

[h] κωδικίλαν Cod.

κινῶν πόλεις καὶ ἄρχοντας· δι' ἑαυτοῦ ταῦτα πράττων, οὕτως ἐξαίφνης μεταβέβληται· εἶτα πάλιν οἱ μάρτυρες οἱ συνόντες· εἶτα δείκνυσιν ἑαυτὸν δικαίως πεισθέντα, καὶ οὐκ ἀπατηθέντα, ἀπὸ τοῦ φωτὸς, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῶν ἐκβάσεων, ἀπό τε τῶν νῦν γεγενημένων. ὅρα γοῦν πῶς ἀπὸ προφητῶν καὶ ἀπὸ τούτων αὐτοὺς πιστοῦται· ἵνα γὰρ μὴ δόξῃ καινοτομεῖν, καίτοι γε ἔχων μεγάλα εἰπεῖν, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει, καὶ τοῦτο μέσον τίθησι· τοῦτο μὲν οὖν ἀξιοπιστότερον, ἅτε νῦν γενόμενον· ἀλλ' ἐπειδὴ μόνος εἶδε, πάλιν αὐτὰ ἀπὸ προφητῶν πιστοῦται. Καὶ *ὅρα αὐτὸν οὐχ ὁμοίως διαλεγόμενον ἐν δικαστηρίῳ καὶ ἐν ἐκκλησίᾳ· ἐκεῖ μὲν οὖν λέγει, ὅτι καὶ ἀνείλετε· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ὥστε μὴ πλέον ἐκκαῦσαι τὸν θυμόν· ἀλλὰ τὸ αὐτὸ δείκνυσιν εἰπὼν, εἰ παθητὸς ὁ* Χριστὸς, *οὕτως ἀφίησιν αὐτὸν ἐγκλημάτων· ὅτι καὶ οἱ προφῆται, φησὶ, τοῦτο λέγουσιν, οὐκοῦν δέξασθε. καὶ τὸ λοιπὸν, ἐπειδὴ εἶπε τὴν ὄψιν, λοιπὸν μετ' ἀδείας καὶ τὰ κατορθώματα λέγει.*

Ἀμμωνίου. "Ἐγὼ *μὲν οὖν ἔδοξα ἐμαυτῷ" ἐνόμισα ἐξ οἰκείας ἐπικρίσεως τοῦτο οὕτω δεῖν γενέσθαι· "περισσῶς τε ἐμμαινόμενος," ἄτοπα τινὰ ἐποίουν, ἅπερ οἱ πάνυ μεμηνότες ἐποίουν· ἢ τάχα καὶ περισσότερον ἐγὼ ἐκείνων ἐμαινόμην, ἐπείπερ ἑκὼν ἔπραττον τὸ κακόν.*

12 Ἐν οἷς πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας
καὶ ἐπιτροπῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης, κατὰ
13 τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρό-
τητα τοῦ ἡλίου, περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ
14 πορευομένους. πάντων τε καταπεσόντων ἡμῶν εἰς τὴν
γῆν, ἤκουσα φωνὴν λέγουσαν πρός με τῇ Ἑβραΐδι δια-
λέκτῳ, Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς
κέντρα λακτίζειν.

Τοῦ αὐτοῦ. "Εἶδον *ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου," τῶν αἰσθητῶν τὸ φωτεινότερον παράγων, καὶ μὴ δυνάμενος ἀντισῶσαι τῷ φωτὶ ἐκείνῳ τὸ τοῦ* Ἰησοῦ *φῶς, καθὼς δύναται παραδέξασθαι ἀκοῇ ἀνθρώπου λαβεῖν· ὑπερνικᾶν τὸ ἡλιακὸν φῶς ἐκεῖνο φήσας "ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν," τῷ ἐθνικῷ διαλεγόμενος, κηρύξαι τε αὐτῷ πρῶτον ἀνάστασιν νεκρῶν, ἐπιφέρει, καὶ τὸ δεῖν πιστεύειν*

τῷ μόνῳ Θεῷ, ἀποστάντα τινὰ τῆς τοῦ Σατανᾶ πλάνης· ἀφίσταται δὲ, εἰ τοῖς λόγοις τοῖς τῶν εὐαγγελιζομένων πεισθῇ τις· εἶτα καταλέγει καὶ τὰ τῶν πιστῶν ἀγαθὰ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ μετὰ τῶν ἁγίων ἐγκαταλεγῆναι.

15 Ἐγὼ δὲ εἶπον, τίς εἶ, Κύριε; ὁ δὲ Κύριος εἶπεν, ἐγὼ
16 εἰμὶ Ἰησοῦς, ὃν σὺ διώκεις· ἀλλ' ἀνάστηθι, καὶ στῆθι
ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην προχειρί-
σασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε
ὀφθήσομαί σοι,

Τοῦ Χρυσοστόμου. *Τούτοις ἐπείσθην, φησὶ, ταύτῃ τῇ ὀπτασίᾳ με ἐπηγάγετο, καὶ οὕτως ἔπεισε μὴ ἀναβάλλεσθαι.*

17 Ἐξαιρούμενός σε, ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς
18 οὓς ἐξαποστελῶ σε, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπι-
στρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ ἀπὸ τῆς ἐξουσίας τοῦ
Σατανᾶ ἐπὶ τὸν Θεὸν,

Τοῦ Χρυσοστόμου. *Τὰ συνέχοντα κακὰ τοὺς ἀπίστους δείκνυσι τὸν Σατανᾶν, τὸ σκότος· τὰ ἀγαθὰ τῶν πιστῶν, τὸ φῶς, τὸν Θεὸν, τὸν κλῆρον τῶν ἁγίων· οὐχ ἁπλῶς μετανοεῖν παραινεῖ, ἀλλὰ καὶ βίον ἐπιδείκνυσθαι θαυμαστόν· καὶ ὅρα πανταχοῦ τὰ ἔθνη συμπλεκόμενα τῷ λαῷ· οἱ γὰρ παρόντες ἐξ ἐθνῶν ἦσαν.*

Τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν
19 τοῖς ἡγιασμένοις τῇ πίστει τῇ εἰς ἐμέ. ὅθεν, βασιλεῦ
Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ,
20 ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ ἐν Ἱεροσολύμοις,
εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν,
ἀπήγγελλον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν ζῶντα
Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

Τοῦ αὐτοῦ. *Ὁ τοίνυν καὶ τοὺς ἄλλους παιδεύων περὶ βίου ἀρίστου, πῶς ἂν αὐτὸς στάσεως καὶ φιλονεικίας ἀρχηγὸς γέγονα;*

Ἀμμωνίου. *Ὁ Παῦλος κηρύξας δι' ὧν κρίνεται τὴν πίστιν, ἐπὶ τέλει τοῦ λόγου, φησὶ, τῷ λαῷ καὶ τοῖς ἔθνεσιν· ἵνα καὶ τὸν*

Ἀγρίππαν καὶ τοὺς σὺν αὐτῷ προτρέψηται ἐθνικοὺς, καὶ τοὺς ὅσοι παρῆσαν Ἰουδαῖοι. Καὶ πάλιν, "ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγε-"νόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·" ὥσπερ οὖν ἐγὼ ἐπίστευσα, οὕτω δεῖ καὶ τὸν ἀκούοντά μου, πιστεῦσαί μοι· οὐ γὰρ ἀκοὴν ἀπαγγέλλω λόγων ἑτέρων, ἀλλ' ὧν ἐγὼ ἤκουσα καὶ εἶδον ἐξ οὐρά-νου· κατὰ ὀπτασίαν δέ ἐστιν ἡ καθαρὰ θέα, ἡ ὑπερβαίνουσα ἄν-θρωπον· ἅπερ τις ἐν σαρκὶ, δίχα τοῦ ἀποκαλυφθῆναι αὐτοῦ τοὺς ὀφθαλμοὺς, οὐκ ἔστιν ἰδεῖν δυνατός.

21 Ἕνεκα τούτων Ἰουδαῖοί με συλλαβόμενοι ὄντα ἐν τῷ
22 ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν
τῆς ἀπὸ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα,
μαρτυρόμενος μικρῷ τὲ καὶ μεγάλῳ,

Τοῦ Χρυσοστόμου. Ὅρα πως ἐκτὸς κολακείας ἐστὶν ὁ λόγος αὐτοῦ· καὶ τὸ πᾶν ἐπιγράφει τῷ Θεῷ· εἶτα ἡ παρρησία· ἀλλ' οὐδὲ νῦν ἀφίσταμαι, καὶ τὸ ἀσφαλὲς ἀπὸ προφητῶν γὰρ ἰσχυρί-ζομαι, "εἰ παθητὸς ὁ Χριστός·" εἶτα ἡ ἀνάστασις καὶ ἡ ἐπαγ-γελία· εἶδε τὴν παρρησίαν ὁ Φῆστος, καὶ τί φησιν; ἐπειδὴ ἀεὶ πρὸς τὸν βασιλέα διελέγετο, ὥσπερ ἔπαθέ τι, καὶ φησὶ πρὸς αὐ-τὸν, "μαίνῃ Παῦλε," καὶ τὰ ἑξῆς.

Οὐδὲν ἐκτὸς λέγων ὧν τὲ οἱ προφῆται ἐλάλησαν
23 μελλόντων γίνεσθαι, καὶ Μωυσῆς, εἰ παθητὸς ὁ Χρι-
στὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως[h] νεκρῶν φῶς μέλλει
καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

Τοῦ Χρυσοστόμου. Ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι, τοὺς προφήτας ἐπάγει, τὸν Μωσέα λέγοντα, "εἰ παθητὸς ὁ Χριστὸς, "εἰ πρῶτος ἐξαναστάσεως."

Ὅτι μὲν οἱ προφῆται ἐλάλησαν περὶ τοῦ πάθους Χριστοῦ, περιττὸν τὰ πᾶσι πρόδηλα λέγειν· ὅτι δὲ καὶ Μωσῆς, δῆλον ἐκ τοῦ εἰπεῖν αὐτὸν ὡς ἐκ προσώπου τοῦ Ἰούδα, "ὡς λέων ἀναπεσὼν "ἐκοιμήθη, καὶ ὡς σκύμνος λέοντος· τίς ἐγερεῖ αὐτόν;" σαφῶς γὰρ τὸν θάνατον τοῦ Χριστοῦ καὶ τὴν ἀνάστασιν σημαίνει, καὶ μὴν καὶ τὸ πάθος δι' ὧν πάλιν φησὶν, "ὄψεσθε τὴν ζωὴν ὑμῶν κρε-"μαμένην ἐπὶ ξύλου ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν."

[h] ἐξαναστάσεως Cod.

Διδύμου. Ὁ βουλόμενος ἀποδεικνύναι πῶς Μωϋσῆς οἶδε τὸ πάθος καὶ τὴν ἀνάστασιν τοῦ Χριστοῦ· ἀλλὰ πῶς φωτίσει τὸν λαὸν καὶ τὰ ἔθνη, συγχρήσεται τῇ πρὸς Ἰούδαν εὐλογίᾳ ἀναφερομένῃ ἐξ ὅλων εἰς τὸν Χριστὸν, ἧς ἐν μέρει κεῖται· "σκύμνος "λέοντος Ἰούδα ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν ἐκοιμή- "θης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;" Καὶ μεθ' ἕτερα—Καὶ αὐτὸς προσδοκία ἐθνῶν· κοίμησις γὰρ ἐν τούτοις ὁ θάνατος, καὶ ἡ ἀνάστασις ἔγερσις λέγεται. μεθ' ἣν ἀνάστασιν, "μαθητεύσατε πάντα τὰ ἔθνη," τοὺς γνωρίμους ἔπεμψε· πολλοὶ εἰλήφασι περὶ τοῦ σταυροῦ εἰρῆσθαι παρὰ τῷ Μωσεῖ· "ὄψεσθε "τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν·" συγχρήσῃ καὶ τῷ "εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ" φερομένῳ ἐν Δευτερονομίῳ· πρὸς δεῖξιν τοῦ φωτὸς κατηγγελκέναι τὸν Ἰησοῦν, μὴ μόνον τοῖς ἔθνεσιν ἀλλὰ καὶ τῷ λαῷ Ἰσραήλ· καὶ πάλιν εἰπὼν περὶ Μωσέως ὁ Παῦλος, μείζονα πλοῦτον ἡγησάμενος τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ ὑπὲρ τοὺς ἐν Αἰγύπτῳ βασιλικοὺς θησαυροὺς, πάλιν τὸν σταυρὸν σημαίνει.

Ἀμμωνίου. "Εἰ παθητὸς ὁ Χριστός·" τὸ τοῦ Χριστοῦ ὄνομα Θεὸν ἔνσαρκον, σὺν ψυχῇ νοερᾷ παρέχον νοεῖν ἡμῖν, οὐκ ἔξω λόγου, καὶ παθητὸν αὐτὸν λέγει· ταῦτα δέ, φησι, Μωυσῆς καὶ οἱ προφῆται προεῖπον· εἰ πρῶτος ἐξαναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ, καὶ τοῖς ἔθνεσι τὸ τί· ἀντὶ τοῦ ὅτι ἐστί. Μωσῆς τε εἶπεν· "εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξαναστάσεως·" ὅτι παθητὸς ὁ Χριστὸς, πρῶτος. πρῶτος γὰρ οὗτος ἀνέστη, καὶ οὐκέτι ἀποθνήσκει· οἱ γὰρ ἀναστάντες δι' αὐτοῦ, ἢ τῶν μαθητῶν, πάλιν ἀπέθανον, ἕως τῆς καθολικῆς ἀναστάσεως μένοντες.

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ
τῇ φωνῇ φησὶ, μαίνῃ Παῦλε· τὰ πολλά σε γράμματα
25 εἰς μανίαν περιτρέπει· ὁ Παῦλος, οὐ μαίνομαί, φησι,
κράτιστε Φῆστε, ἀλλὰ σωφροσύνης καὶ ἀληθείας ῥή-
ματα ἀποφθέγγομαι.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ ἀεὶ πρὸς τὸν βασιλέα διελέγετο, ὥσπερ ἔπαθέ τι, καὶ ἰδὼν τὴν παρρησίαν ἀπὸ θυμοῦ καὶ ὀργῆς φησὶν ὁ Φῆστος, "μαίνῃ Παῦλε·" ὁ δὲ Παῦλος τὴν αἰτίαν

διδάσκει, δι' ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέστρεψε· " τόδε " γὰρ οὐκ ἔστιν ἐν γωνίᾳ πεπραγμένον."

26 Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτὸν τούτων οὐδὲν πείθομαι· οὐδὲ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.

Τοῦ Χρυσοστόμου. *Ἐνταῦθα περὶ τοῦ σταυροῦ φησι, περὶ τῆς ἀναστάσεως, ὅτι πανταχοῦ τῆς οἰκουμένης γέγονε τὸ δόγμα.*

27 Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα
28 ὅτι πιστεύεις. ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη,
ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι.

Τοῦ αὐτοῦ. *Ταῦτα φησὶ δεικνὺς ὅτι τὰ πάντα οἶδεν ὁ Ἀγρίππας, καὶ μονονουχὶ λέγων καὶ πρὸς αὐτούς· ἔδει μὲν καὶ ὑμᾶς ταῦτα εἰδέναι· τὸ γὰρ ἐπαγόμενον τοῦτό ἐστιν· " οὐ γάρ ἐστιν ἐν " γωνίᾳ πεπραγμένον."*

29 Ὁ δὲ Παῦλος ἔφη, εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ πολλῷ, οὐ μόνον σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.

Τοῦ αὐτοῦ. *Τὸν ἐθνικὸν εἰς πίστιν θέλων ἑλκῦσαι, ἤθελεν αὐτὸν μαρτυρῆσαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις, δι' ὧν φησὶν, " τί ἄπι- " στον κρίνεται παρ' ὑμῖν; ἵνα, δι' ὧν αὐτὸς ὡμολόγει, σωθῇ·" τῷ δὲ Θεῷ τὸν τῆς ἀναστάσεως τῶν νεκρῶν κατόρθωσιν ἀφορίζει πρὸς τῷ μηδένα τοῖς λεγομένοις ἀντειπεῖν· τίς γὰρ οὗτος ἠλίθιος ἢ βλάσφημος, ὃς τολμήσειεν εἰπεῖν, ὅτι οὐ δύναται ὁ Θεὸς ποιῆσαι ὅσα θέλει; ἢ οὖν ἑκόντας διαπιστεῖν ἤθελεν ἐκείνους συνθέσθαι τῷ τῆς ἀναστάσεως λόγῳ, ἢ διὰ τὸν φόβον τοῦ μὴ θεομάχους ὑποπτευθῆναι αὐτούς.*

Οὗτός ἐστιν ὁ μετὰ τὸν πρῶτον Ἀγρίππαν καὶ τὸν Ἡρώδην δεύτερος Ἀγρίππας, συνώνυμος τῷ δευτέρῳ καὶ υἱὸς αὐτοῦ γενόμενος, ὑπὸ Κλαυδίου αὐτοκράτορος Ῥωμαίων βασιλεὺς τῆς Ἰουδαίας.

Τοῦ Χρυσοστόμου. *Καίτοι ἄξιον ἦν δόξης· ἀλλὰ πρὸς τὴν*

κείνων ὑπόληψιν ἀφορῶν, διὰ τοῦτο εἶπε, "παρεκτὸς τῶν δεσμῶν "τούτων."

Τοῦ αὐτοῦ. Τί λέγεις, ὦ Παῦλε, ἄνευ τῶν δεσμῶν; καὶ ποιά σοι λοιπὸν παρρησία, εἰ ταῦτα αἰσχύνῃ καὶ φεύγεις; καὶ ταῦτα ἐπὶ δήμου τοσούτου· οὐ πανταχοῦ τῶν Ἐπιστολῶν ἐπὶ τῷ πράγματι τούτῳ καυχᾶσαι, καὶ δεσμὸν[g] σεαυτῷ[h] καλεῖς; καὶ τὴν ἄλυσιν ἡμῖν ἀντὶ διαδήματος πανταχοῦ περιφέρεις; τί τοίνυν γέγονε νῦν, ὅτι ἀπεύχῃ τὰ δεσμά; "οὐκ αὐτὸς ἀπεύχομαι," φησιν, "οὐδὲ αἰ-"σχύνομαι·" ἀλλ' ἐκείνων τῇ ἀσθενείᾳ συγκαταβαίνω· οὔπω γὰρ χωροῦσι δέξασθαι τὸ καύχημα τὸ ἐμόν· ἔμαθον δὲ παρὰ τοῦ δεσπότου μου "μὴ ἐπιβαλεῖν ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ "παλαιῷ·" καὶ διὰ τοῦτο οὕτως εἶπον. Καὶ μετ' ὀλίγα—Δεῖ τοίνυν συγκαταβαίνειν· ὅταν γὰρ μάθωσι φιλοσοφεῖν, τότε εἴσονται καὶ τοῦ σιδήρου τούτου τὸ κάλλος καὶ τὴν ἀπὸ τῶν δεσμῶν περιφάνειαν. Καὶ πάλιν—Οὐ γὰρ τὸ δεθῆναι διὰ Χριστὸν, ἀλλὰ τὸ φοβηθῆναι τὰ δεσμὰ, καὶ προδοῦναί τι τῶν τοῦ Χριστοῦ, τοῦτο αἰσχύνη· ὡς ἐὰν τοῦτο μὴ ᾖ, καὶ παρρησίας πρόξενα τὰ δεσμά.

Ἀμμωνίου. Δείκνυσι τὸ τῆς θεοσεβοῦς αὐτοῦ ἀγάπης ὁ λόγος· εἰς μὲν τὰ καλὰ πάντας θέλων κοινωνοὺς εἶναι, μηδένα δὲ αὐτῷ κοινωνῆσαι εἰς βάσανον ἢ θλίψιν.

30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη τὲ ὁ βασιλεὺς καὶ
31 ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς· καὶ
ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες, ὅτι
οὐδὲν ἄξιον θανάτου ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος
32 οὗτος. Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη, ἀπολελύσθαι
ἠδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

Τοῦ Χρυσοστόμου. Ὁρᾷς πῶς καὶ πάλιν ὑπὲρ αὐτοῦ ψηφίζονται, καὶ μετὰ τὸ εἰπεῖν μαίνῃ, ἀφίησιν αὐτὸν, οὐ τοῦ θανάτου ἀλλὰ καὶ τῶν δεσμῶν. καὶ τέλεον ἂν ἀφῆκαν αὐτὸν, εἰ μὴ Καίσαρα ἐπεκέκλητο· ἀλλὰ τοῦτο οἰκονομικῶς γέγονε τὸ καὶ μετὰ δεσμῶν ἀπελθεῖν μέχρι δεσμῶν, ὡς κακοῦργος φησὶν, εἰ γὰρ ὁ Κύριος αὐτοῦ μετὰ ἀνόμων ἐλογίσθη, πολλῷ μᾶλλον οὗτος· ἀλλ' ὥσπερ ἐκεῖνος οὐκ ἐκοινώνησε τῆς δόξης, οὕτως οὐδὲ οὗτος· τὸ γὰρ θαυμαστὸν τότε ἀναφαίνεται τὸ ἀναμεμιγμένον τούτοις, μηδὲν παρ' αὐτῶν βλάπτεσθαι.

g Sic. h Sic.

ΚΕΦ. ΛΗ.

Πλοῦς Παύλου ἐπὶ Ῥώμην κινδύνων τε πλείστων καὶ μεγάλων ἔμπλεως[i].

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν,
παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας
2 ἑκατοντάρχῳ ὀνόματι Ἰουλίῳ, σπείρης Σεβαστῆς. ἐπι-
βάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντι πλεῖν ἐπὶ
τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν
3 ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως. τῇ τε
ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα·

Τοῦ Χρυσοστόμου. Καὶ Ἀρίσταρχος μέχρι που συνέρχεται τῷ Παύλῳ· καλῶς καὶ χρησίμως πάρεστιν ὁ Ἀρίσταρχος, μέλλων ἅπαντα ἀπαγγέλλειν εἰς Μακεδονίαν τὰ περὶ αὐτοῦ.

Φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντι ἐπιμελείας τυχεῖν.

Τοῦ αὐτοῦ. "Φιλανθρώπως τέ." εἰκὸς γὰρ ἦν αὐτὸν ἀπὸ πολλῆς κακώσεως εἶναι, τῶν δεσμῶν, τοῦ φόβου, τοῦ ἄγεσθαι καὶ φέρεσθαι· ὅρα πῶς οὐδὲ τοῦτο κρύπτει, ὅτι ἐβούλετο ἐπιμελείας τυχεῖν.

4 Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ
5 τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. τό τε πέλαγος τὸ κατὰ
τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθο-
μεν εἰς Μύρα τῆς Λυκίας.

Τοῦ αὐτοῦ. Πάλιν πειρασμοὶ, πάλιν ἄνεμοι ἐναντίοι· ὅρα διὰ πάντων οὕτω τὸν βίον τῶν ἁγίων ὑφαινόμενον· ἐξέφυγε τὸ δικαστήριον, καὶ περιπίπτουσι ναυαγίῳ χειμῶνος.

6 Κἀκεῖσε εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρινὸν
7 πλέον εἰς Ἰταλίαν, ἀνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν ἱκα-
ναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι
κατὰ τὴν Κνίδον, μὴ προσεῶντος τοῦ ἀνέμου, ὑπεπλεύ-

[i] ἔμπλεως om. Cod. N. C.

8 σαμεν τὴν Κρήτην κατὰ Σαλμώνην· μόλις τε παραλε-
γόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Κα-
λοὺς Λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασία.

Τοῦ αὐτοῦ. "Πλοῖον," φησὶν, "Ἀλεξανδρινὸν," εἰκὸς καὶ ἐκείνους ἀπαγγεῖλαι εἰς τὴν Ἀσίαν τὰ κατὰ τὸν Παῦλον, καὶ τούτους εἰς τὴν Λυκίαν· ὅρα τὸν Θεὸν οὐδὲν καινίζοντα οὐδὲ μεταβάλλοντα· ἀλλὰ ἀφιέντα αὐτὸν εἰς τοὺς ἀνεμοὺς τοὺς ἀνεπιτηδείους πλεῖν· οὐκ ἀφῆκεν αὐτοὺς εἰς πέλαγος, ἀλλ' ἀεὶ παρὰ γῆν ἔπλεον.

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπι-
σφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ νηστείαν ἤδη παρελή-
λυθέναι, παρῄνει ὁ Παῦλος, λέγων αὐτοῖς,

Τοῦ αὐτοῦ. Τὴν νηστείαν ἐνταῦθα τῶν Ἰουδαίων λέγειν ἡγοῦμαι· μετὰ γὰρ τὴν πεντηκοστὴν ἐξῆλθον ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραγενέσθαι εἰς τὰ μέρη τῆς Κρήτης· καὶ τοῦτο δὲ οὐ μικρὸν θαῦμα τὸ διασωθῆναι, καὶ δι' αὐτὸν ἐκείνους.

10 Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας,
οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν
ψυχῶν ἡμῶν, μέλλειν ἔσεσθαι τὸν πλοῦν.

Τοῦ Χρυσοστόμου. Ὅρα τὸ ἄτυφον· ἵνα μὴ δόξῃ προφητεύειν, ἀλλ' ἀπὸ στοχασμοῦ λέγειν· "θεωρῶ," φησιν, οὐδὲ γὰρ ἂν ἐδέξαντο εὐθέως, εἰ τοῦτο εἶπε· πρότερον προφητεύει καὶ λέγει, ὁ Θεὸς, ᾧ λατρεύω, ἐνάγων αὐτούς· πῶς οὖν ἐγένετο μετὰ ζημίας ψυχῶν; ἐγένετο ἂν, εἰ μὴ ὁ Θεὸς διέσωσεν· ὅσον γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἂν, ἀλλ' ὁ Θεὸς ἐκώλυεν.

Ἀμμωνίου. Προφήτης γὰρ ὢν, ἀνήγγειλε τὸν ἐσόμενον ἐν τῷ πλοίῳ κίνδυνον Παῦλος· καὶ παραινῶν, οὐκ ἔπειθεν αὐτοὺς ἐν Κρήτῃ παραχειμάσαι, οὐ τῆς εἱμαρμένης αὐτοὺς εἰς τοῦτο εἰσαγούσης, ἀλλὰ τῆς ἑαυτῶν γνώμης.

11 Ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ
μᾶλλον ἐπείθετο, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.
12 ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμα-

σίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴπως
δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λι-
μένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον.
13 ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρα-
τηκέναι, ἄραντες ᾆσσον παρελέγοντο τὴν Κρήτην.

Τοῦ αὐτοῦ. Νομίζων ὅτι δεῖ μᾶλλον τοῖς ἐμπείρως ἔχουσι πρὸς τὸ πλεῖν πείθεσθαι, ἢ ἐπιβάτῃ ἀπείρῳ ναυτικῆς· ὥστε οὖν γνώμης ἦν καὶ οὐ τύχης τὸ ἁμάρτημα· ὅτι γὰρ οἴδαμεν κατὰ φύσιν ἐκφυγεῖν κίνδυνον, αὐτὴ ἡ πεῖρα τῶν πραγμάτων διδάσκει μὴ κατακρημνίζειν ἑαυτὸν τινὰ, ὡς ἀναμφιβόλως τοῦ πράγματος κίνδυνον φέροντος, τῆς τύχης καὶ εἱμαρμένης εἰπὼν προὖπτον κοιμωμένης, ἢ γρηγορούσης μὲν, μηδὲν δὲ δυναμένης ἀντιπράξασθαι κατὰ τῆς προαιρέσεως τῆς τῶν ἀνθρώπων· καθ' ἣν ᾧ ἂν βούλωνται, τὰ ἐφ' ἑαυτῆς πράγματα ἄγουσι καὶ φέρουσιν, ὡς καὶ οἱ σὺν τῷ Παύλῳ ἐκδημοῦντες· οὕτω δὲ κατὰ προαίρεσιν ἔπραττον, ὅτι εὐθέως ἐπιτηδείου τυχόντες ἀνέμου ἔχαιρον κατὰ τὸ ῥητὸν· φησὶ γὰρ, "ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατη-"κέναι," ὧν τὸ ἀπειθὲς κατελέγχων ὁ Παῦλος φησὶν, "ἔδει μὲν, "ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης."

14 Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνι-
15 κὸς, ὁ καλούμενος εὐρυκλύδων. συναρπασθέντος δὲ τοῦ
πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπι-
16 δόντες ἐφερόμεθα· νησίον δέ τι ὑποδραμόντες Κλαύδην,
17 μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης· ἣν
ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννῦντες τὸ πλοῖον·

Ἀμμωνίου. "Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ" ὥστε οὐ δεῖ κυριολεκτεῖν ἀπαιτεῖν τὴν γραφήν· ἐπεὶ πῶς δύναται κυρίως ἐπὶ πλοίου λαβεῖν τὴν λέξιν τοῦ ἀντοφθαλμεῖν, ὅπου ἐπὶ ἀνθρώπου ἁρμόζει;

18 Φοβούμενοί τε μὴ εἰς τὴν σύρτην ἐκπέσωσι, χαλά-
σαντες τὸ σκεῦος, οὕτως ἐφερόμεθα. σφοδρῶς δὲ χει-
19 μαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο. καὶ τῇ
20 τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἔρριψαν· μήτε

δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνος δὲ οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

Τοῦ Χρυσοστόμου. *Τουτέστι τὰ ἱστία· ὅταν γὰρ σφοδρὸς ἄνεμος ᾖ, τοῦτο γίνεται ἐγκοπτομένης τῆς πρύμνης· τὸ μὲν οὖν γενόμενον ἀπὸ τοῦ καιροῦ ἐγένετο, τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων, αὐτός τε καὶ δι' αὐτὸν οἱ λοιποί. Καὶ μετ' ὀλίγα—Εἶτα χαλεπὸς ὁ χειμὼν, πολὺ τὸ σκότος· καὶ ἵνα μὴ ἐπιλάθωνται, καὶ τὸ πλοῖον διαλύεται, καὶ ὁ σῖτος ῥίπτεται καὶ πάντα, ἵνα μὴ ἔχωσι μετὰ ταῦτα ἀναισχυντεῖν· διὰ γὰρ τοῦτο καὶ τὸ πλοῖον διαλύεται καὶ ἐπισφίγγονται αὐτῶν αἱ ψυχαί.*

* Παραίνεσις Παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦ-
λος ἐν μέσῳ αὐτῶν εἶπεν, ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχή-
σαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε
22 τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ τὰ νῦν παραινῶ
ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμιᾶς ἔσται ἐξ
23 ὑμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι ταύτῃ τῇ
24 νυκτὶ τοῦ Θεοῦ, οὗ ἐγὼ λατρεύω, ἄγγελος, λέγων, μὴ
φοβοῦ, Παῦλε, Καίσαρί σε δεῖ παραστῆναι·

Τοῦ αὐτοῦ. *Εἶτα μετὰ τὸν τοσοῦτον χειμῶνα οὐκ ἐπεμβαίνων αὐτοῖς διαλέγεται, ἀλλὰ βουλόμενος κἂν εἰς τὸ μέλλον πιστευθῆναι, καὶ τὰ γεγενημένα παραλαμβάνει εἰς μαρτυρίαν τῆς τῶν ῥηθησομένων ἀληθείας· καὶ δύο προλέγει· ὅτι εἰς νῆσον ἐκπεσεῖν δεῖ, καὶ ὅτι τὸ μὲν πλοῖον ἀπολεῖται, οἱ δὲ ἐνόντες σωθήσονται· ὅπερ οὐκ ἦν στοχασμοῦ ἀλλὰ προφητείας· καὶ ὅτι "Καίσαρι "δεῖ παραστῆναι."*

Καὶ ἰδοὺ, κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέ-
25 οντας μετὰ σοῦ. διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ
26 Θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι. εἰς
νῆσον δέ τινα δεῖ ὑμᾶς ἐκπεσεῖν.

Τοῦ Χρυσοστόμου. Τὸ "κεχάρισταί σοι ὁ Θεὸς ἅπαντας," οὐχὶ ἀλαζονείας ἐστὶν, ἀλλὰ βουλομένου προσάγεσθαι τοὺς πλέοντας· οὐχ ἵνα αὐτῷ χάριν ἔχωσιν, ἀλλ' ἵνα πείθωνται τοῖς ὑπ' αὐτοῦ λεγομένοις· ὡσανεὶ ἔλεγεν, ἄξιοι μέν εἰσιν ἀποθανεῖν, ἐπειδὴ παρήκουσαν· πλὴν εἰς τὴν χάριν τὴν σὴν τοῦτο γεγένηται· πρότερον γοῦν προφητεύει καὶ λέγει "ὁ Θεὸς ᾧ λατρεύω," ἐνάγων αὐτούς. πῶς οὖν οὐκ ἐγένετο μετὰ ζημίας ψυχῶν; ἐγένετο ἂν, εἰ μὴ ὁ Θεὸς διέσωσεν· ὅσον γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἄν· ἀλλ' ὁ Θεὸς ἐκώλυσεν· εἶτα ἵνα δειχθῇ ὅτι οὐκ ἀπὸ στοχασμοῦ ταῦτα ἔλεγεν, ὁ κυβερνήτης τὰ ἐναντία ἔλεγε, καὶ ταῦτα ἔμπειρος ὤν· οὕτως οὐκ ἀπὸ στοχασμοῦ ἦν τὰ λεγόμενα· καὶ ὁ τόπος ταῦτα παρῄνει ἀνεύθετος ὢν, καὶ οἱ πλείους ἀπὸ στοχασμοῦ μᾶλλον ἐφαίνοντο λέγοντες· εἶτα χαλεπὸς ὁ χειμὼν, πολὺ τὸ σκότος, καὶ ἵνα μὴ ἐπιλάθωνται καὶ τὸ πλοῖον διαλύεται· καὶ ἐπισφίγγονται αὐτῶν αἱ ψυχαί· οὐ μικρὰ δὲ πρὸς τὴν ἀκρόασιν συνεβάλλετο καὶ ὁ χειμὼν καὶ τὸ σκότος· ὅρα γοῦν πῶς πείθεται ὁ ἑκατοντάρχης· καὶ ὁ τόπος χαλεπὸς κατὰ τὸν Ἀδρίαν, καὶ ἀσιτία πολλή· ἐν μέσῳ γὰρ ἦσαν θανάτου.

Ἀμμωνίου. "Κεχάρισταί σοι ὁ Θεὸς πάντας·" ὥστε οὖν ψευδὲς τὸ εἰρημένον τῷ Ὁμήρῳ·

μοίραν δ' οὔτινα φημὶ πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

Ὃ σημαίνει ὅτι ἀδύνατον ἐκφυγεῖν τὴν τοῦ θανάτου εἱμαρμένην ἅμα τῇ γεννήσει ὁριζούσῃ τοῦ ἀνθρώπου τὸν θάνατον· ἰδοὺ γὰρ εἰ μὴ διὰ Παῦλον πάντες εἶχον οἱ ἐν τῷ πλοίῳ ἀπολέσθαι, τοῦ Θεοῦ τοῦτο δωρησαμένου αὐτοῖς τιμῇ τοῦ δικαίου· ἔπειτα δὲ εἰ εἵμαρτο πάντας ἀπολέσθαι, ὅσον ἐκ τῶν εἰκότων, ἐν πελάγει ἄσιτος μείνας δεκατέσσαρας ἡμέρας ἐν τῷ πλοίῳ, καὶ ὕστερον ναυαγήσας· εἶπε γὰρ ὁ ψευδὴς λόγος,

οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν,

ἔδει γὰρ καὶ τοὺς καλοὺς καὶ τοὺς κακοὺς ἐν ἑνὶ πεσόντας πτώματι ἀναμφίβολον φέροντι θάνατον, ἀποθανεῖν· ἀλλὰ τὸ ἐναντίον εἶπεν ἡ γραφὴ, ὅτι ὁ δίκαιος ἐσώζετο ἐξ ὡμολογημένου κινδύνου, καίτοι πάντων τῶν ἐν αὐτῷ ἀποθνησκόντων· οὕτω γὰρ ἦν τῷ Θεῷ δόξαν ἀπελθεῖν αὐτὸν ἐν Ῥώμῃ· καὶ ἠδύνατο μὲν ὁ Θεὸς καὶ ἁρπάσας

ἀπὸ Ἱερουσαλὴμ δι' ἀγγέλου στῆσαι ἐν Ῥώμῃ, καθὼς τὸν Ἀμβακοὺμ ἐξ Ἰουδαίας ἁρπάσας παρέστησεν ἐν Βαβυλῶνι τῷ λάκκῳ τοῦ Δανιήλ· ἀλλ' οὐκ ἐποίησε· καὶ τοῦτο θαυματουργίας ἔργον εἶναι δείξας, τὸ ἐξ ἀνελπίστου κινδύνου σῶσαι τὸν Παῦλον καὶ τοὺς σὺν αὐτῷ· ἐχαρίσατο δὲ τὰς μὲν ψυχὰς τῷ Παύλῳ, φιλόστοργος γὰρ ἦν καὶ φιλάδελφος· τὸ δὲ πλοῖον καὶ τὰ σὺν αὐτῷ, ὡς μὴ ἀντιποιουμένου τοῦ θεοφιλοῦς τῶν ἐπὶ γῆς, μηδὲ ἀχθομένου ἐπὶ τῇ τούτων ἀπωλείᾳ· ὧδε οὖν διὰ τὸν δίκαιον ζῶσιν οἱ ἀσεβεῖς· ἔστι δὲ ὅτε τὸ ἐναντίον· καὶ πρὸ ὥρας ὁ ἀσεβὴς ἀπόλλυται διὰ τὴν ἑαυτοῦ κακίαν· τοῦ Θεοῦ οὕτως πάλιν βουλομένου, καθὼς ὁ Ἐκκλησιαστὴς φησὶ, "μὴ ἀσεβήσῃς πολὺ, μηδὲ γίνου "σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου·" πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται· πάντα μὲν δυνατὰ τῷ πιστεύοντι· πλὴν οὗτος οὐ διὰ πίστεως καὶ εὐχῆς ἤνυσε τὴν σωτηρίαν τῶν συμπλεόντων, ἀλλὰ πιστεύσας ὅτι οὕτως ἔσται, ὡς ἐλαλήθη αὐτῷ.

27 Ὡς δὲ τεσσαρεσδεκάτη νὺξ ἐγένετο, διαφερομένων
ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ
28 ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν· καὶ βολίσαντες,
εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν
29 βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε· φοβούμενοί τε
μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι.
30 τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ
χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει
ἐκ πρώρας ἀγκύρας μελλόντων ἐκτείνειν,

Τοῦ Χρυσοστόμου. Ἔμελλον οἱ ναῦται φευγεῖν, ἀπιστοῦντες τοῖς λεγομένοις· ὁ δὲ ἑκατοντάρχης πιστεύει σὺν τῷ Παύλῳ· φησὶ γὰρ, ἐὰν οὗτοι φύγωσιν, "ὑμεῖς σωθῆναι οὐ δύνασθε·" οὐ διὰ τοῦτο, ἀλλ' ἵνα κατάσχῃ αὐτοὺς, καὶ ἡ προφητεία μὴ διαπέσῃ· ὅρα καθάπερ ἐν ἐκκλησίᾳ παιδευομένους αὐτούς· τοῦ Παύλου τὴν φιλοσοφίαν· πῶς ἐκ μέσων αὐτῶν ἔσωσε τῶν κινδύνων· οἰκονομικῶς ἀπιστεῖται ὁ Παῦλος, ἵνα μετὰ πείρας τῶν πραγμάτων πιστευθῇ· ὅπερ οὖν καὶ γέγονεν· ὅρα γοῦν πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴν σκάφην ἀφεῖναι καὶ ἀπόλεσαι· εἰ δὲ οἱ

ναῦται οὐδέπω ἐπείσθησαν, ἀλλ' ὕστερον πείθονται· καὶ γὰρ τὸ γένος τὸ τούτων ἰταμόν πως ἐστὶν, οὐκ ἔστιν εὐπαράδεκτον· ἐγκαλῶν τίς ἐν συμφορᾷ τότε εὐπαράδεκτος γίνεται· τότε τοίνυν ἐπιτίθεται, ὅτε πᾶσα ἡ ἐλπὶς τοῦ σωθῆναι περιαιρεθῇ· ἵνα μήτις εἴπῃ, ὅτι οὐδὲν γέγονεν, ὁ φόβος μαρτυρεῖ· τότε τὰ χρηστὰ λέγει.

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώ-
ταις, ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι
32 οὐ δύνασθε. τότε ἀπέκοψαν οἱ στρατιῶται τὰ σχοινία
τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

Ἀμμωνίου. Ὅτε εἶδον ὅτι ἡ ἀβουλία αὐτῶν ἐποίησεν αὐτοὺς κινδυνεῦσαι, τότε ἤρξαντο τῷ Παύλῳ πείθεσθαι, ὡς μᾶλλον τῆς εὐκαίρου συμβουλῆς τῆς παρὰ ἁγίου ἀνδρὸς γινομένης, δυναμένης σῶσαι, ἢ εἱμαρμένης τῆς ἐν κινδύνῳ, μηδὲ ὄνομα ἐχούσης· εἰ γὰρ εἱμαρμένῃ ἐπείθοντο ἐκεῖνοι, καίτοι ὄντες ἐθνικοὶ, παριδόντες τὴν τοῦ θεοσεβοῦς συμβουλὴν, εἴων ἀπελθεῖν τοὺς ναύτας λέγοντες, ὅτι οὐκ ἂν οὗτοι ἀπελθῶσι, μὴ φέρῃ δὲ ἡμᾶς ἀποθανεῖν οὐδὲν τοῦτο ποιεῖ· ἀλλ' οὐκ εἶπον οὔτε ἐποίησαν τὸ ἠλίθιον τοῦτο, καὶ πάσης γέμον ψευδαπάτης καὶ ἀγνοίας· δι' ἃ ἐκ πολλῶν ἐκβλητέος ὁ περὶ εἱμαρμένης ἢ τύχης λόγος.

33 Ἄχρι δὲ οὗ ἡμέρα ἤμελλε γίνεσθαι, παρεκάλει ὁ
Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων, τεσσαρεσ-
καιδεκάτην σήμερον ἡμέραν ἐπιτελεῖτε προσδοκῶντες,
34 καὶ ἄσιτοι διαμένετε, μηδὲν προσλαβόμενοι. διὸ παρα-
καλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς·

Τοῦ Χρυσοστόμου. Παραινεῖ πάλιν μεταλαβεῖν τροφῆς· καὶ πείθονται, καὶ αὐτὸς πρῶτος μεταλαμβάνει· οὐ λόγῳ ἀλλ' ἔργῳ πείθων, ὡς οὐδὲν ἔβλαψεν ὁ χειμὼν, ἀλλὰ καὶ μᾶλλον αὐτῶν τὰς ψυχὰς ὠφέλησε. Καὶ μετ' ὀλίγα—Πῶς ἔφερον; ὁ φόβος κατεῖχεν αὐτοὺς, καὶ οὐκ εἴα εἰς ἐπιθυμίαν τροφῆς ἐμπεσεῖν, μέλλοντας ὑπὲρ τῶν ἐσχάτων κινδυνεύειν· τὸ μὲν οὖν γενόμενον ἀπὸ τοῦ καιροῦ ἐγένετο· τὸ δὲ θαῦμα μεῖζον ὅτι ἐν καιρῷ τοιούτῳ, ἐκ μέσων ἐσώθη πάντων κινδύνων, αὐτός τε καὶ δι' αὐτὸν οἱ λοιποί.

Τοῦτο γὰρ πρὸς τὴν ὑμετέραν σωτηρίαν ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἀπὸ τῆς κεφαλῆς ἀπολεῖται.

Τοτ̃ Χρτσοστόμοτ. "Τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτη-" ρίας," ἐστὶ τὸ φαγεῖν· μήποτε τῷ λιμῷ διαφθαρῆτε· τὸ εὐχαριστῆσαι τῷ Θεῷ ἐπὶ τοῖς γεγενημένοις ἔρρωσεν αὐτοὺς, τοῦτο γὰρ ψυχῆς πεπληροφορημένης, ὅτι σωθήσονται.

35 Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ
36 Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. εὔ-
θυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο
τροφῆς·

Ἀμμωνίοτ. " Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας τῷ Θεῷ ἐνώ-" πιον πάντων καὶ κλάσας ἤρξατο ἐσθίειν" ἑωρακὼς ὁ Παῦλος ὅτι διὰ τὴν ἀνάγκην ἐπείθοντο τῷ Παύλῳ οἱ συνόντες· καιρὸς δὲ οὐκ ἦν ἀθυμοῦσιν αὐτοῖς καὶ κινδυνεύουσιν εὐαγγελίζεσθαι τὸν Χριστόν· τέως ἐκ μέρους διδάσκει αὐτοὺς τὴν θεοσέβειαν, τὸ μὴ ἄλλως κλᾶν ἄρτον εἰ μὴ πρῶτον εὐχαριστήσαντας τῷ μόνῳ Θεῷ, καὶ οὕτως ἐσθίειν· καὶ ἡμᾶς δὲ τὸ αὐτὸ διδάσκει· ὁ δὲ τῆς εὐχαριστίας τρόπος τοῦτο δοκεῖ ἔχειν, ὅτι εὐχαριστοῦμεν σοι, ὦ[1] Θεὸς, ὅτι ἠξίωσας ἡμᾶς ζῆσαι ἕως ἄρτι, ἀσίτους μείναντας· διό σοι δόξαν ἀναπέμποντες, κλῶμεν τὸν ἄρτον ἐπὶ τῷ μετασχεῖν τροφῆς.

37 Ἦμεν δὲ αἱ πᾶσαι ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι
38 ἑβδομηκονταέξ. κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ
πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

Τοτ̃ Χρτσοστόμοτ. Οὐ μικρὸν καὶ τοῦτο· εἴγε ἐπίστευσαν, ἄκαιρος ὁ πλοῦς οὐ γέγονεν· ἀλλ' οὐκ ἦν αὐτοῖς φροντὶς τροφῆς· ἅτε οὐ περὶ τῶν τυχόντων ὄντος τοῦ λόγου· εἰκὸς ἦν αὐτοὺς ἐρωτᾶν τὴν αἰτίαν δι' ἣν πλέουσι, καὶ μαθεῖν πάντα· οὐκ ἁπλῶς οὐδὲ ἡ παρολκὴ τοῦ πλοὺς, ἀλλὰ παρέσχε τῷ Παύλῳ διδασκαλίας καιρόν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον·
κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβου-
40 λεύοντο, εἰ δυνατὸν, ἐξῶσαι τὸ πλοῖον. καὶ τὰς ἀγκύ-
ρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς

[1] ξ Cod.

ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμωνα, τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν.

Τοῦ αὐτοῦ. Ἡμέρας δὲ, φησὶ, γενομένης, ἀνῆκαν τὰς ζευκτηρίας, καὶ λύεται τὸ πλοῖον ἐν ἡμέρᾳ, ἵνα μὴ τῷ φόβῳ διαλυθῶσιν· ἵνα ἴδῃς ἔργῳ τὴν προφητείαν, ὁρᾷς ὅτι καὶ κατὰ τοῦτο τῷ Παύλῳ ἐχαρίσθησαν· διὰ γὰρ αὐτὸν οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατοντάρχης· οὕτως ἐμοὶ δοκοῦσιν ὡμολογημένοι εἶναι κακοὶ ἐκεῖνοι ὥστε ἑλέσθαι αὐτοὺς ἀνελεῖν.

Ναυάγιον Παύλου, ὅπως τε διεσώθησαν εἰς Μελίτην[k] τὴν νῆσον, καὶ ὅσα τὰ ἐν αὐτῇ ἐθαυματούργησεν.

41 Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν
τὴν ναῦν· καὶ ἡ μὲν πρώρα ἐρείσασα, ἔμενεν ἀσάλευτος,
42 ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων. τῶν δὲ
στρατιωτῶν ἡ βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀπο-
43 κτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγῃ. ὁ δὲ ἑκατον-
τάρχης βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν
αὐτοὺς τοῦ βουλήματος,

Πάλιν πειρᾶται ὁ διάβολος ἐμποδίσαι τῇ προφητείᾳ, καὶ ἐβούλοντό τινας ἀνελεῖν, ἀλλ' οὐκ εἴασεν ὁ ἑκατοντάρχης, ἵνα τὸν Παῦλον σώσῃ· οὕτω ᾠκειωμένος ἦν αὐτῷ ὁ ἑκατοντάρχης.

Ἀμμωνίου. Σημειωτέον πάλιν ὅτι ἑκὼν τις φονεύει τινὰ, οὐ τῆς εἱμαρμένης κωλυούσης τοῦτο γενέσθαι, ἢ προτρεπομένης· ἰδοὺ γὰρ βουληθέντες πρᾶξαι, ἦλθον ἐπὶ τὸ ἔργον τοῦ φόνου αὐτόβουλοι, καὶ ἀκούσαντες τοῦ ἑκατοντάρχου, πάλιν ἑκόντες ἐπαύσαντο, ὡς ἐξῆν αὐτοὺς μὴ πεισθῆναι, πολλοὺς ὄντας καὶ ἰσχυροὺς καὶ ξιφηφόρους· ἀλλ' ἡ βουλὴ καὶ ἡ αὐθαίρετος γνώμη καὶ πράττει ἃ θέλει, καὶ οὐ πράττει ἃ μὴ βούλεται· μωρὸν οὖν τὸ ἐνθυμεῖσθαί τι περὶ ἀσυστάτων ὀνομάτων.

Ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾷν, ἀπορρίψαν-
44 τας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς λοιποὺς, οὓς
μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου.

[k] μελιτινὴν Cod.

1 καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν. καὶ
διασωθέντες ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.
2 οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψύχος.

Τοῦ Χρυσοστόμου. "Καὶ πάντες ἐσώθησαν," καὶ ἡ προφητεία τέλος ἐλάμβανε· καὶ εἰ μὴ τῷ χρόνῳ σεμνή τις οὖσα, οὐ γὰρ πρὸ πολλῶν ἐτῶν προεῖπεν, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπομένῃ· ἀνέλπιστα γὰρ ἦν πάντα· καὶ διὰ τῆς οἰκείας σωτηρίας ἐμάνθανον τίς ὁ Παῦλος ἦν· ἀλλ' εἴποιεν ἄν τις, διατί μὴ καὶ τὸ πλοῖον διέσωσεν; ἵνα μάθωσιν οἷον κίνδυνον διέφυγον· ὅτι οὐκ ἀνθρωπίνης βοηθείας ἦν τὸ πᾶν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος χωρὶς πλοίου σωζούσης· ὥστε οἱ δίκαιοι, κἂν ἐν χειμῶνι ὦσι, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πελάγει, οὐδὲν πάσχουσιν· ἔπλεον, ἐκινδύνευον, καὶ ναυάγιον ὑπέμεινον, καὶ δεσμῶται διὰ Παῦλον ἐσώθησαν· ἐννόησον τί ἐστιν ἔχειν ἅγιον ἄνδρα ἐν οἰκίᾳ· πολλοὶ γὰρ οἱ χειμῶνες καὶ ἡμῖν ἐφίστανται, καὶ πολλῷ τούτων χαλεπώτεροι· ἀλλὰ δύναται ἡμᾶς ὁ Θεὸς χαρίσασθαι, μόνον ἐὰν πειθώμεθα τοῖς ἁγίοις· καθάπερ ἐκεῖνοι ἂν ποιῶμεν ἃ πράττουσιν· οὐ γὰρ ἁπλῶς σώζονται, ἀλλὰ καὶ αὐτοὶ πίστιν εἰσήνεγκαν· κἂν δέσμιος ᾖ ὁ ἅγιος, τῶν λελυμένων μεῖζον ἐργάζεται· ὁ λελυμένος ἑκατοντάρχης αὐτοῦ ἐδεῖτο τοῦ δεδεμένου· ὁ ἐπιστήμων κυβερνήτης, τοῦ μὴ κυβερνήτου ἔχρηζε· μᾶλλον δὲ τοῦ ὄντος κυβερνήτου· οὐ γὰρ τοιοῦτο κυβερνᾷ σκάφος, ἀλλὰ τῆς οἰκουμένης τὴν Ἐκκλησίαν· παρ' ἐκείνου μάθωμεν, τοῦ καὶ θαλάσσης δεσπότου· πειθώμεθα Παύλῳ, κἂν ἐν μέσῳ ὦμεν χειμῶνι, πάντων ἀπαλλαγησόμεθα τῶν κινδύνων· κατέχωμεν παρ' ἑαυτοῖς τοὺς ἁγίους, καὶ οὐκ ἔσται χειμών· μᾶλλον δὲ κἂν χειμὼν ᾖ, ἔσται γαλήνη καὶ εὐδία πολλὴ καὶ ἀπαλλαγὴ κινδύνων· ὅταν δὴ τὸν ἅγιον εἶχε φίλον ἐκείνη ἡ χήρα, καὶ θάνατος ἐλύθη τοῦ παιδίου, καὶ τὸν παῖδα πάλιν ζῶντα ἀπελάμβανεν· ἔνθα πόδες ἁγίων ἐπιβαίνουσιν οὐδὲν ἔσται λυπηρὸν, κἂν γένηται προσδοκιμὴν καὶ πρὸς μείζονα δόξαν Θεοῦ. ἔθισον τὸ ἔδαφος τῆς οἰκίας σου ὑπὸ τοιούτων πατεῖσθαι ποδῶν, καὶ οὐ πατήσει

δαίμων ἐκεῖ· ἀλλ' ὥσπερ ἔνθα ἄκανθα, ἐκεῖ θηρία· ἔνθα δὲ φιλοξενίαι, οὐκ εἰσὶν ἄκανθαι· ἡ γὰρ ἐλεημοσύνη ἐπεισελθοῦσα παντὸς δρεπάνου τομώτερον ἀναιρεῖ τὰς ἀκανθὰς, παντὸς πυρὸς[k] σφοδρότερον· αἰδεῖται τὰ ἴχνη τῶν ἁγίων, καθάπερ λέοντας ἀλωπέκες· "δίκαιος γάρ," φησιν, "ὡς λέων πέποιθεν·" εἰσάγωμεν τούτους τοὺς λέοντας εἰς τὴν οἰκίαν, καὶ πάντα φυγαδεύεται τὰ θηρία· οὐ βοώντων αὐτῶν μεγάλα, ἀλλ' ἁπλῶς φθεγγομένων· οὐ γὰρ οὕτως βρυχηθμὸς[l] λέοντος φυγαδεύει τὰ θηρία, ὡς εὐχὴ δικαίου φυγαδεύει δαιμόνας· ἂν φθέγξηται μόνον κατεπτήχασι· καὶ ποῦ τοιοῦτοι φησὶν, εἰσί; πολλαχοῦ· ἂν πιστεύωμεν ἡμεῖς, ἂν ζήτωμεν, ἂν περιεργαζώμεθα· ποῦ ἐζήτησας; εἰπέ μοι· πότε τοῦτο ἔργον ἔσχες; πότε πρᾶγμα ἔθου τοῦτο; εἰ δὲ οὐ ζητεῖς, μὴ θαυμάσῃς ὅτι οὐχ εὑρίσκεις· ὁ γὰρ ζητῶν εὑρίσκει, οὐχ ὁ μὴ ζητῶν· ἄκουσον τοὺς ἐν ταῖς ἐρημίαις ὄντας· ἀπάγαγε χρυσίον καὶ ἀργύριον· πανταχοῦ τῆς οἰκουμένης εἰσί· κἂν μὴ τῇ οἰκίᾳ δέξῃ· ἄπελθε σὺ πρὸς αὐτὸν, συγγενοῦ τῷ ἀνδρί· πρὸς τὸ οἴκημα γενοῦ τὸ ἐκείνου, ἵνα δυνηθῇς ἐπιτυγχάνειν· σπουδάζωμεν ἵνα διὰ τῶν εὐχῶν τούτων βοηθούμενοι, τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἀπὸ τῆς θέρμης ἐξελθοῦσα καθήψατο τῆς χειρὸς αὐτοῦ.

Τοῦ Χρυσοστόμου. Ὅρα αὐτὸν ἐνεργοῦντα· ὅρα αὐτὸν οὐδαμοῦ θαυματουργοῦντα ἁπλῶς, ἀλλ' ἀπὸ χρείας· καὶ ἐν τῷ χειμῶνι πάλιν αἰτίας οὔσης ἐπροφήτευσεν οὐχ ἁπλῶς· καὶ ἐνταῦθα τέως φρύγανα ἐπιτίθησιν· οὐδὲν δὲ τετυφώμενον, ἀλλ' ὥστε διασωθῆναι αὐτοὺς, καὶ θέρμης τινὸς ἀπολαῦσαι.

Τοῦ Ἁγίου Βασιλείου. Μηδεὶς δὲ ἐγκαλείτω τῷ ποιήσαντι ἰοβόλα καὶ φθαρτικὰ καὶ πολέμια τῇ ζωῇ ἡμῶν· ἢ οὕτω γ' ἄν τις καὶ παιδαγωγῷ ἐγκαλοίη εἰς τάξιν ἄγοντι τὴν δυσκολίαν τῆς νεότητος, καὶ πληγαῖς καὶ μάστιξι τὸ ἀκόλαστον σωφρονίζοντι. πίστεώς ἐστιν ἀπόδειξις τὰ θηρία· πέποιθας ἐπὶ Κύριον; ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσῃ λέοντα καὶ

k πυρὸς om. Cod. l βρυχιθμὸς Cod.

δράκοντα· καὶ ἔχεις διὰ τῆς πίστεως ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· οὐχ ὁρᾷς ὅτι φρυγανιζομένῳ τῷ Παύλῳ ἐνάψασα ἔχις, οὐδεμίαν προσετρίψατο βλαβὴν, διὰ τὸ πληρωτὴν πίστεως εὑρεθῆναι τὸν ἅγιον· εἰ δὲ ἀπιστεῖς, φοβοῦ μὴ μᾶλλον τὸ θηρίον ἢ τὴν σεαυτοῦ ἀπιστίαν, δι' ἧς πάσῃ φθορᾷ ἑαυτὸν εὐάλωτον κατασκευάσας.

Θεοδωρήτου. *Ὁ ἔχις τῇ τοῦ Ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλὼν, καὶ τῆς ἁμαρτίας τὸ χαῦνον οὐχ εὑρὼν, ἀπεπήδησε παραυτίκα, καὶ κατὰ τῆς πυρᾶς ἥλατο, ὥσπερ δίκας ἑαυτὸν εἰσπραττόμενος, ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι· ἡμεῖς δὲ τὰ θήρια δεδοίκαμεν, ἐπειδὴ τῆς ἀρετῆς τὴν πανοπλίαν οὐκ ἔχομεν.*

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, πρὸς ἀλλήλους ἔλεγον, πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος,

Τοῦ Χρυσοστόμου. *Καλῶς καὶ τοῦτο συνεχωρήθη, ὥστε καὶ ἰδεῖν αὐτοὺς καὶ φθέγξασθαι ταῦτα· ἵνα ὅταν γένηται μὴ ἀπιστῆται τὸ πρᾶγμα· καὶ ὅρα αὐτοὺς αἰδεσίμως πρὸς ἀλλήλους λέγοντας· ὅρα τὴν φυσικὴν κρίσιν διηρθρωμένην, καὶ τὰ παρὰ βαρβάροις μηδὲ καταγινώσκοντας· ἁπλῶς καὶ οὗτοι πρότερον βλέπουσιν, ἵνα μᾶλλον θαυμάσωσιν.*

Ὃν διασωθέντα ἐκ τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ
5 εἴασεν. ὁ μὲν οὖν ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ,
ἔπαθεν οὐδὲν κακόν.

Τοῦ Χρυσοστόμου. *Ἆρα καὶ τὸν περὶ προνοίας λόγον εἶχον· πολλῷ τῶν φιλοσόφων οὗτοι οἱ βάρβαροι φιλοσοφώτεροι ἐτύγχανον· οὐκ ἀφίησι προνοίας ἀπολαύειν τὰ ὑπὸ σελήνην, καὶ πανταχοῦ νομίζουσιν αὐτοὶ παρεῖναι τὸν Θεόν· καὶ ὅτι κἂν πολλά τις διαφύγῃ, οὐ διαφεύξεται εἰς τέλος· καὶ οὐκ ἐπιτίθενται, ἀλλ' αἰδοῦνται τέως διὰ τὴν συμφοράν· καὶ οὐκ ἐκπομπεύουσιν, ἀλλὰ πρὸς ἀλλήλους λέγουσι· τὰ γὰρ δεσμὰ τοῦτο ἐδίδασκεν ὑποπτεύειν· καίτοι δεσμῶται ἦσαν· αἰσχυνέσθωσαν οἱ λέγοντες μὴ εὖ*[m] *ποίει τοῖς ἐν*[n] *ταῖς φυλακαῖς· αἰσχυνθῶμεν τοὺς βαρβάρους·*

[m] *εὖ* om. Cod. [n] *τοῖς ἐν* om. Cod.

οὐ γὰρ ᾔδεσαν τίνες ἦσαν ἐκεῖνοι, ἀλλ' ἀπὸ τῆς συμφορᾶς, τέως ὅτι ἄνθρωποι ἦσαν.

Ἀμμωνίου. "*Ὁ μὲν οὖν ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ·*" *οἱ γὰρ πιστοὶ κρείττους εἰσὶ πάσης ἐπιβουλῆς, εἴτε ὑπὸ ἀνθρώπων, εἴτε ὑπὸ θηρίων γινομένης· καὶ ὅμοιοί εἰσι θεοῖς, καθὼς καὶ ἡ γραφή·* "*ἐγὼ εἶπα, θεοί ἐστε.*" *ὑμεῖς δὲ δι' ἀπιστίαν, ὡς ἄνθρωποι θνήσκετε· διὸ καὶ οἱ βάρβαροι ἑωρακότες τοῦτον μὴ ἀποθανόντα, ἀλλ' ἐκφυγόντα τὸν ἀμφίβολον θάνατον, θεὸν αὐτὸν ἐνόμισαν εἶναι· ὡς ἔθος ἔχοντες πάντα τὸν ποιοῦντά τι παράδοξον θεὸν νομίζειν· ὥσπερ καὶ τοὺς παλαιοὺς θεοὺς ὠνόμαζον, ἢ δι' ἰσχὺν περισσόν τί τῶν καθ' ἑαυτοὺς ποιοῦντας, οἷος ἦν ὁ Ἡρακλῆς ὁ ἐκ Σεμέλης· ἢ διὰ μαγείαν ἐξιστάνων τοὺς ὁρῶντας· οἷος ἦν ὁ Σίμων ἐν Σαμαρείᾳ.* "*προσέδοκων μέλλειν ἐμπίπρασθαι.*"

6 Οἱ δὲ προσεδόκουν αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νεκρόν· ἐπιπολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον,

Τοῦ Χρυσοστόμου. *Τότε εἶδον καὶ ἐξεπλάγησαν, καὶ οὐκ ἐγένετο ἄφνω τὸ σημεῖον· ἀλλὰ τῷ χρόνῳ ἐνδιέτριψαν οἱ ἄνθρωποι· οὕτως οὐκ ἦν ἀπάτη, οὐκ ἦν συναρπαγή.*

Μεταβαλλόμενοι, ἔλεγον αὐτὸν θεὸν εἶναι.

Τοῦ αὐτοῦ. *Πάλιν ἄλλη ὑπερβολή.*

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν.

Ἰδοὺ πάλιν ἄλλος φιλόξενος ὁ Πόπλιος καὶ πλούσιος καὶ εὐπορώτατος, οὐδὲν ἰδὼν, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνον ἐλεήσας αὐτοὺς, ὑπεδέξατο καὶ ἐθεράπευσε. Καὶ μετ' ὀλίγα—*Διηκόσια ὀγδοήκοντα ὀνόματα. ἐννόησον ὅσον τῆς φιλοξενίας τὸ κέρδος· οὐχ ὡς ἀνάγκης οὔσης, οὐχ ὡς ἄκων, ἀλλὰ κέρδος τιθέμενος τρεῖς ἡμέρας ἐξένισεν αὐτούς.*

8 Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ κατεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος

εἰσελθὼν, καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ,
9 ἰάσατο αὐτόν. τούτου οὖν γενομένου, καὶ οἱ λοιποὶ οἱ
ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθερα-
πεύοντο·

Ὥστε ἄξιος ἦν τοῦ παθεῖν καλῶς· διὸ καὶ ἀμοιβὴν αὐτῷ ἀποδιδοὺς τῆς ἀποδοχῆς, ἰάσατο αὐτόν.

Ἀμμωνίου. Δυσεντερία τὸ δυσίατον τοῦ πάθους· ἴασιν λαβὼν διὰ τοῦ Παύλου πολλοὺς εἰς πίστιν ἤγαγεν· ὥστε οὖν ἀεὶ τὰ σημεῖα ἐν τοῖς ἀπίστοις καὶ διὰ τοὺς ἀπίστους ὡς ἐπιτοπολὺ γίνεται.

10 Οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς,

Τοῦ Χρυσοστόμου. Ὅρα δὲ τοῦ χειμῶνος ἀπαλλαγέντας ἀμελεστέρους γινομένους· ἀλλὰ καὶ τὴν ὑποδοχὴν φιλότιμον γινομένην δι' αὐτῶν. "καὶ πολλαῖς τιμαῖς," φησιν, "ἐτίμησαν ἡμᾶς·" οὐχὶ μισθὸν ἔλαβε, μὴ γένοιτο· ἀλλὰ κατὰ τὸ γεγραμμένον, "ἄξιος "ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν."

Καὶ ἀναγομένων ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

Τοῦ αὐτοῦ. Εὔδηλον ὅτι καὶ τὸν λόγον ἐδέξαντο τοῦ κηρύγματος οἱ οὕτως αὐτοὺς ὑποδεξάμενοι· οὐ γὰρ ἂν ἐν τριμήνῳ τοσούτῳ διελέχθησαν, μὴ σφόδρα αὐτῶν πιστευσάντων, καὶ καρποὺς ἐπιδειξαμένων ὥστε ἀπὸ τούτου τεκμήριον μέγα τοῦ πλήθους τῶν πιστευόντων ἐστὶν ἰδεῖν.

ΚΕΦ. ΛΘ.

Ὅπως ἀπὸ Μελίτης[m] εἰς Ῥώμην κατήντησεν ὁ Παῦλος.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακε-
χειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρινῷ, παρασήμῳ Διοσ-
12 κούροις· καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν
13 ἡμέρας τρεῖς· ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥή-
γιον,

Τοῦ αὐτοῦ. Διὰ Παῦλον ὅρα πάντα γινόμενα ταῦτα· ὥστε πιστεῦσαι τοὺς δεσμώτας, τοὺς στρατιώτας, τὸν ἑκατοντάρχην· εἰ γὰρ αὐτοὶ λίθινοι ἦσαν δι' ὧν συμβουλεύσαντος ἤκουσαν, καὶ

[m] μελιτηνῆς Cod.

δι' ὧν προειπόντος, καὶ δι' ὧν θαυματουργήσαντος, καὶ μεγάλα ἂν ἐφαντάσθησαν περὶ αὐτοῦ.

Τοῦ Χρυσοστόμου. Ἴσως τοῦτο γεγραμμένον ἦν ἐν αὐτῷ· οὕτως ἦσαν κατείδωλοι. ὅρα ἐνδιατρίβοντας καὶ πάλιν σπεύδοντας· λοιπὸν αἰδέσιμος ἦν ὁ Παῦλος, ὥστε συγχωρεῖσθαι καθ' ἑαυτὸν μένειν· εἰ γὰρ καὶ πρὸ τούτου φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον νῦν. Καὶ μετ' ὀλίγα—Ἤδη καὶ τῆς Σικελίας τὸ κήρυγμα ἥψατο· ὅρα πῶς διέδραμεν· ἐν Ποτιόλοις εὗρόν τινας, εἶτα ἀπήντησαν καὶ ἄλλοι· τοσαύτη ἦν ἡ προθυμία τῶν ἀδελφῶν· οὐκ ἐθορύβησεν αὐτοὺς τὸ ἐν δεσμοῖς εἶναι τὸν Παῦλον.

Κυρίλλου. Ἔθος ἀεί πως ἐν ταῖς Ἀλεξανδρέων μάλιστα ναυσὶ πρός γε τῇ πρώρῃ δεξιά τε καὶ εἰς εὐώνυμα γραφὰς εἶναι τοιαύτας. ἐπειδὴ δὲ ἦν εἰκὸς εἰδωλολατρίας κρατούσης κατ' ἐκεῖνο καιροῦ ἐν ᾧ γεγράφθαι τῇ νηῒ τοὺς Διοσκόρους, ταύτῃ τοι νοεῖν ἀκόλουθον ἀλλόφυλον, τουτέστιν εἰδωλολάτριν[n]· καθώς που καὶ Ἡσαΐας φησὶ, "πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων, θάλασσαν ἅμα προνομεύ-"σουσιν."

Καὶ μετὰ μίαν ἡμέραν ἐπιγινομένου νότου, δευτεραῖοι
14 ἤλθομεν εἰς Ποτιόλους· οὗ εὑρόντες ἀδελφοὺς, παρε-
κλήθημεν παρ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως
εἰς τὴν Ῥώμην ἤλθομεν.

Ἀμμωνίου. Τοσοῦτον ἦν διαδραμὸν τὸ τῆς πίστεως τῆς εἰς Χριστὸν κήρυγμα, ὅτι δὴ καὶ ἄχρι Ῥώμης ἦν φθάσαν καὶ ἐνεργῆσαν, καὶ πρὸ τῆς τοῦ Παύλου ἐπιδημίας· χαρὰ ἦν τῷ Παύλῳ μεγάλη τὸ ὁρᾶν πιστὸν, καὶ ὡς εἰς αὐτὸν φθανούσης τῆς εὐεργεσίας ηὐχαρίστει.

15 Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλ-
θον εἰς ἀπάντησιν ἡμῶν, ἄχρις Ἀππίου Φόρου καὶ Τριῶν
Ταβερνῶν·

Ἰσιδώρου. Τόπους τινὰς σημαίνει πρὸ τῆς Ῥώμης· τὸν μὲν εἰκόνα τινὰ Ἀππίου ἔχοντα ὡς εἰκὸς, καὶ Φόρον ἐκείνου καλουμένην. καὶ μέχρι τοῦ νῦν αἱ τῶν βασιλέων εἰκόνες Φόροι προσαγορεύονται· τὰ δὲ τῶν Ταβερνῶν πανδοχείων τινῶν ἢ καπηλείων χρῆσιν αἰνίσσονται, τῇ Ῥωμαίων φωνῇ οὕτως ὀνομαζόμενα.

[n] εἰδωλολατρεῖν Cod., corr. ex Œcum.

Οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστήσας τῷ Θεῷ, ἔλαβε θάρσος.

Τοῦ Χρυσοστόμου. Ὅρα δέ μοι αὐτὸν ἀνθρώπινόν τι παθόντα· θάρσος, φησὶν, ἔλαβεν ἰδὼν τοὺς ἀδελφούς· καίτοι τοσαῦτα σημεῖα ἐργασάμενος· ἀλλ' ὅμως ἔλαβε καὶ ἀπὸ τῆς ὄψεως προσθήκην· καὶ ἀπὸ τούτου μανθάνομεν, ὅτι ἀνθρωπίνως καὶ παρεκαλεῖτο καὶ τουναντίον.

ΚΕΦ. Μ.

Περὶ διαλέξεως Παύλου τῆς πρὸς τοὺς ἐν Ῥώμῃ Ἰουδαίους.

16 Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατοντάρχης παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.

Τοῦ Χρυσοστόμου. Συνεχωρήθη αὐτῷ καθ' ἑαυτὸν μεῖναι· οὐ μικρὸν καὶ τοῦτο τεκμήριον τοῦ θαυμασθέντος· οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων ἠρίθμουν αὐτόν· λοιπὸν γὰρ αἰδέσιμος ἦν ὁ Παῦλος ὥστε καὶ καθ' ἑαυτὸν μένειν· εἰ γὰρ καὶ πρὸ τούτου φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον νῦν· "σὺν τῷ φυλάσσοντι αὐτὸν "στρατιώτῃ," ὥστε μὴ ἐξεῖναι μηδὲ ἐκεῖ ἐπιβουλήν τινὰ αὐτὸν ὑποστῆναι, οὐ γὰρ ἐνῆν στασιάσαι λοιπόν· ὥστε οὐκ ἐκεῖνον ἐφύλασσον, ἀλλ' ὥστε μὴ γενέσθαι τι τῶν ἀηδῶν· οὐ γὰρ ἐξῆν λοιπὸν καὶ πόλεως οὔσης τοσαύτης, καὶ βασιλέως ὄντος, καὶ ἐφέσεως οὔσης, γενέσθαι τι παρὰ τὴν ἀκολουθίαν. οὕτως ἀεὶ διὰ τῶν δοκούντων εἶναι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν πάντα γίγνεται· φύλαξ γὰρ ἦν τοῦ Παύλου.

17 Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους.

Τοῦ αὐτοῦ. Ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς· καίτοι κοινὸν πρὸς ἐκείνους εἶχεν· οὐ γὰρ ἂν οὗτοι ἔμελλον κατηγορήσειν αὐτοῦ· ἀλλ' ὅμως οὐ τούτου ἐφρόντιζεν, ἀλλὰ τοῦ διδάξαι καὶ μὴ προστῆναι αὐτοῖς τὰ λεγόμενα· οἱ μὲν οὖν Ἰουδαῖοι τοσαῦτα ὁρῶντες σημεῖα, ἐδίωκον, ἤλαυνον· διελέγετο αὐτοῖς· ἀντιλέγοντες δὲ ἀνεχώρησαν· καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν·

οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετρέπετο τὸ κατ' αὐτόν· τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων πάντα ὑπὲρ ἡμῶν γίνεται.

Συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτοὺς, ἄνδρες
ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς
ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδό-
18 θην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων· οἵτινες ἀνακρίναντές
με ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου
ὑπάρχειν ἐν ἐμοί.

Τοῦ αὐτοῦ. *Πῶς λόγον ἔχει, φησὶ, τὸ ἁπλῶς σε παραδοῦναι; μαρτυροῦσιν οἱ Ῥωμαίων ἄρχοντές, φησιν, οἳ ἐβούλοντό με ἀπολῦσαι· πῶς οὖν οὐκ ἀπέλυσαν ἀντιλεγόντων τῶν Ἰουδαίων; ὅρα πῶς καθαιρεῖ αὐτῶν τὰ ἐγκλήματα· εἰ γὰρ ἐβούλετο αὐξῆσαι, ἐνῆν καταφορικώτερον χρήσασθαι· διὸ, φησὶν, "ἠναγκάσθην ἐπι-" καλέσασθαι Καίσαρα·" ὥστε συγγνώμης τὸ πᾶν ἐστίν.*

Ἐξ ἀνεπιγράφου. *Τὸ γὰρ ἀντὶ τῆς σκιᾶς τῆς ἀληθείας, αὐτὴν ἑλέσθαι θεραπεύει τὴν ἀλήθειαν· οὐκ ἦν ἐναντίως ποιεῖν· ὥσπερ ἀμέλει οὐδὲ ζωγράφος τὸν ἤδη σκιογραφηθέντα ἄνθρωπον εἰς τὸ ἐμφανέστερον ἄγων, αὐτὸς ἑαυτῷ ἐναντία χαράττειν δόξει.*

Διδύμου. *Ὁ ὑπερβὰς τὸ γράμμα τοῦ νόμου πνευματικὸν ὄψεται καὶ καταλλήλως αὐτὸ ἐκλήψεται, καὶ τὰ πάτρια ἤθη εἶναι νοητά· καὶ ἐπεὶ οὕτως προηγουμένως ὁ Θεὸς ταῦτα δεδώκει, οἱ τούτοις ἐμμένοντες λαός εἰσι Θεοῦ. οὐδὲν ἐναντίον ποιήσας κατὰ τὸ εὐαγγέλιον πολιτευσάμενος Παῦλος, ἀλλ' οὐδὲ τῷ νόμῳ ἢ τοῖς πατρίοις ἔθεσι, δεσμώτης εἰς τὰς χεῖρας τῶν Ῥωμαίων παρεδόθη, πεμφθεὶς ὑπὸ τῶν τότε κατοικούντων τὴν Ἱερουσαλὴμ Ἰουδαίων, πάντα κατὰ σκιὰν ἐκλαμβανόντων τὰ τοῦ νόμου καὶ τῶν ἐθῶν τῶν πατρῴων. μηδεὶς οὖν εἰρηκότα τὸν Ἀπόστολον τὰ προκείμενα ψεύδεσθαι αὐτὸν ἡγήσηται· οἱ γὰρ τοιοῦτοι ἀπεναντίας πολλὰ ποιοῦσι τῷ μετὰ τὸ Εὐαγγέλιον περιέπειν τὴν σήν*[n].

19 Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικα-
λέσασθαι Καίσαρα,

Ἀμμωνίου. *Σημειωτέον πάλιν ὅτι οὐ μόνον ἐγγράφοις νόμοις*

[n] Sic.

ἤτοι παραγγελίαις δεῖ ἡμᾶς πειθαρχεῖν τοὺς τῇ πίστει τῇ εἰς Χριστὸν πιστεύοντας, ἀλλὰ καὶ τοῖς ἔθεσιν· ὅπερ κυρίως ἐστὶν ἔγγραφος νόμος· ἁρμόζει κατὰ τῶν τὰ ἔθη τῆς Ἐκκλησίας πολυπραγμονούντων καὶ λογισμὸν ἀφ' ἑκάστου ζητούντων, ἢ ἔγγραφον παράδοσιν καινοτομίας εἰσάγειν πειρωμένων κατὰ τὴν ἄκριτον αὐτῶν βουλήν. "ἀντιλεγόντων Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα·" εἰδὼς ὁ Παῦλος ὅτι ἄτοπον ἦν ὅλως δικάσασθαι, καὶ μάλιστα παρὰ ἀπίστῳ, περὶ ἀμφοτέρων ἀπολογεῖται, ὅτι οὔτε παρὰ τὸν νενομισμένον πράξας ἀλλὰ συκοφαντηθεὶς ἀνεκλήθην ὑπὸ Ἰουδαίων, οὔτε ἑκὼν ἐπεκαλεσάμην Καίσαρα, ἀλλ' αὐτῶν δεδωκότων τὴν αἰτίαν· ἀνθ' ὧν οὐκ ἠνείχοντο, οὔτε κατὰ τὸν τῆς Ἐκκλησίας νόμον δικάσαι μοι· οὔτε ταῖς τῶν ἀρχόντων πειθαρχῆσαι ἐννόμοις ἀποφάσεσι· εἵνεκα γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ, μία γὰρ ἦν ἐλπὶς σωτηρία τοῖς Ἰουδαίοις περιλιμπανομένη ἐκ τῶν γραφῶν, ὁ Χριστὸς, ὃν ἐγὼ κηρύσσων εἰς ταύτην ἦλθον τὴν κατάστασιν τῶν δεσμῶν.

20 Οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι·

Τοῦ Χρυσοστόμου. Τί οὖν ἵνα αὐτῶν κατηγορήσῃς τοῦτο πεποίηκας; οὔ φησιν, ἀλλ' ὥστε διαφυγεῖν τὸν κίνδυνον.

Ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ, τὴν ἅλυσιν ταύτην περίκειμαι.

Διακεῖσθαι, ὅτι ἕνεκεν ὑμῶν "τὴν ἅλυσιν ταύτην περίκειμαι·" διὰ ταύτην, φησὶ, τὴν αἰτίαν ἐβουλόμην ὑμᾶς ἰδεῖν, ὥστε μὴ ἐξεῖναι τινὰ κατηγορεῖν, καὶ τὰ παριστάμενα λέγειν, ὅτι δὴ τὰς χεῖρας αὐτῶν διαφυγὼν, ἐπὶ τὸ αὐτὸ ἦλθον, οὐχ ἑτέροις διδοὺς κακὰ, ἀλλ' αὐτὸς φεύγων κακά.

21 Οἱ δὲ πρὸς αὐτὸν εἶπον, ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν, ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν.

Τοῦ αὐτοῦ. Εἶτα καὶ ἐκεῖνοι οὕτως ἐχειρώθησαν τῷ λόγῳ, ὡς καὶ αὐτοὶ ἀπολογήσασθαι ὑπὲρ τῶν συγγενῶν.

22 Ἀξιοῦμεν δὲ ἀκοῦσαι παρὰ σοῦ ἃ φρονεῖς·

Ευσεβιου. Πρὶν ἐπιδημῆσαι τὸν Παῦλον ἐν τῇ Ῥώμῃ παρηγγελμένοι ἦσαν Ἰουδαῖοι μὴ παραδέξασθαι τὸ περὶ Χριστοῦ κήρυγμα· οὐκ αὐτοὶ δὲ μόνοι, ἀλλὰ καὶ οἱ πανταχοῦ γῆς· πόθεν δῆλον; τοῦτο εὕρομεν ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν, ὡς οἱ τὴν Ἱερουσαλὴμ οἰκοῦντες ἱερεῖς καὶ γραμματεῖς καὶ πρεσβύτεροι, γράμματα διαχαράξαντες, εἰς πάντα διεπέμψαντο τὰ ἔθνη τοῖς ἁπανταχοῦ Ἰουδαίοις διαβάλλοντες τὴν τοῦ Χριστοῦ διδασκαλίαν ὡς ἀλλοτρίαν τοῦ Θεοῦ· παρήγγελλόν τε δι' ἐπιστολῶν μὴ παραδέξασθαι αὐτήν· τοῦτο δὴ αὐτὸ σημαίνειν ἔοικε καὶ ἡ λέγουσα προφητεία Ἡσαίου· "οὐαὶ γῆς, πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βυβλίνας ἐπάνω τοῦ ὕδατος·" δι' ὧν σημαίνει, ὡς καὶ παρὰ τῆς Αἰθιόπων χώρας καὶ τῶν ἐσχατιῶν τῆς γῆς ὁ τῆς πονηρίας ἦχος τῶν τὴν Ἰουδαίαν οἰκούντων διά τινων ὥσπερ ἱπταμένων πλοίων προῆλθεν· οἵ τε ἀπόστολοι αὐτῶν ἐπιστολὰς βυβλίνας ἐπικομιζόμενοι ὑπεράνω[o] τὲ τῶν ὑδάτων ναυτιλλόμενοι, καὶ τὴν θάλασσαν ἐμπλέοντες, πανταχοῦ γῆς διέτρεχον τὸν περὶ τοῦ Σωτῆρος ἡμῶν διαβάλλοντες λόγον· ἀποστόλους δὲ εἰσέτι νῦν ἔθος ἐστὶν Ἰουδαίοις ὀνομάζειν, τοὺς ἐγκύκλια γράμματα παρὰ τῶν ἀρχόντων αὐτῶν ἐπικομιζομένους· τὸ δὲ ἑξῆς τῆς προφητείας περὶ τῶν μαθητῶν τοῦ Σωτῆρος ἡμῶν εἰρῆσθαι, οὓς διὰ τὸ πᾶσιν ἀνθρώποις ἀγαθῶν εὐαγγελιστὰς εἶναι, ἀγγέλους κούφους ὠνόμασε, πρὸς ἀντιδιαστολὴν ὧν ἐδήλωσεν Ἰουδαϊκῶν ἀποστόλων.

Περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωστὸν ἡμῖν ἐστιν,

Αμμωνιου. Αἵρεσιν καλοῦσιν Ἰουδαῖοι τὴν εἰς Χριστὸν πίστιν· "ὅτι πανταχοῦ ἀντιλέγεται·" ἰδοὺ καὶ Ἰουδαῖοι μαρτυροῦσιν ὅτι πανταχοῦ ἐκηρύχθη ὁ Χριστός· πλὴν οὐ πάντες, φησὶ, καταδέχονται τὸ κήρυγμα, ἀλλὰ ἀντιλέγουσι τινὲς Ἰουδαῖοι ἢ Ἕλληνες, ἢ καὶ ἄλλως αἱρετικοὶ, μὴ συμφωνοῦντες τῇ ἀληθῇ πίστει· ἔδει γὰρ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανῶσι, καὶ πληρωθῇ διὰ πάντων τὸ προφητευθὲν εἰς τὸν Χριστὸν διὰ Συμεὼν τοῦ προ-

[o] ὑπὲρ ἄνω Cod.

φήτου εἰπόντος περὶ αὐτοῦ, "ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ "ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγό-"μενον."

Ὅτι πανταχοῦ ἀντιλέγεται.

Τοῦ Χρυσοστόμου. Ἀλλὰ καὶ πείθονται πανταχοῦ.

23 Ταξάμενοι δὲ ἡμέραν, ἦλθον εἰς τὴν ξενίαν πρὸς αὐτὸν πλείονες· οἷς ἐξετίθετο διαμαρτυρούμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τὲ αὐτοὺς περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.

Τοῦ αὐτοῦ. Ὅρα πάλιν, οὐκ ἀπὸ σημείων ἀλλὰ νόμου καὶ προφητῶν ἐπιστομίζοντα αὐτούς· καίτοιγε ἐνῆν καὶ σημεῖα ποιῆσαι· ἀλλὰ λοιπὸν οὐκέτι πιστὸν τὸ πρᾶγμα ἦν· μέγα γὰρ τοῦτο σημεῖον ἦν, ἀπὸ νόμου καὶ τῶν προφητῶν διαλέγεσθαι.

Ἀμμωνίου. Ἐξ ἐγγράφων ἀποδείξεων συνιστᾷ τοὺς ἑαυτοῦ λόγους ὁ Παῦλος· καὶ οὐδὲ ἐξ ἀσήμων καὶ ἀκανονίστων βιβλίων, οὐδὲ ἐξ ἀλλοτρίας θρησκείας, ἀλλ' ἐξ ἑαυτῶν· διό φησι, "καλῶς "τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς "τοὺς πατέρας ὑμῶν." Καὶ μετ' ὀλίγα—Ἀλλ' ἐκ Μωσέως καὶ τῶν προφητῶν· διὸ πρὸς τοὺς μὴ πεισθέντας, ὡς κακοήθως καὶ ἄνευ λόγου ἀποτρεπομένους, αὐτὴν παρήγαγε τὴν Ἡσαΐου χρῆσιν· ἐν οἷς φησὶ, "καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐ-"τῶν ἐκάμμυσαν" δεικνὺς ὅτι ἐν εἰδήσει ὄντες τοῦ ἀληθοῦς, ἀποπροσποιοῦνται, μὴ θέλοντες πεισθῆναι· "καὶ οἱ μὲν ἐπείθοντο τοῖς "λεγομένοις, οἱ δὲ ἠπίστουν" ἀνενδότως εἶχε περὶ τὸ πρᾶγμα ὁ Παῦλος, μὴ ἀποκάμνων πρὸς τὸ ἔργον τῆς σωτηριώδους πίστεως, καὶ πρὸς τὸν εὐαγγελικὸν λόγον· διὸ καὶ ἔπειθε τινὰς, τῶν ἄλλων διὰ κακίαν ἀπιστούντων.

24 Καὶ οἱ μὲν αὐτῶν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ
25 ἠπίστουν. ἀσύμφωνοί τε ὄντες πρὸς ἀλλήλους ἀπε-
λύοντο,

Τοῦ Χρυσοστόμου. Ἀλλ' ὅρα πῶς οὐ ῥάπτουσιν ἐπιβουλὰς νῦν κατ' αὐτοῦ· ἐν γὰρ τῇ Ἰουδαίᾳ ὡς ἐν τυραννίδι ἦσαν· τίνος

οὗν ἕνεκα ᾠκονόμησεν ἐκεῖ αὐτὸν ἀπελθεῖν· καίτοι εἰπὼν, σπεῦσον, ἔξελθε ἐξ Ἱερουσαλὴμ; ἵνα δειχθῇ αὐτῶν καὶ ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθὴς, ὅτι οὐκ ἀνέχονται· καὶ ὥστε μαθεῖν πάντας, ὅτι πάντα ἕτοιμός ἐστι παθεῖν· καὶ ὥστε εἰς παράκλησιν τῶν ἐν Ἰουδαίᾳ γενέσθαι τὸ γενόμενον· καὶ γὰρ καὶ ἐκεῖ πολλὰ ἔπασχον δεινά· εἰ δὲ κηρύττων τὰ Ἰουδαϊκὰ τοῦτο ἔπασχεν· εἰ ἐκήρυττε τὰ τῆς δόξης τοῦ Χριστοῦ, πῶς ἂν ἠνέσχοντο; ἁγνιζόμενος οὐκ ἐγένετο φορητός· καὶ πῶς κηρύσσων φορητὸς ἦν; τί ἐγκαλεῖτε ὑμεῖς; τί ἠκούσατε; οὐδὲν τοιοῦτον εἶπεν· ἁπλῶς ὤφθη, καὶ πάντας παρώξυνεν· εἰκότως ἄρα τοῖς ἔθνεσιν ἀπενεμήθη· εἰκότως μακρὰν ἐπέμφθη· καὶ ἐκεῖ μέλλων τοῖς ἔθνεσι διαλέγεσθαι, πρώτους Ἰουδαίους καλεῖ· ἔπειτα δείξας αὐτοῖς τὰ πράγματα, τότε ἐπὶ τὰ ἔθνη ἔρχεται.

Εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,

ΤΟΥ ΑΥΤΟΥ. *Καὶ ἀντιλέγοντες ἀνεχώρησαν, καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν· οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετρέπετο λοιπὸν τὰ κατ' αὐτόν· τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων πάντων ὑπὲρ ἡμῶν γίνεται.*

ΤΟΥ ΑΥΤΟΥ. *Ὅτε δὲ ἀνεχώρουν ἀντιτασσόμενοι αὐτῷ, τότε ὑβρίζει· οὐκ ἐκείνους ὑβρίσαι βουλόμενος, ἀλλὰ τούτους στηρίξαι.* Καὶ μετ' ὀλίγα—*Τὸ δὲ εἰπεῖν ὅτι εἶπε τὸ Πνεῦμα, οὐδὲν θαυμαστόν· καὶ γὰρ ἄγγελος λέγεται λέγειν, ἅπερ ἂν Κύριος εἴπε· "καλῶς εἶπε," φησὶ, "τὸ Πνεῦμα τὸ Ἅγιον·" ἀλλ' ἐκεῖνο οὐκ ἔτι· ὅταν διήγηταί τις περὶ τῶν ὑπὸ τοῦ ἀγγέλου λεχθέντων, οὐ λέγει, καλῶς εἶπεν ὁ ἄγγελος· ἀλλὰ καλῶς εἶπεν ὁ Κύριος· ἀλλὰ καλῶς εἶπε τὸ Πνεῦμα· ἀντὶ τοῦ, οὐκ ἐμοὶ ἀπιστεῖτε, ἀλλ' ἄνωθεν τοῦτο προῄδει ὁ Θεός.*

ΕΞ ΑΝΕΠΙΓΡΑΦΟΥ. *Τοῖς ὑπουργὸν λέγουσι τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἐνταῦθα πάλιν ὁ Παῦλος καιρίαν δίδωσι τὴν πληγήν· τὸν γὰρ Κύριον τὸν καθήμενον ἐπὶ θρόνον ὑψηλοῦ καὶ ἐπηρμένου, ὡς εἶδεν Ἡσαΐας, ὧδε λέγει "τὸ Πνεῦμα τὸ Ἅγιον"*

ὁμοούσιον γάρ ἐστι τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῆς ἴσης ἐξουσίας μετέχει· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Σευήρου. Ἰστέον δὲ ὅτι τὰ τῆς προφητείας ταύτης εἰς τὸν μέλλοντα χρονὸν ἐγκέκλιται· καὶ περὶ Ἰουδαίων προλέγει τῶν μελλόντων ἀπιστήσειν τῷ ἄνθρακι, τουτέστι τῷ Σωτῆρι Χριστῷ, τῷ διαλεχθησομένῳ καὶ διδάξοντι καὶ οὐκ ἀκουσθησομένῳ πρὸς αὐτῶν, καὶ σημεῖα καὶ θεοπρεπέστατα θαύματα δείξοντι, καὶ οὐ θεαθησομένῳ διὰ τὴν αὐτῶν αἰτίαν· ἐπήγαγε γὰρ εὐθὺς ὁ λόγος, ἵνα μή τις φιλαιτίως ταύτην ἐπὶ Θεὸν ἀναφέρῃ τὸ "ἐπαχύνθη "γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως "ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι "τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, "καὶ ἐπιστρέψωσι πρός με, καὶ ἰάσομαι αὐτούς·" τοῦτο ὑποστίζοντας οὕτως ἀναγινώσκειν προσήκει· "καὶ τοὺς ὀφθαλμοὺς αὐ-"τῶν ἐκάμμυσαν, μήποτε ἴδωσι·" καὶ γὰρ τῆς ἄκρας αὐτῶν παχύτητος τῆς καρδίας, καὶ τῆς τυφλώσεως τῶν τῆς διανοίας ὀφθαλμῶν κατηγορίαν ἔχει μεγίστην· οὕτω γάρ φησι, τὴν καρδίαν ἐπάχυναν καὶ τοὺς ὀφθαλμοὺς ἔμυσαν· τάχα που καὶ δεδιότες μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς· καὶ οὐχ ὡς ἐκ Θεοῦ σπουδάζοντος μὴ ἰδεῖν αὐτοὺς, τοῦτο λέγεται, τοῦ βουλομένου πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὥσπερ φθονοῦντος μὴ ἄρα που κατακούσωσι· τοῦτο γὰρ κἂν τῇ συνηθείᾳ λέγειν εἰώθασιν ἐπὶ τῶν πόρρω φευγόντων καὶ μὴ βουλομένων ἀκοῦσαι λόγον σωτηρίας· ὁ ἄνθρωπος οὗτος τοσοῦτον φεύγει καὶ ἀπάγει τὴν ἀκοὴν, φοβούμενος μήποτε καὶ ἀκούσῃ λόγον τὸν ἐπιστρέφοντα καὶ ἀναχαιτίζοντα τῆς κακίας αὐτόν.

26 Λέγον, πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἶπον,
ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέ-
27 ψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ
λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μήποτε ἴδωσι τοῖς ὀφ-
θαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι,
καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.

Τοῦ Ἁγίου Βασιλείου· Τοῦτο τὸ ῥητὸν σαφῶς καὶ ἀναντιρ-

ῥήτως ἐπὶ τοὺς χρόνους φέρων τῆς τοῦ Κυρίου ἐπιδημίας, ὁ μακάριος Παῦλος ἔλεγεν ἐν ταῖς Πράξεσι τοῖς ἐν Ῥώμῃ Ἰουδαίοις διαλεγόμενος, "καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε διὰ Ἡσαΐου "τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν λέγον, πορεύθητι καὶ "εἶπον τῷ λαῷ τούτῳ," καὶ τὰ ἑξῆς· καὶ τοῦτο μάλιστα τὸ ῥητὸν ὡς θεόθεν ἀποφθεγγόμενον παρασκευάζει· ἐπείπερ ἤκουσεν ὁ λαὸς τοῦ Ἰησοῦ λόγον καὶ οὐ συνῆκε, καὶ βλέπων τὰ ὑπ' αὐτοῦ γινόμενα τεράστια οὐχ ἑώρα· εἰς μέλλοντα γὰρ χρόνον ἐγκλίνον τὸ ῥητὸν, ἐμφαίνει τὴν εἰς ὑστέρους χρόνους τῶν προφητευομένων ἀναφοράν· καὶ ἐν τούτῳ τὸ εὔλογον τῆς τοῦ Θεοῦ κρίσεως ἀναφαίνεται· εἰπόντος γὰρ τοῦ Ἡσαΐου ὅτι "ἀκάθαρτα χείλη ἔχω," καὶ συνάψαντος περὶ τοῦ λαοῦ, ὅτι "ἐν μέσῳ λαοῦ οἰκῶ ἀκάθαρτα "χείλη ἔχοντος," αὐτῷ μὲν ἐδόθη χάρις τῆς συγχωρήσεως, καὶ ἡ κάθαρσις δι' ἑνὸς τῶν Σεραφεὶμ, τῷ δὲ λαῷ οὐκέτι· ἐπειδὴ οὐδὲ τὴν διάθεσιν ὁμοίαν εἶχον ὅ τε προφήτης καὶ ὁ λαός· ὁ μὲν γὰρ εἶδε Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπίστευσεν οἷς ἐθεάσατο· οἱ δὲ βλέποντες ἐπιδημήσαντα τὸν Κύριον, οὐκ ἐπίστευον· καὶ ὁ μὲν ἀκούσας τῶν Σεραφεὶμ συνῆκε τῆς δοξολογίας αὐτῶν· οἱ δὲ ἀκούοντες τῶν ῥημάτων τοῦ Σωτῆρος, οὐ κατεδέχοντο· καὶ τοῦ μὲν ἡ καρδία κατανυγεῖσα συνήσθετο τῆς ἰδίας ἁμαρτίας· διὸ εἶπεν, "ὦ τάλας ἐγὼ ὅτι κατανένυγμαι·" τῶν δὲ ἐπεσχέθη ἡ καρδία πρὸς τὸ μηδεμίαν λαβεῖν ἔννοιαν ὧν ἡμάρτανον, μηδὲ προσελθεῖν τῷ δυναμένῳ αὐτοῖς ἀφιέναι ἁμαρτίας· διὰ τοῦτο ὁ μὲν ἐκαθαρίσθη, οἱ δὲ ἀφείθησαν ἐν ταῖς ἁμαρτίαις.

Τοῦ Χρυσοστόμου. Ἴδε καὶ τὸν προφήτην μετὰ τοσαύτης ἀκριβείας κατηγοροῦντα· οὐδὲ γὰρ αὐτὸς εἶπεν, ὅτι οὐ μὴ βλέψητε, ἀλλ' ὅτι βλέψητε, καὶ οὐ μὴ ἴδητε· οὐδ' ὅτι οὐκ ἀκούσεσθε, ἀλλ' ὅτι ἀκούσεσθε, καὶ οὐ μὴ συνῆτε· αὐτοὶ ἑαυτοὺς ἀφεῖλον, πρῶτοι τὰ ὦτα βύσαντες, τοὺς ὀφθαλμοὺς καμμύσαντες, τὴν καρδίαν βαρύναντες· οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ βαρέως ἤκουον· ἐποίησαν δὲ τοῦτό, φησι, "μήποτε ἐπιστρέψωσι, καὶ "ἰάσομαι αὐτούς·" ἐπιτεταμένην αὐτῶν πονηρίαν καὶ τὴν μετὰ σπουδῆς ἀποστροφήν· καὶ τοῦτο λέγει ἐφελκόμενος αὐτοὺς καὶ ἐρεθίζων, καὶ δεικνὺς, ὅτι ἐὰν ἐπιστρέψωσιν ἰάσεται αὐτούς.

28 **Γνῶστον οὖν ὑμῖν ἔστω, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη**
29 **τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ**
ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν
ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.

Τοῦ Χρυσοστόμου. *Ὥστε τοῖς ἔθνεσι δέδοται γνῶναι τὸ μυστήριον τοῦτο· οὐδὲν οὖν θαυμαστὸν, εἰ ἀντέλεγον· ἄνωθεν τοῦτο προελέγετο· πάλιν τὸν ζῆλον αὐτῶν κινεῖ τῶν ἐξ ἐθνῶν.* Καὶ *μετ' ὀλίγα—"* Αὐτοί," *φησι, "καὶ ἀκούσονται·" τί οὖν ἡμῖν διαλέγῃ ταῦτα οὐκ ᾔδεις; ναί ἀλλ' ὥς τε πεισθῆναι καὶ ἀπολογήσασθαί με, καὶ μηδενὶ δοῦναι λαβήν.*

Ἀμμωνίου. Καὶ *ὀπίσω ἐλέχθη, ὅτι τῶν* Ἰουδαίων *ἀποβαλλομένων τὸν λόγον, "στρεφόμεθα εἰς τὰ ἔθνη·" λείπει δὲ τὸ διὰ, ἀντὶ τοῦ ἡ σωτηρία ἡ διὰ τοῦ* Θεοῦ *διδομένη τοῖς πιστοῖς.*

30 Ἔμεινε *δὲ ὁ* Παῦλος *διετίαν ὅλην ἐν ἰδίῳ μισθώ-*
ματι, καὶ ὑπεδέχετο πάντας τοὺς εἰσπορευμένους πρὸς
αὐτὸν,

Τοῦ Χρυσοστόμου. *Δείκνυσι τὴν ἐλευθερίαν· λοιπὸν κηρύττων, φησὶν, ἀκωλύτως ἐν* Ῥώμῃ *ὁ ἐν* Ἰουδαίᾳ *κωλυθεὶς, ἐπὶ δύο ἔτη ἔμεινεν ἐκεῖ· τὰ δὲ μετὰ τὴν διετίαν τι λέγομεν, εἰς* Σπανίαν *ἐλθεῖν ἐπείγομαι, καὶ ἐλπίζω, φησὶ, διαπορευόμενος θεάσασθαι ὑμᾶς· πρὸς δὲ ὑμᾶς ἀπὸ μέρους· ὅρα πῶς πάντα προεώρα ἡ ἁγία καὶ θεία κεφαλὴ, ὁ τῶν οὐρανῶν ὑψηλότερος πάντων, ὁ ψυχὴν πάντα ὁμοῦ δυναμένην περιλαβεῖν, ὁ τὰ πάντα κατέχων* Παῦλος· *οὗ τοῖς εἰδόσι καὶ τὸ ὄνομα μόνον ἀρκεῖ πρὸς διέγερσιν ψυχῆς, πρὸς νῆψιν, πρὸς πάντα ὕπνον ἀποτινάξασθαι· ἐδέξατο αὐτὸν* Ῥώμη *δεδεμένον, ἀπὸ θαλάσσης ἀναβαίνοντα, ἐκ ναυαγίου διασωθέντα· καὶ ἀπηλλάγη τοῦ ναυαγίου τῆς πλάνης. καθαπέρ τις βασιλεὺς ναυμαχήσας καὶ νικήσας, ἔβαινε τῆς βασιλικωτάτης ἐκείνης νεώς· περὶ τούτου γάρ, φησι, "ἐλεύσομαι, " καὶ συναναπαύσομαι ὑμῖν ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγε-" λίου·" ἐγγύτερος ἦν λοιπὸν τοῦ οὐρανοῦ· ἐδέξατο αὐτὸν ἡ* Ῥώμη *δεδεμένον, καὶ εἶδε στεφανωθέντα καὶ ἀνακηρυχθέντα ἐκεῖ· συναναπαύσομαι ὑμῖν, φησι· τὸ δὲ ἀρχὴ τοῦ δρόμου πάλιν ἦν· καὶ τρόπαια τροπαίοις συνῆπτεν ἀκατάπληκτος ὤν.* Κόρινθος *αὐτὸν*

κάτεσχε δύο ἔτη, καὶ Ἀσία τρία· καὶ αὐτὴ δύο τέως· δεύτερον ἐπέβη πάλιν, ὅτε καὶ ἐτελειώθη. " ἐν τῇ πρώτῃ ἀπολογίᾳ, φησιν, " οὐδείς μοι συμπαρεγένετο·" οὕτω διέφυγε τότε, καὶ πᾶσαν ἐμπλήσας οἰκουμένην, κατέλυσεν οὕτω τὸν βίον· τί ἐβούλου μαθεῖν τὰ μετὰ ταῦτα; τοιαῦτα ἐστὶ καὶ ἐκεῖνα· τὰ δεσμὰ, βάσανοι, μάχαι, φυλακαὶ, ἐπιβουλαὶ, συκοφαντίαι, θάνατοι καθημερινοί· εἶδες αὐτοῦ μικρὸν μέρος χρυσοῦν, ὅσον ἂν ἴδῃς τοιοῦτός ἐστι· λοιπὸν οὐρανοῦ μέρος ἂν ἴδῃς ἕν· ὅπου δ' ἂν ἀπέλθῃς, τοιοῦτον ὄψει ἡλίου τὰς ἀκτῖνας, κἂν ἐκ μέρους ἴδῃς, στόχασαι τὸ λοιπόν· οὕτω καὶ Παύλου τὰς πράξεις εἶδες ἐκ μέρους· πᾶσαι τοιαῦται τυγχάνουσι· κινδύνων γέμουσιν· οὐρανὸς ἦν ἐκεῖνος ἥλιον δικαιοσύνης ἔχων, οὐ τοιοῦτον, ὥστε καὶ οὐρανοῦ βελτίων ὁ ἀνήρ· ἢ μικρὸν οἴει τοῦτο εἶναι; ὅταν Ἀπόστολον εἴπῃς, εὐθέως οἱ πάντες ἐννοοῦσιν, ὥσπερ ὅταν βαπτιστὴν, εὐθέως τὸν Ἰωάννην.

Τοῦ Χρυσοστόμου. *Οὐ καθάπερ ὁ Σινωπεὺς ἐκεῖνος, ὁ ῥάκια περιβεβλημένος καὶ πίθον οἰκῶν εἰς οὐδὲν δέον, ἐξέπληξε μὲν πολλοὺς, ὠφέλησε δὲ οὐδένα· ὁ δὲ Παῦλος τούτων μὲν οὐδὲν ἐποίει· οὐδὲ γὰρ πρὸς φιλοτιμίαν ἔβλεπεν· ἀλλὰ καὶ ἱμάτια περιεβέβλητο μετ' εὐσχημοσύνης ἁπάσης, καὶ οἰκίαν ᾤκει διηνεκῶς, καὶ τὴν ἀκρίβειαν πᾶσαν ἐπὶ τῆς ἄλλης ἀρετῆς ἐπεδείκνυτο· ἧς ὁ Κυνικὸς κατεφρόνει, ζῶν ἀσελγῶς, καὶ δημοσίᾳ ἀσχημονῶν, καὶ ὑπὸ τῆς περὶ τὴν δόξαν μανίας συρόμενος· ἂν γὰρ ἔρηταί τις τῆς τοῦ πίθου οἰκήσεως τὴν αἰτίαν, οὐδεμίαν ἑτέραν εὑρήσειεν, ἀλλ' ἢ κενοδοξίαν μόνην· ὁ δὲ Παῦλος καὶ μισθὸν παρεῖχε τῆς οἰκίας ἐν ᾗ κατέμενεν ἐν τῇ Ῥώμῃ· καίτοιγε ὁ τὰ πολλὰ συντονώτερα δυνηθεὶς, πολλῷ μᾶλλον τοῦτο ἴσχυσεν ἄν· ἀλλ' οὐχ ἑώρα πρὸς δόξαν, τὸ χαλεπὸν θήριον, τὸν δαίμονα τὸν δεινὸν, τὴν λύμην τῆς οἰκουμένης, τὴν ἔχιν τὴν ἰοβόλον.*

31 Κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ,

Τοῦ Χρυσοστόμου. *Ὅρα οὐδὲν αἰσθητὸν, οὐδὲ περὶ τῶν παρόντων, ἀλλὰ ταῖς ἐλπίσιν αὐτοὺς ἔτρεφεν, οὐκ ἔχων ἐπιδείξασθαι ἀπὸ τῶν καθ' ἑαυτόν.*

Καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, μετὰ πάσης παρρησίας ἀκωλύτως. Ἀμήν.

Τοῦ αὐτοῦ. Μετὰ παρρησίας ἀκωλύτως· ἔνι γὰρ μετὰ παρρησίας λέγειν, ἀλλὰ κεκωλυμένως· τὴν γὰρ παρρησίαν αὐτοῦ οὐδὲν ἔκοψεν, ἀλλὰ καὶ ἀκωλύτως ἔλεγεν· ὁρᾷς οἰκονομίαν Θεοῦ; ἀφίησι διψῶντα τὸν ἀκροατήν· τοῦτο καὶ οἱ ἔξω ποιοῦσι· τὸ γὰρ πάντα εἰδέναι νωθῆ ποιεῖ καὶ ἐκκεχυμένον.

Ὁ ἅγιος Ἰωάννης ὁ Κωνσταντίνου πόλεως Ἐπίσκοπος ἐν τῷ ὑπομνήματι τῆς πρὸς Τιμόθεον δευτέρας Ἐπιστολῆς λέγει, ῥητοῦ προκειμένου "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ πάντες με ἐγκατέλιπον·" ποίαν πρώτην ἀπολογίαν λέγει; παρέστη ἤδη τῷ Νέρωνι, καὶ διέφυγεν· ἐπειδὴ δὲ τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν ἀπέτεμεν· ἄλλοι δέ φησιν, ὅτι καὶ τὰς παλλακὰς αὐτοῦ κατήχησεν.

Ἐκ τοῦ Προλόγου τοῦ ἐν τῇ Βίβλῳ τῶν Ἐπιστολῶν τοῦ αὐτοῦ Ἀποστόλου Παύλου προτασσομένου[q]. Συνῆν δὲ τῷ Παύλῳ καὶ Ἀρίσταρχος, ὃν καὶ εἰκότως συναιχμάλωτόν που τῶν Ἀποστόλων[r] ἀποκαλεῖ, καὶ Λουκᾶς ὁ τὰς Πράξεις τῶν Ἀποστόλων γραφῇ παραδούς· κἀκεῖσε οὖν ἐπὶ τῆς Ῥωμαίων ὁ Παῦλος διετίαν ὅλην αὖθις ἐφυλάττετο· ταῦτα γὰρ καὶ μέχρι τούτων ἱστορεῖ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, κατ' ἐκεῖνο καιροῦ τὸ βιβλίον συγγραψάμενος· καὶ καθεξῆς ἥκιστα τότε γινώσκων· οὐδὲ γὰρ τὸ μαρτύριον τούτου ἐγκατέθετο τῇ βίβλῳ· καταλιπόντες γὰρ αὐτὸν Λουκᾶς τε καὶ Ἀρίσταρχος ἐξῆλθον. Εὐσέβιος δὲ τοὺς μετέπειτα χρόνους ἀκριβῶς περιεργασάμενος, ἱστόρησεν ἡμῖν καὶ ἐν τῷ β' τόμῳ τῆς Ἐκκλησιαστικῆς ἱστορίας τούτου καὶ τὸ μαρτύριον· καί φησι τὸν Παῦλον ἄνετον διατρίψαι, καὶ τὸν τοῦ Θεοῦ λόγον ἀκωλύτως κηρύξαι ἐπισημηνάμενος. τότε μὲν οὖν ἐπὶ Νέρωνος ἀπολογησάμενον τὸν Παῦλον αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι, πρὸς Καίσαρος ἀπολυθέντα, καὶ εὐαγγελίσασθαι ἐφ' ἑτέροις δέκα ἔτεσιν. εἰς ἄκρον δὲ μανίας ὁ Νέρων ἀφικόμενος, ἀνεῖλε μὲν Ἀγριππίναν πρῶτον τὴν ἰδίαν μητέρα, ἔτι δὲ καὶ τὴν ἀδελφὴν τοῦ πατρὸς, καὶ τὴν Ὀκταουΐαν[s] τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἄλλους μυρίους τῷ γένει προσήκοντας· μετέπειτα δὲ καθολικὸν διωγμὸν ἐκίνησε κατὰ τῶν

[q] Nempe ex Euthalii Prolog. Zacagn. Monum. p. 531.
[r] Sic Cod. sed leg. ἐπιστολῶν cum Zacagn. [s] ἀκταουΐαν Cod.

Χριστιανῶν· καὶ οὕτως ἐπὶ τὰς κατὰ τῶν Ἀποστόλων ἐπήρθη σφαγάς. μεταστειλάμενος γὰρ τὸν Παῦλον, αὖθις ἐπὶ τοῦ βήματος παριστᾷ· συνῆλθε πάλιν ὁ Λουκᾶς αὐτῷ· ἔνθα δὴ συνέβη τῷ Παύλῳ λϛ´ ἔτει τοῦ σωτηρίου πάθους, τρισκαιδεκάτῳ δὲ Νέρωνος, μαρτυρῆσαι, ξίφει τὴν κεφαλὴν ἀποτμηθέντα. Ἔστι τοίνυν ἀπὸ τοῦ ιθ´ ἔτους Τιβερίου Καίσαρος, ἐξ οὗ κηρύσσειν τὸ Εὐαγγέλιον ἤρξατο, ἕως κβ´, ἔτη δ´· καὶ τὰ Γαΐου δὲ ὡσαύτως ἔτη δ´· αὖθις δὲ καὶ τὰ Κλαυδίου ἔτη μικρῷ ἔλαττον ιδ´· ὃν διαδεξάμενος Νέρων τρισκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἀρχῆς τὸν Ἀπόστολον ἀνεῖλε· γράφει δ᾽ οὖν ὁ Ἀπόστολος Τιμοθέῳ, περὶ μὲν τῆς πρώτης αὐτοῦ ἀπολογίας φάσκων τάδε· "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι "παρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη· "ὁ δὲ Κύριος παρέστη, καὶ ἐνεδυνάμωσέ με· ἵνα δι᾽ ἐμοῦ τὸ κή-"ρυγμα πληροφορηθῇ, καὶ ἀκούσωσι πάντα τὰ ἔθνη· καὶ ἐρρύσθην "ἐκ στόματος λέοντος" τοῦτον τὸν Νέρωνα εἶναι λέγων. περὶ δὲ τῆς β´, ἐν ᾗ τελειοῦται τῷ κατ᾽ αὐτὸν μαρτυρίῳ, φησὶ, "τὴν "καλὴν διακονίαν σου πληροφόρησον· ἐγὼ γὰρ ἤδη σπένδομαι, "καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκε·" καὶ ὅτι Λουκᾶς ἦν πάλιν σὺν αὐτῷ, μετ᾽ ὀλίγα τῆς Ἐπιστολῆς "ἀσπάζεταί σε," γράφει, "Λουκᾶς ὁ σὺν ἐμοί." Ἔστιν οὖν ὁ πᾶς χρόνος τοῦ κηρύγματος Παύλου κα´ ἔτος, καὶ ἕτερα β´ ἔτη, ἃ ἐτέλεσεν ἐν τῷ κατὰ Καισαρείαν δεσμωτηρίῳ· πρὸς δὲ τούτους πάλιν τὰ ἐν Ῥώμῃ ἕτερα δύο· καὶ τὰ τελευταία δὲ ἔτη δέκα· ὥστε εἶναι τὰ πάντα ἀπὸ τῆς κλήσεως αὐτοῦ μέχρι τελειώσεως, δε´. Ἀλλὰ μήτις ἐπὶ τούτοις ἐμοὶ καταμεμφέσθω καὶ παραγραφέσθω τὰ καθεξῆς τῶν Πράξεων, λέγων τὸν Λουκᾶν ταῦτα μὴ φάσκειν· ὃν ἐρήσεταί τις ἐχέφρων ἀνὴρ, εἰ τοὺς χρόνους, ὅταν[t] οὐκ εἰσδέχῃ τοὺς μετέπειτα τῶν πράξεων, δός μοι, φησὶ, τὸν Λουκᾶν ἱστοροῦντα τοῦ Παύλου τὸ μαρτύριον· εἰ μὲν γὰρ τοῖς δυσὶ τούτοις μόνοις ἔτεσιν ὁ Λουκᾶς ἐμέτρησε Παύλου τὴν ἐν Ῥώμῃ ζωὴν, τὸ μαρτύριον ἡμῖν ὑφηγησάμενος, οὐδεμιᾶς τινὸς ἡμῶν ἐδεῖτο περιεργίας τῶν χρόνων· ἀλλ᾽ ἐπειδὴ τὸ μαρτύριον ἡμῖν[u] οὗτος οὐ γράφει, ἔξωρον γὰρ καὶ μετὰ πολὺ τῆς βίβλου γεγένηται, πείθου λοιπὸν Εὐσεβίῳ τῷ χρονογράφῳ, καὶ τὴν ἱστορίαν εὐγνωμόνως ὡς φίλος εἰσδέ-

[t] Leg. ὦ τὰν cum Zacagn. [u] ἡμῶν Cod.

χου· οἱ γὰρ τοῦ Χριστοῦ μαθηταὶ πειθοῖ καὶ πίστει τὰς τῶν πατέρων διδασκαλίας τε καὶ παραδόσεις πρὸς οἰκοδομὴν παραδεχόμενοι, τῆς οὐρανιοῦ βασιλείας κληρόνομοι καθίστανται.

Μαρτυρολόγιον Παύλου τοῦ Ἀποστόλου.

Ἐπὶ Νέρωνος τοῦ Καίσαρος Ῥωμαίων ἐμαρτύρησεν αὐτόθι Παῦλος ὁ Ἀπόστολος ξίφει τὴν κεφαλὴν ἀποτμηθεὶς ἐν τῷ λϛʹ ἔτει τοῦ σωτηρίου πάθους, τὸν καλὸν ἀγῶνα ἀγωνισάμενος ἐν Ῥώμῃ· πέμπτῃ ἡμέρᾳ τοῦ Πανέμου μηνὸς, ἥτις λέγοιτ᾽ ἂν παρὰ Ῥωμαίοις ἡ πρὸ τριῶν Καλανδῶν Ἰουλίων· καθ᾽ ἣν ἐτελειώθη ὁ ἅγιος Ἀπόστολος τῷ κατ᾽ αὐτὸν μαρτυρίῳ ξθʹ ἔτει τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας. Ἔστιν οὖν ὁ πᾶς χρόνος ἐξ οὗ ἐμαρτύρησε, τλʹ ἔτη μέχρι τῆς ὑπατίας, τετάρτης μὲν Ἀρκαδίου, τρίτης δὲ Ὀνωρίου, τῶν δύο ἀδελφῶν αὐτοκρατόρων Αὐγούστων, θʹ ἰνδικτιῶνος τῆς ιεʹ ἐτηρικῆς περιόδου, μηνὶ Ἰουνίῳ κθʹ ἡμέρᾳ.

Τέλος σὺν Θεῷ τῶν Πράξεων τῶν Ἀποστόλων.

VARIETAS LECTIONIS

COD. COISL. XXV.

Pag.	Lin.	
1	5	ὁ ὑπὸ] πρός.
	8	περὶ] περί τε.
	11	ὡς] ὅσα.
	15	γὲ] τὲ.
5	27	αὐτοῦ] om.
	29	ἥττων] ἧττον.
	30	ἑαυτὸν] αὐτὸν.
8	7	περιεργάζεσθαι χρῆναι] χρῆναι περιεργάζεσθαι.
10	19	προελάμβανον] προελάμβανεν.
	24	Τοῦ αὐτοῦ. Ὅρα] Τοῦ ⋇. Ἄρα.
	30	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
12	21	πρηνῆς] πρινής.
	25	πρησθεὶς] πρισθείς.
	31	τοσοῦτον] τοσοῦτον τό.
15	14	ἀναδεχθείς·] ἀναδειχθείς.
16	15	Σευηριανοῦ] Σευήρου. Ἐν] Ἐν τῇ.
17	1	τὸν οἶκον ὅλον,] ὅλον τὸν οἶκον.
	3	ὀφθεῖσαι] ὀφθῆσαι.
	6	ἠχοῦς] ἠχῆς.
	11	στομώσαντας·] στομώσασαν.
	15	Ἰσιδώρου.] Ἰσιδώρου Πηλουσ. ἐξ ἐπιστολῆς υλδ΄.
	21	διάφορον·] διάνοιαν.
	22	ταῖς] τοῖς.
	24	Ἰωάννου.] Τοῦ Χρυσοστόμου.
	31	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
18	4	Καὶ] om.
18	14	Σχόλ.] Σχόλιον.
	15	γλῶσσα] γλῶσσαι.
	19	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Κορινθ α΄. ἐπιστολ. τόμου β΄.
	22	τοῖς τότε τὴν] τοῖς τοτὴν (sic) ...... τὴν .... χυρίζεται.
	23	ἀλλ' ὡς] om. sed spatium.
	26	πιστεύσουσιν·] πιστεύσωσιν ἐν .... ἐδιαφόρως.
	31	Καὶ μετ' ὀλίγα] om. ὅτε] ὅτι.
19	5	ὡς] ὅτι.
	7	συνίσταν] συνίεσαν.
	12	τε] τι.
	13	τῷ] τὸ.
	15	προουργιαιτάταις.] προουργιαιτάτοις.
	23	μή τῳ] μή πω.
	26	ἐκεῖ] ἐκεῖνο.
	28	γινόμενον·] γενόμενον.
	29	συγκιρναμένης·] συγκρινομένης.
	30	περιωπῆς,] περιοπῆς.
	33	Λαζάρα] Λαζάρου.
20	4	Σευήρου] Σευηριανοῦ.
	13	διαμεριζόμεναι·] διαμεριζόμεναι· οὐκ εἶπεν μεριζόμεναι ἀλλὰ διαμεριζόμεναι.
	19	πυρός·"] πυρός·" διατί πυρός.
21	2	τοῖς] ταῖς.

Pag.	Lin.	
21	10	Σινᾶ καὶ] Σινᾶ καὶ φλέξαντι.
	11	ὡς] ὡ.
	24	πληθῆναι] πλησθῆναι.
	25	κατιόντος] κατιέντος.
	31	εἰπεῖν] εἶπεν.
22	9	οὖν] οὐκ.
	8	χειροτονεῖσθαι] χειροτονεῖσθαι ἀρχιερέας.
24	3	σοι] τοι.
	5	ἀπαρχὴν] ut infra.
	10	λαλεῖν] ut infra.
	12	ἀποφθέγγεσθαι·] ἀποφθέγγεσθαι· οὐκ εἶπε φθέγγεσθαι, ἀλλ' ἀποφθέγγεσθαι.
25	1	Οὐκ] Τοῦ αὐτοῦ. Οὐκ.
	6	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	9	'Αντὶ] Σχόλιον. 'Αντί.
	14	Ἵνα—ἐθνῶν.] om.
	17	τῷ] om.
26	20	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	30	Τοῦ ἁγίου] om.
	32	ἐγνωρίζοντο] ἐγνωρίζετο.
	33	Καὶ μετ' ὀλίγα] om.
27	1	ἔλαβον τέως χαρίσματα,] τέως ἔλαβον χάρισμα.
	5	τοσαῦται γλῶσσαι] τοσαύταις γλώσσαις.
	7	ἀπαρχαί;] ἀπαρχαί; καί.
	9	συνεισῆγον] συνῆγον.
	11	ὑποφαίνηται] ὑφαίνηται.
	25	χειροτονουμένῳ] χειροτ. ῳ.
	29	ἀπήεσαν ἐς] ἀπήεσσαν εἰς.
	30	βοηθοὺς] παραβοηθούς.
28	1	ἐξέλθοι] ἐξέλθη.
	2	καταλαμπέτω] κατάλαμπε.
	3	βόρεια·] βόρια.
29	1	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
29	29	πλήττωνται] πλάττ.
	31	οὖν] om.
	32	'Αντιοχείας.] 'Αντιοχ. ὑπακοή.
30	24	Σευηριανοῦ.] Τοῦ ἁγίου Σευηριανοῦ.
31	3	Τοῦ Χρυσοστόμου.] 'Ιωάννου.
	24	ἐγχειρισθέντες,] ἐγχειρισθέντος.
	28	τῶν Οὐαλέντος] τῶν κατὰ Οὐαλεντίνου.
	29	πέμψειν] πέμψει.
	30	ἔπεμψε,] ἔπεμψαι.
32	13	'Ιωήλ·] 'Ιωήλ· τί ἐν 'Ιωὴλ κυρίου θεοῦ, ἀπὸ τοῦ πνεύ.
	16	διάφορος] διαφόρως.
	22	ὁ τῇ] ὅτι.
		ἄλλως] ἄλλως ὁ.
	25	ἐνυπνιασθήσονται,] ἔβλεπον.
		γῆρας] γήρος.
		τὴν] om.
	26	ἀρετὴν μὴ ὑβριζέσθω.] ἀρτ ὑβριζέσθω sic.
	31	ἔχειν·] spat. vac.
	32	τὸ γὰρ αὐτῶν μόνων εἶναι, βασ-] spat. vac.
33	1	τῆς] τοῦ.
	2	Καταγγέλλετε] Καταγγέλλεται.
	3	κατέπεμψεν·] κατέ...... spat. vac.
	5	αὐτοῖς ἀποφθέγγεσθαι·] ἀποφθέγγεσθαι αὐτοῖς.
	7	εἰπεῖν,] εἰπῆν.
	8	τοὺς πρεσβυτέρους] τοῖς πρεσβυτέροις.
	9	ἐνυπνιάζεσθαι] ἐνυπνιᾶσθαι.
	10	ὡς ἐν] ἐν ὡς.
	12	ἀκμάζουσαν] ἀγμάζ.
	15	τὸ] τοῦ.
	16	δεύτερον] δευτέρου.
	17	εὔτονος.] εὔτονος καὶ νεανίας τὴν ἕξιν.

Pag.	Lin.	
33	18	Θεοδότου] Θεοδώρου μοναχοῦ.
	20	δι' αὐτῶν τῶν] διὰ τῶν τῶν.
	28	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ἰω̅.
34	21	αὐτὸν] αὐτῶν.
	22	δὲ Χριστοῦ] δέ γε τοῦ Χρ.
	31	μετειληφότες,] μετειληφότος.
	33	πάντων] πάντων τῶν.
		ἐθῶν] ἐθνῶν.
	34	τῷ] τό.
35	5	Ἀγκύρας] Ἀγκύρας πρε. ἐκ τοῦ.
	9	τινόντων] τινύντῶν.
	10	οὐδὲ] οὐδ' ἄν.
	21	καὶ τὰ] καὶ ἐπὶ τά.
	24	ἐφ' ἡμᾶς ἐπαγαγεῖν] ἐπαγαγεῖν ἐφ' ἡμᾶς.
	32	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
36	3	περιερρήγνυτο·] περιεπήγνυτο.
	5	συνενεγκὼν,] συνεγκών.
	7	αἱ] om.
	8	μεταπεποιῆσθαι] μεταποιεῖσθαι.
	11	ὅτι] ὅτι δέ.
	18	τούτῳ] τοῦτο.
	22	μὲν] om.
37	3	ἀστράπτοντος,] ἀπαστρ.
	5	ἐλθεῖν] ἐλθεῖν τήν.
	17	Ἀγκύρας.] μοναχοῦ.
	28	εἰς τὸν] om.
	31	ἕλοιντο] ἕλοιτο.
38	17	Ἀγκύρας.] μοναχοῦ.
	20	καταλείμματος] καταλείμα.
39	1	Τοῦ ἁγίου Ἀθανασίου.] Ἀθανασίου Ἀλεξανδρείας.
	2	τὸν] om.
	3	νοῦν] νοῦν ποτέ.
	4	ποτέ·] om.
	11	ἀνθρώπινα] ἀνθρώπινα πρῶτον.
39	14	πίστιν αὐτοὺς ἀγάγωσι·] αὐτοῦ πίστιν ἀνάγ.
	19	τῶν] om.
	23	ὑπάρχων,] ὑπάρχον.
	24	λέγειν] λέγην.
	29	Τοῦ] Τοῦ ἁγίου ἰω̅ τοῦ.
40	10	ἐκλαμβάνομεν,] ἐκλαμβάνομεν, οὕτω πάλιν ὅταν ὁ Χριστὸς λέγηται τεθνηκέναι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, περὶ τῆς σαρκὸς αὐτοῦ τὸ λεγόμενον ἐκλαμβάνομεν.
	14	ἐπισκόπου] ἀρχιεπ.
		τῆς] τῶν.
	15	Ἀποκρίσεως.] Ἀποκρίσεων.
	16	οἶδεν] οἶδεν τὸν.
	21	ἐστι] ἐστι καί.
	22	δὲ] δή.
	24	τὸ] τόν.
41	20	Ἐλεγκτέον] Ἐλεκτέον.
	28	οὐδὲν] οὐδὲν γάρ.
	29	εἰπεῖν,] εἰπῆν.
42	7	τὸ Πνεῦμα,] τὸν πατέρα.
	12	ἐξέβαλε] ἐξέβαλλε.
		ἕνα] ἵνα.
	20	αἰτιατὸν] αἴτιον.
	22	ἐξ οὗ,] ἐξ οὗ, τὸν δὲ ἐξ οὗ καὶ μεθ' οὗ.
	24	ἐπέκεινα] ὑπέκεινα.
	32	ἵνα] ἵν'.
	34	ἐκδεχώμεθα] ἐκδεχόμ.
	35	καὶ ὁ Πατὴρ—Πνεύματι] ὥστε ἐγὼ ἐν τῷ πνεύματι.
43	1	ὁμόφωνον] ὁμόφονον.
	2	ὁ Πατὴρ] Πατὴρ ὁ.
		ὁμωνύμως,] ὁμώνυμος.
	16	ἀνείλετε·] ἀνείλατε.
	23	Τοῦ ἁγίου] om.
		ἐπισκόπου Ἀντιοχείας.] ἀρχιεπ. Ἀντιοχείας ἀπὸ λόγου οζ'.
	27	δέ] δ'.
44	2	λέγων] λέγει.

Pag. Lin.

44 4 Σευήρου] Σευήρου ἀρχιεπισκ.
πρὸς] πρὸς τόν.
5 Τὴν] Εὖ δὲ καὶ λύσιν ὠδίνων τοῦ θανάτου τήν.
7 παρελθόντος] προελθ.
13 ἀνέστης] ἀνέστη.
19 εἰλημμένῳ] ἠλειμ.
24 καθότι μὲν] eras.
εὑρηθῆναι] εὑρηθ. μέν.
27 ἐπιβολῆς,] ἐπιβουλῆς.
31 Σευήρου] Σευήρου ἀρχ. Ἀντιοχείας.
45 1 καθὼς] ὡς.
Πέτρος.] Πέτρος, φησί.
4 ἄλλως] ἄλλως αὐτῷ.
9 τὸν] τῶν.
14 Τοῦ ἁγίου] om.
17 ἐγκαταλείψεις] ἐγκατ. τήν.
46 2 νῦν] νοῦ.
13 δεξιὸν] δεξιῶν.
21 περὶ] περὶ τῆς.
22 οἷοι] οἷον.
24 τὸ] τῷ.
25 ζῶν] ὤν.
29 Κυρίλλου.] Κυρίλλου ἀρχ. ἀλεξανδρείας.
31 τι] τοι.
47 3 Κυρίλλου.] Τοῦ αὐτοῦ.
5 Σευήρου] Σευήρου ἀρχ.
τοῦ] τῶν.
γραφέντος.] γραφέντων.
19 Κυρίλλου] Κυρίλλου ἀρχ.
20 ὁ] ὡς.
26 ἁγίου] om.
Σευήρου] Σευήρου ἀρχ.
28 τελειωτέρον] τελεώτερον.
48 15 Ταῦτα] ἰω. τοῦ Χρυσ. Ταῦτα.
22 βασιλείας,] βασιλείας, ὁ.
23 αἰῶνα.] αἰῶνα τοῦ αἰῶνος.
31 σάρκα] σάρκα τοῦ.
49 2 τοὺς] τοὺς ἄλλους.

Pag. Lin.

49 10 Λουγδούνων.] Λουγδώνου.
13 τὸν αὐτὸν Θεὸν καὶ Σωτῆρα] καὶ τὸν αὐτὸν Θεὸν σωτῆρα.
15 συνεβίαζον] συνεβίβαζ.
ὃν] ὃ.
19 οἶδε] οἶδε ὅτι.
20 ὅτι] ὅτι καί.
αὐτὸ] om.
22 Σευήρου] Σευήρου ἀρχ. ἀντ.
29 ἄλλος] ἄλλος ἀλλ'.
32 ἐκφύντι] φύντι.
51 1 Τοῦ ἁγίου] om.
ἀρχιεπισκόπου] om.
4 καταργεῖται] καταργῆτ.
5 Ἐνταῦθα] Τοῦ Χρυσ. Ἐνταῦθα.
9 Καλῶς] Τοῦ αὐτοῦ. Καλῶς.
12 Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
31 ἕτερος] ἑτέρως.
52 3 Ἐξ ἀνεπιγράφου.] Τοῦ αὐτοῦ.
πνευματικὸν ἡ ἐκκλησία,] ἡ ἐκκλησία πνευματικόν.
6 τῷ] τό.
8 διαίρετον] ἀδιαίρετον.
15 Ἁγίου] om.
22 τετελειωμένους] τελειουμένους.
27 Σαβελλίου] σαβελίου.
53 24 τοιοῦτον,] τοιοῦτο.
57 10 δὲ] om.
58 1 χωλὸς] χολός.
21 ἐκείνου] ἐκείνους.
34 ἰδεῖν] ἰδεῖν εἰς.
59 4 Τοῦ Χρυσοστόμου. Οὐκ εἶπεν ὅτι τοῦ ἀργυρίου πολλῷ βέλτιόν σοι δίδωμι· ἀλλὰ τί· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου· ἔγειρε καὶ περιπάτει.

Pag.	Lin.	
59	17	μᾶλλον] πάντως.
	21	ἴδωμεν] εἴδωμεν.
		ἐν] ἐν τῷ.
	24	αὐτῆς] αὐτῆς τῇ.
	27	λαμβανόμενοι] λαβόμενοι.
		αὐτοῦ] αὐτῆς.
	28	ἐνεργῆσαι] εὐεργετῆσαι.
	30	χεῖρα] χεῖρας.
	31	αὐτοῦ] αὐτῆς.
60	27	Καλῶς] Τοῦ Χρυσ. Καλῶς.
61	3	Ἀπὸ] Τοῦ Χρυσ. Ἀπὸ.
	12	Λουγδούνων.] Λουγδώνου.
	17	τὸν] τῷ.
	32	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
62	9	Ἀβραάμ,] Ἁβραάμ.
		Ἰακώβ;] Ἰακώβ; καὶ πῶς λέγει· ἐγώ εἰμι ὁ θεὸς Ἁβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ.
	21	καὶ μεθ' οὗ τοὺς οὐρανοὺς] τοὺς οὐρανοὺς καὶ μεθ' οὗ.
	23	αὐτοῦ·] σαυτοῦ.
	28	αὐτῷ] αὐτοῦ.
63	16	Τοῦ Χρυσοστόμου.] om.
64	1	ταύταις ταῖς θεοσημείαις] τούτοις τοῖς θεοσημείοις.
	8	ἄνθρωπον] καὶ Ἰησοῦν.
	13	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
65	13	ὅταν] ἐὰν.
66	10	χρόνων] χρόνου.
	13	εἶπον] εἶπαν.
		πεπλήρωται·] πεπλήρονται.
	17	ἐλευσόμενος] εὐλευσ.
	21	σημαίνοντος] συμβαίνοντος.
	24	τοὺς πρὸς] τοῦ Πατρός.
		ἔτι] ἔστι.
	26	ἃς αὐτῷ] ἃ σαυτῷ.
66	29	ὡς] ὡς ὁ.
	32	παύσεται] παύσηται.
67	2	τὸ] τῷ.
	6	Τοῦ ἁγίου] om.
		τοῦ] τῆς.
	27	ἐστιν] ἐστιν τὸ.
	30	θήβην] θέσιν.
	33	αὐτὸν ἂν] ἂν αὐτὸν.
	34	Μωϋσῇ] Μωυσεῖ.
		σκιᾷ,] σκιᾷ, ἡ ἀλήθεια.
68	2	ὁ] om.
	3	τὸ] τῷ.
	5	ἀνθρώποις] θεοῦ ἀνθρώποις,
	7	ἐκεῖνος,] ἐκεῖνος, ὡς.
		βρέφη ἐκεῖνος ἀναιρεῖ, βρέφη φονεύει οὗτος·] βρέφ. φον. ἐκ. βρέφ. οὗτ. ἀνα.
	10	οὗτος·] οὗτος· διὰ μητρὸς σώζεται ἐκεῖνος, διὰ μητρὸς ἐσώθη, καὶ μετὰ μητρὸς οὗτος.
	11	λάρνακι] λάρνακει.
	15	Καὶ] om.
	25	αὐτὸν] αὐτῶν.
	26	νομοθέτου μόνος] νομοθετούμενος.
	28	προφήτην] προφήτην ὑμῖν.
69	6	γινομένην· τῶν] γενομένην· τὸν.
	19	τεταγμένος] τεταγμένη.
	22	Διδύμου.] om.
72	17	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	33	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
73	11	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	25	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
74	1	Τοῦ ἁγίου] om.
		Λουγδούνων.] Λουγδώνου.
	6	Τοῦ Χρυσοστόμου] om.
	18	μετουσίᾳ] μετουσίᾳ τῆς.
	19	δὲ] om.
75	1	ὀνόματι] ὀνόματι τοῦ.
	2	Ἁγίας] om.

Pag.	Lin.	
75	11	Οὐκ] Τοῦ αὐτοῦ. Οὐκ.
	26	Τοῦ αὐτοῦ.] om.
76	8	ἐκ] ἐκ τοῦ ὑπομνήματος.
	20	Εὐαγγελίου.] Εὐαγγέλιον ὑπόμνημα.
77	3	Εἰ] Τοῦ αὐτοῦ. Εἰ.
	11	Τοῦ Χρ.] Καὶ πάλιν ἐκ τοῦ εἰς τὸ κατὰ τοῦ Χρ.
		Ματθαῖον] Ματθαῖον εὐαγγέλιον.
78	8	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	32	Λουγδούνων.] Λούγδων.
79	5	ὃν] om.
	20	Πατὴρ] Πατὴρ τοῦ.
	24	τοῦ] om.
	25	Πατέρος] πατρός.
80	1	ὡς] ὡς καί.
	5	δίδονται] δέδονται.
	9	ἐπισκόπου] ἀρχιεπ.
		Πῶς] Πῶς γάρ.
	11	κόσμου ;] γένους ;
	25	Εἰς] Τοῦ ἁγίου Ἀθανασίου. Εἰς.
	27	Οὐχ] Κυρίλλου ἀρχ. Ἀλεξανδρείας. Οὐχ.
	31	Ἀθανασίου.] Ἀθανασίου ἀρχ. Ἀλεξ.
81	9	Οὕτως] Τοῦ Χρυσ. Οὕτως.
	18	Τοῦ] Τοῦ αὐτοῦ. Τοῦ.
	19	Διατί] Τοῦ αὐτοῦ. Διατί.
82	21	ἀρχιεπισκόπου] om.
83	11	Τοῦ αὐτοῦ.] om.
	16	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσ.
84	1	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	14	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	24	ἀργυρίου] ἀργύρου.
	25	καὶ] καὶ ὁ.
	26	τιθεὶς] θείς.
85	6	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	28	Ἀθανασίου.] Ἀθανασίου ἐκ τῆς περὶ ναυατιαννοὺς βίβλου λόγου γ'.
	30	συνεφωνήσατε,] συνεφοβηθήσονται.
85	33	Διονυσίου.] Διονυσίου ἐπισκ. Ἀλεξ.
86	1	οὐκ ἔστι σὰ,] οὐκετί σα.
	5	τάγματος.] πραγματίας.
	20	ἅπτεται] ἅπτεται τοῦ.
	24	ἔχον καὶ τῆς] ἔχων τῆς.
	26	δοκεῖς] δοκεῖς μέν.
	33	οὐκοῦν] οὐκοῦν καί.
87	16	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	24	Ταύτην] Τοῦ αὐτοῦ. Ταύτην.
	30	ὁ ἀδελφός σου ;] om.
88	7	φόνος] φόβος.
	8	προιεμένης] προιωμ.
	11	ἐξέτιλον·] ἐξέτειλον.
	14	ἐπιβραχὺ] ἐπιβραχεῖ.
	16	γίνεται·] κρίνεται.
	17	καταδικάσθησαν] καταδικάσθησαν καί.
	27	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
89	21	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσ.
90	3	τὴν πίστιν εἶχεν] εἶχεν τὴν πίστιν.
	4	καὶ τὴν] τὴν καὶ.
	5	ἀδιάλυτον·] εὐδιάλυτον·
		μετὰ τὸ πιστεῦσαι,] μεταπιστεῦσαι.
	6	αἰώνιον] αἰώνιον κατὰ τὸ εἰρημένον ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωήν.
	11	ἐνυπάρχουσαν] ὑπαρ.
91	19	Σημειωτεὸν] Ἀμμωνίου πρεσβυτέρου. Σημειωτεόν.
	29	Ἀμμωνίου.] Τοῦ Χρυσ.
	32	Τοῦ αὐτοῦ] Τοῦ Χρυσ.
92	20	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
93	6	Ματθαῖον] Ματθαῖον εὐαγγέλιον.
	12	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου Ἀθανασίου.
	14	θαρσαλέους] θαρραλ.
	20	Πάλιν] Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσ.
	26	Τοῦ αὐτοῦ.] τοῦ Χρ.

Pag.	Lin.	
94	4	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	12	Πολλὴ] Ἰῶ. Πολλή.
	25	οἷς μετὰ] ἧς κατ.
	30	Τοῦ] Ιῶ τοῦ.
95	5	Τοῦ αὐτοῦ] Τοῦ Χρ.
	26	Ἀμμωνίου Πρεσβυτέρου. Θευδᾶς αἱρεσιάρχης καὶ Ἰούδας Γαλιλαῖος ἐπὶ τῶν χρόνων τῆς ἀπογραφῆς κατελύθησαν. hæc infra p. 96. lin. 11.
	31	Ἰώσηπος] Ἰώσηππος.
	32	φησὶν] φισὶν.
96	1	Ἰώσηπον] Ἰώσηππον.
	2	Ἰουδαίας] Ἰούδας.
	4	αὐτῷ] αὐτῶν.
	8	ἴλην] εἰλὴν.
	11	Θευδᾶς] Ἀμμωνίου πρεσ. Θευδᾶς.
	21	Ἰώσηπος] Ἰώσηππος. τελευταίοις] τελευτέοις.
	22	ἐξαποστέλλον] ἐξαποστέλλοντα.
	31	αὐτοῖς] αὐταῖς.
	32	ἐδόκουν] ἐδόκουν κατὰ τὸν νόμον.
98	3	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
99	18	Τοῦ αὐτοῦ] Τοῦ Χρ.
100	25	ὄντως] ὄντος.
	26	πλήρους] πλήρης.
101	6	τοῦτο] τοῦτο τὸ
102	19	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
103	1	Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
	4	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	19	Οὕτως] Τοῦ Χρυσοστόμου. Οὕτως.
	30	Μετ'] Ὅρα μετ'.
104	8	Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου.
	9	μονονουχὶ] μονουχὶ.
	23	τοῦ] om.
	25	τοῦ τὸν] τοῦτον.
104	26	νόμον] νόμον.
105	12	τοῖς τοιούτοις] om.
	14	Παντὶ] Διδύμου. Παντί.
	15	δι' αὐτοῦ] διὰ τοῦ.
	17	ὠφθέντα] ὀφθέντα.
	19	ἀπὸ Πατρὸς] ἀπὸ τοῦ Πατρὸς.
106	27	παρεπίδημος] παρεπήδημος.
	30	τῇ] om.
107	17	Εὐσεβίου.] Εὐσεβίου ἐπισκόπου ἐμίσης.
	18	τῷ] ὁ.
	21	τριάκοντα] λ'.
	22	υ'] τετρακόσια.
	23	υ'] τετρακοσίων.
	24	υ'] τετρακόσια. λ'] λτα.
	25	ο'] ἑβδομηκοστοῦ πέμπτου ἔτους ἕως ἑκατοστοῦ ἔτους, ἔτη εἰκοσιπέντε.
	26	ϛθ'·] ηθ' (99).
	28	λ'] τριάκοντα.
108	1	ἀρχιεπισκόπου] om. ἐκ πρὸς] ἐκ τῶν πρὸς.
	7	ἀδελφαῖς] ἀδελφοῖς.
	10	φησὶ,] φασὶ.
	23	Ἰώσηπος] Ἰώσηππος.
109	1	τῆς] om.
	2	ἀνεδέξατο] ἐπεδέξατο.
	28	Ἰωάννου.] Τοῦ Χρυσοστόμου.
110	15	Σημειωτέον] Ἀμμωνίου. Σημειωτέον.
	22	Τοῦ] Τοῦ ἁγίου ιῶ τοῦ.
	29	Τοῦ Χρυσοστόμου.] om.
111	4	Τοῦ αὐτοῦ] ιῶ.
	8	μετ' ὀλίγα] μεθ' ἕτερα.
	16	Εὐσεβίου] Εὐσεβίου ἐπισκόπου.
	24	τῇ] om. ἀγνοούσῃ] ἀγνοούσῃ τῇ.
112	19	τὸ] τῷ.
	23	ὑπερέβαλον] ὑπερέβαλλον.
	26	ὀλίγοις] ὀλίγον.

Pag.	Lin.	
112	27	ἴστι] ἴςει (sic)
	33	Τοῦ ἁγίου] om.
		Κυρίλλου.] Κυρίλλου Ἀλεξανδ.
113	10	καλεῖ] καλεῖ δὲ.
	11	ὅσον διὰ τὴν διάθεσιν εἰς αὐτόν.] ὅσον διάθεσιν τὴν αὐτοῦ.
	26	προσηγορίαν.] πλεονεξίαν.
114	6	αἴνιγμα] αἴνειγμα.
115	7	ἄρχοντα] ἄρχοντι.
	11	Εὐσεβίου.] Εὐσεβίου ἐμίσης.
	16	Τοῦ ἁγίου] om.
	24	Τοῦ Χρυσοστόμου.] om.
116	5	καθιστάντος] καθίσταντο.
	7	υἱοὺς] om.
	10	ἐπισκόπου] om.
	11	ἤχθετο·] ἤχετο.
	19	τὸ] τοῦ.
	23	τοῦτο] τούτου.
	29	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
	31	καὶ] καὶ τῇ.
117	12	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	34	Ἐνταῦθα] Ἡσυχίου πρεσβυτέρου. Ἐνταῦθα.
118	4	Ἀπολέσθαι] Ἰῶ. Τοῦτον τὸν κινδυνεύσαντα (sic) ἀπολεσθαι.
	16	"Ἀναστήσει] Τοῦ Χρυσοστόμου. "Ἀναστήσει.
	26	Προανωφωνεῖ] Τοῦ ἁγίου Κυρίλλου. Προαναφωνεῖ.
119	3	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου Ἰωάννου.
	17	τῆς αὐτῆς] ταύτης τῆς.
		τὸ ἐν Εὐαγγελίῳ,] τῷ Εὐ.
120	3	Ὦ τῆς] Τοῦ αὐτοῦ. Ὦ τῆς.
120	15	Σευηριανοῦ.] Τοῦ ἁγίου Σευηριανοῦ.
	18	αὐτὴ ἑαυτὴν] ἑαυτῇ καὶ ἑαυτήν.
	28	Τὸ] Τοῦ αὐτοῦ. Τὸ.
	32	τὸ] τοῦ.
121	2	προσκυνήσεις,] προσκυνήσης.
	3	λατρεύσεις·] λατρεύσης.
	11	ἐγράφησαν] ἀνεγ.
	17	πολλῆς] πολλῇ.
	19	παρα*δοσι] παράδοσιν.
	27	εἵλοντο·] εἵλαντο.
122	9	Ἐμφαντικῶς] Ἐμφατικῶς.
	16	ἀνάκλησιν] ἀνάβλησιν.
	20	ἠδύναντό] ἤδυναν.
	22	ἀπροφάσιστον] ἀπροφάστιστον.
	25	ὑμῶν 'Ρεφάν·"] ἡμῶν 'Ραιφάν.
123	4	μὲν] μὲν τὸ.
	10	ἐσκορπίσθησαν] ἐσκοτίσθησαν.
	20	Κυρίλλου] Κυρίλλου ἐκ τοῦ.
	29	Τοῦ Χρυσοστόμου] Ἰῶ.
	31	κακίαν] μανίαν.
124	1	εἰς] ἐκ τοῦ εἰς.
		'Ερμηνείας.] 'Ερμηνεία.
	6	Δαμασκοῦ] Δαμασκηνοῦ.
	10	Καὶ] Τοῦ Χρ. Καὶ.
	14	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	21	Μωϋσῇ,] Μωυσεῖ.
	23	ἀπ'] ἐπ'.
	25	λόγος."] νόμος.
125	7	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
		φησι] φασιν.
	11	Τῷ] Τοῦ Χρυσοστόμου. Τῷ.
	27	Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
	30	τοῦ] ἐκ τοῦ πρώτου τεύχους τοῦ.

Pag.	Lin.	
125	31	σοφίαν] αἰτίαν.
	32	ἀνεδείματο] ἀνεδείματο μὲν.
	33	ἐπεγάννυτο] -γάννυτο.
126	27	Σημειωτέον] Ἀμμωνίου πρεσβυτέρου. Σημειωτέον.
127	1	Σευήρου] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας.
	7	λίθος] λίθος ὁ.
	12	μὲν] μὲν γὰρ.
128	6	ὁ δι'] ὁ γὰρ δι'.
	24	Τοῦ Χρυσοστόμου] Ἰω.
		ἀνάληψιν] ἀνάληψιν ἐκ τοῦ.
		ϛ] om.
129	4	Βασιλείου] Βασιλείου Καισαρείας.
	10	Ἀμμωνίου] Ἀμμωνίου πρεσβυτέρου.
	20	δυναμένου] δυνάμενον.
130	7	Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
	9	Ἀρσενίου] Ἀρσενίου ἐπισκόπου Τριπόλεως.
	13	Ὅρα] Τοῦ Χρυσοστόμου. Ὅρα.
	23	Ἀθανασίου] Τοῦ ἁγίου Ἀθανασίου.
	25	Δεικνύντος] Τοῦ Χρ. Δεικνύντος.
	28	παρατίθημι] παρατίθεμαι.
131	2	ἔφη Στέφανος] Στέφ. ἔφη.
	4	καὶ] καὶ οἱ.
	11	ἦν θυμοῦ] θυμοῦ ἦν.
	18	Ἐν] Τοῦ αὐτοῦ. Ἐν.
	19	ἐπιστοματίζων] ἐπιστομίζων.
	23	χρόνον] χρόνονον (sic).
	29	αὐτοῖς] om.
	31	βάλλων αὐτὸν] αὐτὸν βάλλων.
132	5	Τοῦ Χρυσοστόμου] Τοῦ ἁγίου Ἰω.

Pag.	Lin.	
133	1	σὺν] συνὼν.
	2	συνεβάλετο·] συνεβάλλετο.
	5	κἂν] καὶ.
		φιλτάτοις] φίλτατοι.
	7	δίδωσιν] διδοὺς.
134	2	ἀρχιστρατηγοῦ] ἀρχης.
	5	υμη.] υμζ.
	8	κατὰ τῆς χώρας] καὶ κατὰ τὰ χώρας.
	12	υμη.] υμθ.
	14	ἀλλαχοῦ ἐνδιασπαρέντος] ἀλλαχόσε διασπ.
	15	ὁ καὶ] ὁ om.
	18	πειρασθεὶς,] πειραθεὶς.
	22	Πέτρος] Πέτρος δὲ.
	34	Οὐκ ἦν] Τοῦ αὐτοῦ. Οὐκοῦν.
		ἔδει] ἔδη.
135	7	Πῶς] Τοῦ Χρυσοστόμου. Πῶς.
	12	β'] δευτέρου.
	14	τοῖς ἄλλοις ὁμοίως] ὁμοίως τοῖς ἄλλοις.
	30	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	32	συνιέναι] συνεῖναι.
136	33	ἀποκαθίστασθαι] ἀποκαθίσασθαι.
137	3	ὃν] ὃ.
	6	αὐτοῦ] ἑαυτοῦ.
	9	ἐπέλαμψεν] ἐπέλαμπεν.
	10	ἀλλ' ἀπροσδιορίστως] ἀλλὰ προσδ.
	35	εἶκος] εἰκως.
138	7	τοῦτο] τοῦτο ὁ.
	8	παρὰ] περὶ.
	15	ὥσπερ τὸ] ὡς ἐπὶ τὸ.
	18	προτρεψαμένου] προτρεψάμενον.
	20	βάπτισμα] βάπτισμα ἡρπάζετο ὑπὸ τοῦ πνεύματος, σημειωτέον, δὲ ὅτι μετὰ τὸ βάπτισμα.
140	14	τοῦ] τῆς.

Pag. Lin.

140 15 λόγου] βίβλου. λόγ. γ.

19 ἐνόμισας] ἐνόμισαν.

23 ἡγησάμεθα] –σάμενος.

24 δὲ] δὲ καὶ.

34 μετὰ] om.

μετανοίας καὶ ἐπιμελείας] ἐπιμελείας καὶ μεταμελείας.

141 14 Κύριον.] ὅπως μη.

18 ἀφωσιωμένως] ἀφοσίως.

142 14 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

143 6 πρώτῳ] α΄.

15 Σευήρου.] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Κωνσταντίνον ἀπὸ ὑπάτων ἐπιστολῆς.

17 δὲ] om.

24 τοῦ τῶν] τούτων.

27 ὑπομείνας,] ὑπομείνας σταῦρον.

31 ἔχουσαν] ἔχουσα.

καὶ] ἵνα.

32 χαρίσεται.] χαρίσηται.

144 10 Εἰρηναίου.] Τοῦ ἁγίου Εἰρηναίου Λουγδώνου.

13 Χριστόν·] om.

κλίματα] κλίματα τῆς.

14 τοῦτο] τοῦτ'.

ὅπερ] ὅπερ αὐτὸς.

τὸν] τῶν.

25 Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ εἰς τὸν Ἡσαίαν συντάγματος.

27 κουρίδας] κουρίδας αὐτοῖς.

29 ἀντιλοιδόρει] ἀντελ.

32 ἀντὶ τοῦ ἐπαίρεται, καὶ ὑψηλοτέρα τῶν ἐπὶ γῆς ἐστὶν ἡ ζωὴ αὐτοῦ,] hæc om.

145 21 ποῖος,] ὁποῖος.

27 Τοῦ αὐτοῦ] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ.

Pag. Lin.

146 2 ἡνωμένης] ἡνομένης.

5 ἀδύνατον] ἀμήχανον.

147 13 ἰσοδυναμοῖ] –δυναμεῖ.

18 ἁρπαγέντες] ἁρπαγέντες τε.

25 συμφώνως] συμφώνος sic.

26 καὶ] καὶ ὁ.

32 τὴν] om.

151 19 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

27 Ἐν] Τοῦ αὐτοῦ. Ἐν.

33 Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν νβ΄ ὁμιλίαν] Τοῦ Χρυσοστόμου ἐκ τῆς εἰς ν΄ ὁμιλίας β΄.

152 33 Σαοὺλ,] om.

153 4 τὸ] om.

5 δὲ] καὶ.

8 ἀπὸ γενετῆς] ἀπογεννητῆς.

14 βλέποντες] βλέπωντες.

16 ἡμεῖς] ἡμῆς.

17 ἦτε] εἶτε (sic).

20 Διδύμου.] Μαξίμου.

22 αὐτὸν] αὐτοῦ.

24 αὐτὸν] αὐτοῦ.

154 3 Εὐσεβίου.] Εὐσεβίου ἐπισκόπου Ἐμέσης.

6 ᾔδειν;] ᾔδην.

155 26 καὶ] om.

Κανόσι·] Κανόσι· τοῦτο δὲ γέγονεν διὰ τὸ σπάνην.

156 4 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

8 ῥήματα] ὀνείρατα.

17 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

157 14 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

24 Τοῦ αὐτοῦ.] Τοῦ Χ.

34 καὶ] καὶ τὸ.

158 1 ἐφ'] ἐπ' (sic.)

τῆς σφοδρᾶς μετανοίας καὶ νηστείας·] τῆς με-

Pag. Lin.

τὰ σφοδρὰν μετανοίας νηστείας.

158 6 τοῦ Θεοῦ] τοῦ om.

9 γὰρ] γοῦν.

14 μὴ οὖν σφάλλωμεν] μὴ δὲ σφάλωμεν.

16 ἕτερος] om.

17 τῶν] τὸν.

19 Οὕτως] Τοῦ Χρυσοστόμου. Οὕτως.

23 Ἅμα] Τοῦ αὐτοῦ. Ἅμα.

159 3 Εὐθέως] Τοῦ αὐτοῦ. Εὐθέως.

12 σχήματος] σχήματος ὡς.

20 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

160 1 Τοῦ αὐτοῦ.] om.

5 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

19 Ὅρα] Τοῦ αὐτοῦ. Ὅρα.

25 Λουγδούνων.] Λογδώνου.

161 7 Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.

162 18 τοῦ] τοῦ εἰς τὴν.

23 τοῦτο] τοῦ.

27 χαλκείῳ] χαλκίῳ.

164 4 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

16 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

165 4 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

166 21 Αἰνέα] ἐνέα.

22 φήσας,] φείσας.

25 κράβαττον] κράβαττον σου.

26 βεβαίᾳ] βεβαίαν.

30 τοῦ τὸν] τουτον (sic).

167 6 Διδύμου.] Ἀμμωνίου.

21 ἐλεγκτέον] ἐλεικτέον.

22 πλήρης] πλήρης ἦν.

30 Ὅρα] Τοῦ Χρυσοστόμου. Ὅρα.

168 4 Διδύμου.] Τοῦ ⚹.

19 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

Pag. Lin.

169 11 αἰώνιον] αἰωνίαν.

170 7 Τοῦ αὐτοῦ.] Ἀμμωνίου.

16 Ὅρα] Τοῦ Χρυσοστόμου. Ὅρα.

26 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

171 14 τοῦ] τῆς.

15 ἀπούπατον] ἀποϋπάτων.

20 ποδηγήσαντα] ποδηγησαν (sic).

23 ὅροις·] ὅρους.

172 1 Διατί] Τοῦ Χρυσοστόμου. Διατί.

5 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

7 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

24 Σευηριανοῦ] Σευηριανοῦ ἐπισκόπου.

30 αἱ] om.

ἀνέβησαν,] in marg. γρ. ἐδέχθησαν.

34 κηρύσσει Πέτρος] Πέτρος κηρύσσει.

σώζεται,] σώζεται, καὶ αὐτὸς καὶ ὁ οἶκος.

173 4 νενομισμένους] νενομισμένοις.

7 δεκτὸς — δικαιοσύνην] om.

12 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

18 δὲ] δὲ ἡ.

23 Ταύτας] Τοῦ Χρυσοστόμου. Ταύτας.

174 18 οὐδὲ] ἢ.

22 ἑξῆς.] ὅμοια.

23 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

33 Τουτέστι] Τοῦ αὐτοῦ. Τουτέστι.

175 3 Τί] Τοῦ αὐτοῦ. Τί.

9 τοῦ] om.

23 δηλουμένους·] δηλουμένους ἀνθρώπους.

Pag.	Lin.	
175	26	ὄντα, σκεῦος] σκεῦος ὄντα.
		τι] ἐστι.
	28	γένη] εἴδη.
	29	ἀκμὴν] ἀγμὴν.
176	1	σὺν παντὶ] συμπαντὶ.
	2	καὶ τὰ πετεινὰ] καὶ πετηνὰ.
	3	ὑπὸ) ἀπὸ.
	15	ἐξεστακέναι]ἐξεστάναι.
	23	τὰ θεωρούμενα·] καὶ θεωρούντων.
	24	προέφερον·]προέφερον· Μαξίμου ἐρώτησις.
	25	ἔθνη·] πῶς ἐδεῖτο ὁ Πέτρος τῆς ἐπὶ τοῦ Κορνηλίου ἀποκαλύψεως διὰ τὰ ἔθνη.
	27	Πέτρον·] Πέτρον. ἀπόκρισις.
		ἐδεῖτο] ἔδει τὸ.
	32	βουλῆς] βολῆς.
	35	τὰ] διὰ τὰ.
177	8	καταγνώμην] κατὰ τὴν γνώμην.
	14	λόγου] λόγον.
	29	Εὐαγρίου.] Εὐαγρίου μοναχοῦ.
178	8	Ἴσως] Τοῦ Χρυσοστόμου. Ἴσως.
	17	α] πρῶτον.
	20	διεξεληλυθέναι] -θῆναι.
	22	ὄρνις] ὄρνεις.
	27	εὐθέως] ἕως.
	28	ὅτι] om.
	33	παραδοὺς,] παραδιδοὺς.
179	6	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	7	ὀθονοειδεῖ,] ὀθονοειδῆ.
		ἡ φωνὴ αὐτῷ] αὐτῷ ἡ φωνή.
		ἐσήμανεν] ἐσήμαινεν.
	11	ἐπὶ τρίς.] ἐπιτρεῖς.
	13	δευτέρου] β΄.
	14	ἔθεσιν] ἔθνεσιν.
	15	ἐμφιλοχωρεῖν] ἐνφ.
	16	καθίησι] καθείησι.
180	7	Εἰρηναίου.] Τοῦ ἁγίου Εἰρηναίου.
		ἰδόντος,] εἰδότος.
	9	διαστείλας ὁ Θεὸς,] ὁ Θεὸς διαστείλας.
	21	εἰς] εἰς τὴν.
181	9	καὶ] καὶ τὸ.
	28	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
182	19	Τοῦ Χρυσοστόμου.]Τοῦ αὐτοῦ.
	30	Τοῦ αὐτοῦ.] Τοῦ ⁜.
183	6	Τοῦτο] Τούτῳ.
	27	Εἰρηναίου.] Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου.
	29	τοῦ] τοῦ πνεύματος τοῦ.
	30	ἐπαναπαύοντος] ἐπαναπαέντος.
184	3	ἐπαναπέπαυτο,] ἀναπ.
	7	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	12	Ἵνα] Τοῦ Χρυσοστόμου. Ἵνα.
	22	Τὴν] Τοῦ αὐτοῦ. Τὴν.
	31	Τοῦ Χρυσοστόμου.] ιῶ.
185	7	Τοῦ Χρυσοστόμου.]Τοῦ αὐτοῦ.
	13	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	22	Εἰρηναίου] Τοῦ ἁγίου Εἰρηναίου.
		Λουγδούνων.]Λουγδόν.
		σημαίνει] σημαίνων.
	24	κατηχεῖτο,] κατηχῆτο.
		ὧν] ὃν.
186	3	Τοῦ αὐτοῦ.] om.
	8	Τοῦ αὐτοῦ.] om.
	16	Ἀμμωνίου.] om.
		δέξασθαι] δέξαι.
187	1	καὶ] om.
	5	ἐπαγγελίαν] ἔπαγ[α]. sic.
	7	πραττόμενον] προταττόμενον.
	12	Ναζωραῖος] Ναζωραῖε.
	15	αὐτῇ,] αὐτὴν.
	22	Ἦν] Ἐξ ἀνεπιγράφου. Ἦν.

Pag.	Lin.	
188	5	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	26	προσείκατο] προσήκ.
	28	δεῖ κεινῶν] δι' ἐκείνων.
	29	ὃ] ᾧ.
189	5	εἶπαν] εἶπον.
		ποιεῖσθαι·] ἀφιεῖσθαι.
	6	τὸ] τῷ.
		εἰσφέρον] εἰσφέρων.
190	11	διὰ τὴν κρίσιν] διάκρισιν.
	13	ἀρχιεπισκόπου] om.
		πρὸς Σόλωνα] προσόλωνα (sic).
	17	τοῦ Πνεῦμα] τὸ πνεῦμα τό.
	22	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	24	προκατηχηθέντας] προκατηχηπροκατηχηθέντες (sic).
	26	τοῦ] τοῦ θείου.
191	30	τοῦ] om.
192	13	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	29	τοσαῦτα] ταῦτα.
193	23	ἐπανελθόντος] ἀνελθ.
194	2	δὲ] δὲ ἦν.
195	20	Τοῦ αὐτοῦ.] Τοῦ ☧.
	33	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
196	7	Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
	17	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	31	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
197	9	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	24	α′] πρώτου.
	26	ἑβδομήκοντα] ο′.
		φασὶ] φησὶν.
	29	φασίν.] φησίν.
198	9	λήψῃ] λήψει.
		τὸ,] τὸ ἀγαθὸς ἄνθρωπος. καὶ τό.
	22	Οὐ] Τοῦ αὐτοῦ. Οὐ.
199	3	Ἀμμωνίου.] om.
200	11	σεσημείωται.] σεσημείωται. ὅτι διακόνων καὶ ἐπισκόπων εἶχον βαθμόν.
	27	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	31	Λουγδούνῳ] Λουγδόνῳ.
		Γαλλίας] Γαλιλαίας.
201	2	Ἰώσηπος] Ἰώσηππος.
	28	Τοῦ Χρυσοστόμου.] Ἰῶ.
202	17	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	18	Ὅσῳ] Τοῦ αὐτοῦ. Ὅσῳ.
	21	Περὶ] Περὶ γάρ.
203	6	τοῦτοί νυν] τοῦ τοίνυν.
	7	ἀτελεῖς] εὐτελεῖς.
	27	Θεόν·] Post θεὸν om. καὶ πάλιν.
		ἰσχύει,] Τοῦ αὐτοῦ. ἰσχύει πλῆθυς.
204	10	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	12	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
207	14	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	15	εὐαγγελίσατο·] εὐηγ.
208	1	Βασιλείου] Βασιλείου ἀρχιεπισκόπου Καισαρείας ἐκ τῆς ἑρμηνείας.
	3	μήποτε] μήποτε αὐτὸν.
	5	δυσώδης] δυσώδης ἀφίστησιν.
	9	ὅλῳ] ὅλως.
	10	διὰ μὲν οὖν τὸ μέγα τοῦ] om.
	13	πᾶσι] πασῃ.
	19	οἱ περὶ] ὁ περὶ.
209	3	Πῶς] Τοῦ Χρυσοστόμου. Πῶς.
	6	Οὐ] Τοῦ αὐτοῦ. Οὐ.
	16	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
210	30	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
211	10	γεγενημένης.] γεγενῆσθαι.

Pag. Lin.

211 11 ὁ] om.
17 προαγορεύοντες,] προσαγορεύοντες.
23 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου Ἰω̃.
31 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
212 1 Μαναήν] Τοῦ αὐτοῦ Ἀμμωνίου. Μαναήν.
2 οὐκ ἐκ] οὔχη ἐκ (sic).
13 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
19 Ἵνα τὸ ὁμότιμον δείξῃ.] om.
24 Τί] Τοῦ Χρυσοστόμου. Τί.
214 2 ὑψηλὴν] ὑψηλοτέραν.
23 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
215 8 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
17 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
31 κακός] κακῶς.
216 3 τνα´.] τνδ´.
5 τὰ] τῶ.
γενόμενα·] γενομένῳ.
10 χειραγωγήσασαν] χειραγωγοῦσαν.
19 παύσῃ] παύσῃ δὲ.
23 ἀποβεβηκὼς] ἀποβεβληκὼς.
26 καὶ] om.
31 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
217 5 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
219 29 εἰς τὴν ἑρμηνείαν] ἐκ τῆς ἑρμηνείας.
πρώτης] α´.
220 6 ῥητὰ] ῥήματα.
221 1 Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
4 κατὰ μετάληψιν] κατάληψιν.
9 γὰρ] γοῦν.

Pag. Lin.

222 5 Τοῖς] Ἐξ ἀνεπιγράφου. Τοῖς.
7 γέγονε σὰρξ] σὰρξ γέγονε.
8 καιρίαν] κερίαν.
11 αὐτοὺς] αὐτοῖς.
223 1 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
16 δύναμις] δύμις (sic).
17 ἀναστακέναι] ἀνεστ.
29 ὁ] οὖν.
224 5 Κυρίλλου.] Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας.
19 νεοτάτην] νεωτ.
30 Σευήρου] Τοῦ ἁγίου Σευήρου.
32 Σωτῆρος] Σωτῆρος Ἰησοῦ.
225 8 Τοῦ αὐτοῦ] Τοῦ ἁγίου Σευήρου ἀρχιεπισκόπου ἀντιοχείας.
226 13 τὸν] τὸν ἐν.
22 Κυρίλλου.] Τοῦ Χρυσοστόμου.
25 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου Κυρίλλου.
26 Ἀββακοὺμ] ἀμβ.
227 1 Θεοδότου Ἀγκύρας.] Θεοδώρου μοναχοῦ καὶ πρεσβυτέρου.
14 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
24 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
τὸ] om.
26 Τοῦ αὐτοῦ.] Τοῦ αὐτοῦ id est τοῦ Χρυσοστόμου, namque hoc Schol. post Ammonium describitur in cod.
229 9 κρίνειν] κρίνει.
23 ὑπ᾽ οὐρανὸν,] ὑπουρανὸν.
26 Θεοδωρήτου.] Θεοδωρήτου κύρου.

Pag. Lin.

229 30 τοὺς] τοὺς πατέρας.
230 14 δεῖ] δείξας.
16 τὸ τεταγμένοι] om.
22 θείου] θεοῦ.
26 Ἰησοῦ] Χριστοῦ.
29 ἐκφόβος] ἐκ φόβου.
31 παρὰ] περὶ.
231 15 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
17 ἀρχεκάκου] ἀρχαικάκ.
33 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
232 17 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
22 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
233 8 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
21 οἱ] om.
φεύγουσι] φεύγωσι.
22 αὐτοὺς] αὐτοῖς.
26 Ἀρειανοῖς] Ἀριανοῖς.
234 11 Ἡ] Ἀμμωνίου πρεσβυτέρου. Ἡ.
13 ἐν καρδίᾳ,] ἐγκαρδία.
235 7 αὐτοῦ.] αὐτοῦ πάλιν.
13 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
17 ὠνόμασαν] ὀνόμ.
19 τοῦτο] τοιοῦτο.
ὃν] ὃν οἱ.
31 εἰς τὴν] ἐκ τῆς.
ἑρμηνείαν λόγος] ἑρμηνείας λόγου.
236 23 Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλ. ἀλεξανδρείας.
34 ἐγγράφοις] ἀγράφοις.
35 τὸ] δὲ τὸ.
237 3 καὶ] καὶ ἐν.
24 Ἀμμωνίου πρεσβυτέρου. Γνώμη ἰδία φησὶν ὁ θεὸς λόγος. ὅτε ἐβουλήθη εὐδοκία πατρὸς ἐσαρκώθη τὸν πρῶτον χρόνον διαλογισμὸν ὃν αὐτὸς οἶδεν κατὰ τὴν ἐπωφελῆ αὐτοῦ καὶ φιλάγαθον κρίσιν· συγχωρήσας τοῖς ἀνθρώποις δουλεύειν καὶ προσκυνεῖν τοῖς εἰδώλοις.
238 7 τούτῳ] τοῦτο.
9 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
τῶν] τῷ.
239 19 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
31 ἀκατάπαυστον·] ἀκατάπαυστον· καὶ λύπη ἐπιλύπη.
240 15 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
22 πιθανώτερον] πιθανότερον.
241 5 Οὐκ] Τοῦ αὐτοῦ. Οὐκ.
9 πατρίᾳ] πατρίῳ.
242 7 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
11 καταχρηστικῶς] καταχρηστικὸν.
243 15 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
26 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
244 5 συμπεριέλαβον] συμπεριέλαβεν.
22 Ἀμμωνίου.] Ἀμμωνιου πρεσβυτέρου.
24 διὰ λόγων,] διαλογον (sic).
27 οἰκονομικῆς] οἰκονομιασκῆς.
28 ἢ ἄλλου] ἢ τινὸς ἄλλου.
ζητηθέντος·] -θούτος.
245 1 δὴ] om.
2 ἐρωτήσοντας] ἐρωτήσοντος.
15 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
22 θῆλυ·] θῆλυ· οὐκ ἔνι δοῦλος ἢ ἐλεύθερος.
34 καὶ ἑξῆς.] καὶ τὰ ἑξῆς.

Pag. Lin.

246 2 ὡμολόγουν] ὁμ.
10 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
20 οὕτως] οὗτος.
30 βλαβέντας] βλέποντας.
247 15 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
17 ταῦτα ἑαυτῷ] ἑαυτῷ ταῦτα.
21 οἱ νόμοι] ὁ νόμος.
248 12 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
20 Εἶτα] Τοῦ Χρυσοστόμου. Εἶτα.
249 21 Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
22 κατῆλθον] κατῆλθεν.
24 τὰς] τε τὰς.
250 13 Ὁ] Τοῦ Χρυσοστόμου. Ὁ.
16 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
251 9 γενέσθαι] δηλοῦσθαι.
10 γὰρ] γὰρ τῆς.
ἀναγινώσκηται] ἀναγινώσκεται.
12 θεόπνευστος καὶ] om.
32 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
252 10 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
12 περιτομῆς·] τομῆς.
29 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
253 1 Τοῦ αὐτοῦ.] Τοῦ ⋇.
8 Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου.
13 ἐπιτιθέναι] -τίθεσθαι.
23 Ἀπόστολοι·] Ἀπόστολοι· ἔδοξε τῷ ἁγίῳ πνεύματι· ἀλλ᾽ ὅρα τὸ ἐπαγόμενον, καὶ ἡμῖν γάρ φησιν· ἄρα οὖν θεοὶ οἱ ἀπόστολοι.
τῆς] τῆς ἁγίας.
33 τοῦ] τοῦ ἁγίου.
34 αὐθεντίαν,] -τείαν.

Pag. Lin.

254 3 ὁμότιμος,] **ὁμότιμος θεοῦ, ἀλλ᾽ ὡς ὑπηρέτης θεοῦ καὶ Σαμουὴλ τῷ θεῷ οὐχ ὡς ὁμότιμος.**
6 αὐθεντίαν,] -τείαν.
32 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
255 13 περὶ Μάρκου.] διαβάρκου.
22 Τοῦτο] Τοῦ Χρ. Τοῦτο.
26 Ἀντιοχείας] Ἀντιοχ. ἐκ τῆς.
Ἀναστάσιον] Ἀναστασίαν.
256 3 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
258 1 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
33 δὲ] om.
259 6 οἶμαι δὲ τοῦτο γράφειν αὐτὸν, δι᾽] οἶδε γράφειν τοῦτο αὐτὸ δι᾽.
8 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
14 ὑποταγῇ] ἀποταγῇ.
18 οὖν] οὐ.
19 ἐκπλήξεως] ἐπιπλήξ.
260 2 ὁρῶν] om.
262 16 ἦν] ἧς.
17 μεμψιμοίρων] μεμψιμύρων.
24 ἕνεκεν] ἕνεκεν ὁ.
27 καὶ] om.
263 5 ὡς—νόμῳ·] om.
25 Ἀθανασίου] Ἀθανασ. ἐκ τῆς.
Ναυατιανοὺς] Ναυατιανοῦ.
26 ὀνομάσαντας καθαροὺς βιβλίου λόγου β΄.] ὀνομάσαντος λόγου β΄.
κωλύετε] κωλύεται.
264 4 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
Δόγματα] Δόγμα.
οὐ τὸ] οὕτω.

Pag.	Lin.	
264	26	αὐθεντίᾳ] αὐθεντείᾳ.
265	3	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	11	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
266	8	ποταμὸν] ποταμοῦ.
	16	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	31	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
267	12	ἐπεὶ] ἐπειδὴ.
	13	ἐναργῶν] ἐνεργῶν.
	16	καὶ] καὶ τῇ.
		γενόμενος·] γινόμενος.
	20	θέλει τις] τις θέλει.
	30	Σκοπεῖ] Τοῦ αὐτοῦ. Σκοπεῖ.
268	32	τῆς α′ εἰς τοὺς Κορινθίους] τῆς εἰς τὴν πρώτην πρὸς Κορ.
269	17	τοιοῦτον,] τοιοῦτο.
	20	πειστέον] πευστέον.
	21	τί] ὅτι.
	26	μαντίαν,] μαντείαν.
	28	ὡς] ὅθεν ὡς.
		Πυθωνίῳ] Πύθωνι.
	34	πιστευθέντες,] πιστευθέντες, ὡς πάλιν ἀληθεύοντες.
270	11	ἡ Πυθία,] ἡ Πυθία φησίν.
	12	Ἀπόλλων] Ἀπόλλων ὁ.
	18	ἀπήγγελλεν] ἀπήγγειλεν.
	22	ὁρᾶν.] ὁρῶν.
	25	ἐὰν] ἐὰν αὐτοῖς.
		ἀπολλομένων] ἀπολλοιμμένων.
	27	εὔκολον] εὔκωλον.
	29	ὃν] ὃ.
	34	τοῦτο γὰρ] τὸ γάρ.
271	4	τοῖς] τοῖς εἰς.
		αὐτοῦ ἦν] ἦν αὐτοῦ.
	12	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ id est τοῦ Χρ. namque sequitur schol. p. 270. γνῶθι σαφῶς &c.
271	24	Σεβήρου ἀπὸ] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας. Κινηθεὶς καὶ δηχθεὶς, καὶ ἀληθῆ λέγουσαν ἐπιστομίσας αὐτὴν, διδάσκων ἡμᾶς, μηδὲ τῇ ἀληθείᾳ συνηγορεῖν προσποιουμένους δέχεσθαι δαίμονας· ἀλλὰ πᾶσαν αὐτοῖς ἀποτειχίζειν πλάνης ὁδὸν, καὶ ἀποφράττειν πρὸς τὰ παρ' αὐτῶν πάντα τὴν ἀκοήν· "διαπονηθεὶς" γὰρ φησὶν "ὁ Παῦλος," τὸ δὲ "διαπονηθεὶς," σημαίνει τὸ κινηθῆναι τὸν Παῦλον καὶ πρὸς δίκαιον διαναστῆναι θυμόν. δεῖ γὰρ μάλιστα κολακεύουσι τοῖς δαίμοσι, καὶ τὰ πρὸς ἡδονὴν λέγουσι, χαλεπαίνειν καὶ ἐναντιοῦσθαι, καὶ ἀντανίστασθαι· διὰ τοῦτο καὶ ἐπ' ἐκείνων νήφειν προσήκει, καὶ φεύγειν μακρὰν τοὺς ἐπαγγελλομένους νόσους ἐπάδειν ἢ ἕλκεσι καὶ τῶν τραχήλων ἢ τῶν βραχιόνων ἢ ἄλλου μέλους ἐξάπτοντος τὰ λεγόμενα φυλακτήρια, κἂν εὐσεβὲς ἔχῃ τὸ πρόσχημα, μήποτε, θεράπειαν ἐπιζητοῦντες σώματος, προσαρρωστήσωμεν τὴν ψυχὴν, ἐκ τῶν τοιούτων εὐπροσώπων αἰτιῶν, τῇ πλανῇ τῶν δαιμόνων, βάσιμον ποιοῦντες τὴν εἴσοδον.
		Ἐξ ἀνεπιγράφου. Ἐξέβαλε τὸ πνεῦμα κ.τ.λ.

Pag. Lin.

271 30 τοῖς] om.

272 1 Τοῦ ἁγίου Βασιλείου ῥητοῦ προκειμένου, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ὥσπερ κ. τ. λ.

3 πρέποντος] πρέποντως (sic).

6 ἄγος] ἅγιος.

17 Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

273 8 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

24 Τοῦ αὐτοῦ. Παύλου δημηγοροῦντος, Ἰουδαῖοι μὲν πολλάκις κατεγέλων, οἱ δεσμῶται μετὰ πολλῆς ἐπηκροῶντο τῆς ἡσυχίας· οὐδὲν γὰρ οὐδὲν οὕτως εἰς φιλοσοφίαν ἐπιτηδείαν κατασκευάζει ψυχὴν, ὡς συμφορὰ καὶ πειρασμὸς, καὶ θλίψις ἐπικειμένη.

274 6 Τοῦ αὐτοῦ.] om.

18 Καὶ μετ' ὀλίγα] om.

24 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

26 Σευήρου] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας.

29 τὸν Κύριον] τὸν om.

ἔκραξα·] ἐκέκ.

275 4 φευγαδευτήριον·] φευγαδευτέριον.

276 9 Τοῦ Χρ. Ἀλλ' οὐδὲ τοῦτο ποιεῖ δεσμὰ, ὡς τοὺς δήσαντας εἰς τοὺς πόδας ἄγειν τῶν δεδεμένων, ἀλλὰ τοὐναντίον ὑποχειρίους τούτους ἐκείνων ποιεῖν. νῦν δὲ ὁ λελυμένος, ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου· ὁ δήσας ἠξίου τὸν δεθέντα λυθῆναι τοῦ φόβου, οὐχὶ σὺ ἔδησας, εἰπέ μοι· οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακὴν, οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἐσπάσω; οὐδένα τοιοῦτον ἔδησα, φησὶν, οὐκ ᾔδειν ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις.

276 18 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

21 δεσμώτας] δεσμότας.

23 διαρρηχθείσας·] διαρρηχθήσας.

27 ἄλλῳ] ἄλλο.

277 1 ἀποπροσεποιήσαντο] ἀπεπρ.

2 ἀντεποιήσαντο] ἀντεποίησαν.

4 ἔω] ἔωθεν.

5 Χριστὸς ἔννυχος] κύριος ἔννυχον.

ἀπὸ τοῦ ᾅδου] ἐξ ᾅδου.

14 κἂν κενόδοξος,] καὶ ἀκενόδ.

δήποτε ἕτερον] δήποτ' οὖν ἕτερον.

15 ἀρετῆς ἐχόμενον,] ἐχόμενον ἀρετῆς.

21 Οὐδὲ] Τοῦ Χρυσοστόμου. Οὐδὲ.

31 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

278 31 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

279 5 Ἵνα] Ἵνα δὲ.

25 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

28 αὐτοῖς.] αὐτούς.

280 7 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.

31 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.

281 11 Τοῦ αὐτοῦ.] om.

Pag.	Lin.	
281	19	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
		μὲν] μὲ.
	22	οὗτοι] οὗτοι δὲ.
	23	καταγγέλλουσι] καταγγέλλωσι.
	27	ἦν,] ἦν αὐτοῖς.
282	1	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ et in marg. τοῦ Χρ.
	6	Τοῦ αὐτοῦ.] om.
	9	Τοῦ αὐτοῦ.] om.
	14	κερδαίνωσιν] κερδάνωσιν.
	16	αὐτούς·] αὐτοῖς.
	26	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	30	ἐνσάρκα] ἐνσάρκου.
283	3	ἔφευγον] ἔφυγον.
	19	Λύστροις] λύπαις.
284	8	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
		ὁρῶν] ὁρῶν οὖσαν.
	10	συζητήσεις] συζητήσης.
	13	αὐτοῦ] ἑαυτοῦ.
	28	εἰς τὴν ἑρμηνείαν] ἐκ τῆς ἑρμηνείας.
	32	ταῖς] τοῖς.
		κατασκεδασμένα] κατεσκεδασμένα.
285	21	φασὶν] φησὶν.
287	5	καὶ λίθον καὶ ξύλον] καὶ ξύλον καὶ λίθον.
	7	σύναξιν,] σύνταξιν.
290	19	Κυρίλλου.] Κυρίλλου Ἀλεξανδρείας.
		τὸν Θεὸν τὸν ὕψιστον·] τῷ θεῷ τῷ ὑψίστῳ.
	20	ἐὰν] ἐὰν σὺν.
	22	τῷ φαύλῳ τὸ ἀγαθὸν,] τὸ φαυλὸν τῷ ἀγαθῷ.
	23	τῷ] τὸ.
291	8	τοῦ] τὸ.
	12	τοῦ] τὸ.
	14	τοῦ] τὸ.
	15	ἀναπνεῖν] ἀναπνέειν.
		τοῦ] τὸ.
291	17	τῶν] τὸν.
	20	οὐ] οὐ δὲ.
		πρώτης] πρότης.
	28	ἐστι] τι.
292	17	Παρθένιον] -θένειον.
		ἐντυχὸν,] ἐντυχὼν.
	18	ἀμελοῦντας] -λοῦντος.
	19	δὲ] om.
	20	φησιν,] φασιν.
294	4	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
295	27	Ἀμμωνίου. Σημείωται] Ἀμμωνίου πρεσβυτέρου. Σημειωτέον.
	28	φύσει·] φύσεως.
		λέγοντες] λέγοντας.
296	3	ἄλλο] ἄλλω.
	5	ἀλλοίας ὄντας] ἀλλοίοντας.
	6	ἴβεις,] εἴβεις.
		καὶ αἰλούρους, καὶ πιθήκους,] καὶ πιθήκους, καὶ αἰλούρους.
	17	Ὅπερ] Τοῦ αὐτοῦ. Ὅπερ.
	23	Σευήρου] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας.
	27	χρόνων] χρόνον.
	28	πρὸς] εἰς.
	31	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
297	5	αὐτοῖς·] αὐτός.
		τὴν] om.
	12	ὤφθησαν] ὤφθ. τοῖς.
	16	ἅπαντες] οὐ πάντες.
		οὐκ] om.
	18	μόνον] μόνων.
	19	ἀλλ'] ἀλλὰ.
	22	τῶν Ἰουδαίων τὴν πόλιν,] τὴν πόλιν τῶν Ἰουδαίων.
	23	ἐν μέσῳ τῆς] ἐμμέσω τοῦ.
	25	τοῦ] om.
	26	σώμασι] σώματι.
	30	πειθὼ] πιθὼ.
	32	ἐγεῖραι] ἐγεῖρε.
298	8	αὐτόπτως] αὐτόπως.

Pag.	Lin.	
298	26	Σευήρου] Σευήρου ἀρχιεπισκόπου.
		'Αναστάσιον] 'Αναστασίαν.
	34	φύσις] φύσις τῶν.
299	9	Τοῦ Χρυσοστόμου] om.
		τοῦ] τοῦ εἰς.
	17	Καὶ μετ' ὀλίγα] om.
	30	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
301	8	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	18	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	31	αὐτῷ] αὐτὸ.
302	22	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	29	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
		ὅτι εἰργάζετο] ὅτι καὶ εἰργάζετο.
303	7	ἀπιστούντων] ἀποστατούντων.
	10	ἐπιφέρει] ἐπιφέρει ἐφ'.
	14	γένηται] γέννηται.
		τούτου,] τοῦτο.
304	13	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
	24	ἀνδρίαν] ἀνδρείαν.
	30	λοιπὸν] om.
305	19	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	21	δείκνυσι] 'Αμμωνίου πρεσβυτέρου. Δείκνυσι.
306	3	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	10	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
	14	ἐπειδὴ] ἐπειδὴ μᾶλλον.
	18	ἰδοὺ] ἰδοὺ καὶ.
307	4	τοῦτο ἦν] τοῦ ἦν.
	5	τοὺς] τοῖς.
	7	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
	8	πράττει·] πράττη.
	10	ἀκόλουθον] ἀκολουθεῖν.
307	18	ὃν] ὧν.
	27	μὲν] μὲν αὐτῶν.
		τοῖς 'Ιουδαίοις,] τοὺς 'Ιουδαίους.
		δὲ] om.
308	1	τὴν] om.
309	3	Τοῦ Χρυσοστόμου.] 'Αμμωνίου.
	12	ἀπαίρω·] ἀπέρω.
	18	'Αμμωνίου.] Τοῦ αὐτοῦ.
	31	ὡς] ὡς ὁ.
310	24	ὁ Χριστὸς ἐπεδήμησεν,] ἐπεδήμησεν ὁ Χριστὸς.
	32	'Αμμωνίου.] 'Αμμωνίου πρεσβυτέρου.
	33	παρακατιόντες] παρακατιόντες τοῦ λόγου ἐν 'Εφέσῳ ὄντες.
311	2	τῇ] om.
	4	καὶ οἱ] ὡς οἱ.
	7	ὅλως] ὅλος.
	34	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
312	5	καταλελυμένον,] ἐκλελυμένον.
	10	ὁλοσχερῶς] ὁλοσχερέστερον.
	12	γὰρ] γοῦν.
	14	ὧν] ὧν ζέων.
313	4	'Ρωμαίοις] 'Ρωμαίοις δὲ.
		προσαγορεύει] προσαγορεύειν.
	34	ἀπαιτῶ] ἀπετῶ.
314	1	πιστῶς] πιστὸς.
	4	εἰς] εἰς τὸν.
	8	βάπτισμα] βάπτισμα βαπτισθεὶς.
	9	οὖν] οὖν ὁ.
		'Ιωάννου] 'Ιωάννου βάπτισμα.
	11	καὶ] om.
	13	ὁ ἔχων Πνεῦμα Ἅγιον] om.
		αὐτὸ] αὐτῷ.
	16	κωλύον] κωλύων.
	22	τὸ ἀόρατον] τὰ ἀόρατα.
	26	οὖν, ἢ] οὖν, εἰ.

Pag.	Lin.	
314	27	μὴ] μὴ ἔχῃ.
315	23	*Η] Ἀμμωνίου πρεσβυτέρου. *Η.
317	2	κατέχουσιν] om.
	3	οἷον] οἷοι.
		τὰς] om.
	4	ἢ γουνία,] γουννία et in marg. eadem manu: γρ. καὶ ἤγουν οἷα.
	15	ὁ Κωνσταντίνου πόλεως Ἐπίσκοπος] om.
	17	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	18	οὐκ] οὐχ.
		ἐπορκισταὶ] ἐπὶ ὀρχ. (sic).
		ἐπόρκιζον τὰ] ἐπορκίζοντα.
	19	τῷ ὀνόματι] τὸ ὄνομα.
	29	ἀρνεῖται] ἀρνηται.
	33	οἶδά] οἶδα μὲν.
318	5	οὕτως] οὗτος.
319	13	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	17	τοσοῦτοι] τοσοῦτον.
	20	τοιούτων] τοιοῦτον.
	23	κτήσωνταί] κτίσονται.
320	12	κατασκευῆς] παρασκευῆς ἐκ τῆς.
		ἔχοντας,] ἔχοντας καὶ.
	13	καταλύετο.] ἐκωλύετο.
	18	προλήψει] προσλήψει.
	20	Ἀμμωνίου πρεσβυτέρου. Σημειωτέον ὅτι προφήτης ἦν ὁ Παῦλος, προαγγείλας ὅτι δεῖ ἀπελθεῖν εἰς Ἱερουσαλὴμ καὶ εἰς Ῥώμην.
321	10	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	24	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	25	ἐδεδείῃ] ἐδεδείει.
322	14	Τοῦ αὐτοῦ. Ὅρα] Τοῦ Χρυσοστόμου. Ὁρᾶς.
322	32	Ἀμμωνίου πρεσβυτέρου. Τούτων ἔν τινι ἑαυτοῦ ἐπιστολῇ μέμνηται ὁ ἀπόστολος· πλὴν καὶ ἡ γραφὴ αὐτοῖς μαρτυρεῖ, ὅτι διὰ τὴν πίστιν καὶ ἐκινδύνευσαν.
323	3	Τοῦ Χρυσοστόμου. Τούτων — ἐκινδύνευσαν.] hoc schol. om.
	14	Μὴ] Τοῦ αὐτοῦ. Μὴ.
324	13	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
325	8	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσ.
	17	διαθηλασθαι] -λασθὲν.
	18	Ἰσιδώρου] Ἰσιδώρου ἐξ.
	20	τινὲς,] τινὲς, δὲ.
	23	Διοπετοῦς quasi nomen proprium.
326	9	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	23	ὑπήκουον·] ὑπήκοον.
327	24	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
329	11	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
		τὸν καλούμενον Εὔτυχον.] Εὔτυχον τὸν καλούμενον.
330	31	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
331	21	τοῦ] τῆς.
332	29	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
333	7	ὁ] om.
	10	αὐτῷ·] ἑαυτῷ.
	24	λήψῃ] λήψῃ καὶ.
	26	ὑποστίξαντας] στίξαντας.
334	29	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	33	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
		λάβῃ] λάβοι.
335	15	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	18	ἀποθανεῖτε] ἀποθανῆτε.
	26	ἡμῖν,] ἡμῶν.

Pag.	Lin.	
335	28	προτίθησι] προστίθησι.
	30	ἀκουόντων] ἀκουόντων μου.
	33	γενόμενος,] γινόμενος.
336	13	οὔσῃ] οὖσα.
	19	Ἆρα] Τοῦ Χρυσοστόμου. Ἆρα.
	24	ἀποκρύπτων]-κρύπτειν.
	27	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
337	5	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	17	λέγειν] λέγει.
	19	περιεποιήσατο] περὶ ἐπ.
	22	ἐριθείαν,] ἐριθίαν.
	27	ἀπατηλὰς] ἀπατηλοῦς.
	28	ἀποστρέφει] –τρέφειν.
	30	ἐπισκοπεῖν] ἐπισκοπὴν.
	32	ὅτι κέρδει] ὁ ἐπικέρδει.
338	1	ποιμένας] ποιμάνας.
	25	ἄρτον] ἄρτον τοῦτον.
		ὁρᾶς] ὁρᾶς ὅτι.
	26	αὐτὸν] ἑαυτὸν.
		ἕτερα] ἕτερον.
	30	ἐνδοιάσεις] ἐνδοιάσῃς.
	31	ὥσπερ] ὥσπερ οἱ.
339	19	ξενιζώμεθα] –ζόμεθα.
	32	οὖν] in marg.
340	8	Δεῖ] Ἀμμωνίου. Δεῖ.
	27	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	13	τὸ] τῷ.
	34	Ἀσίας] Οὐσίας.
341	6	ὀφείλουσιν] –λωσιν.
	7	ὡς] om.
	8	τὸ] τῷ.
	10	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
		ὁ] om.
342	1	ἀπέχονται·] –χωνται.
	29	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	31	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	32	σὺν πᾶσι] συμπᾶσιν.
343	11	Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
343	33	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
344	21	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	32	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
345	28	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
346	7	Τοῦ αὐτοῦ] Τοῦ Χρ.
347	1	ἐρρωμένον] ἐρρωμένες.
	3	εἰπόντος ;] εἰπόντες.
	4	ἑαυτῶν] ἑαυτὸν.
		μονάζειν.] μονάζην.
	8	τῷ] τὸ.
		ἕπομαι,] ἔχομαι.
	15	ἀσθένειαν] ἀσθένειαν παθῶν.
	17	εἴποι] εἴποιέ.
	18	τῶνδε,] τῷ δὲ.
348	6	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	12	Τοῦ αὐτοῦ. Οὗτος] Τοῦ Χρ. Οὕτως.
	21	Τοῦ αὐτοῦ] Τοῦ Χρ.
	27	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
349	20	Σευήρου] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας.
	22	μεθιστάντας] μεθιστάντες.
	25	τῆς] om.
	27	διαπτύσωσι·] διαπτύσωσιν.
351	9	σύμβολον·] σύμβουλον.
	33	ζ′] ἑπτὰ.
352	1	ἐποίησεν] ἐποίησαν.
	3	κόμην·] γνώμην.
	9	ῥητὰ] ῥήματα.
	12	πέπομφε] πέμποφε.
	15	ἀλλὰ] ἀλλ᾽.
	17	δογμάτων.] δόγματα.
	34	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
353	27	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.

Pag.	Lin.	
354	12	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	17	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
355	11	ἤγουν] ἤ τ' οὖν.
	16	ἀφ'] ἐφ'.
357	7	μὴ πάλιν] πάλιν μή.
	21	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	29	Ἐπειδὴ] Τοῦ αὐτοῦ. Ἐπειδή.
358	7	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	24	Τοῦ αὐτοῦ.] Τοῦ Χρυσοστόμου.
	31	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ πάλιν.
361	18	εἰς] εἰς τὸν.
	26	ἐκ] ἀπὸ.
	29	δέξονται·] δέξωνται.
		ἐγὼ] ἐγὼ γὰρ.
362	2	αὐτὸν] αὐτῶν.
	7	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	11	Τοῦ αὐτοῦ.] Ἀμμωνίου πρεσβυτέρου.
	29	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
363	12	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
	22	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
364	3	Οὐκ] Τοῦ αὐτοῦ. Οὐκ.
	7	προνομίαν·] in marg. πρόνοιαν.
	21	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	25	Ῥωμαῖον,] Ῥωμαῖον, καὶ.
365	8	Ῥωμαίους,] Ῥωμαίους, καὶ.
	11	Παῦλος] om.
	12	πρὸς] πρὸς τὸν.
	14	Ῥωμαῖοι] ῥωμαῖον.
	27	Οὐκέτι] Τοῦ ἁγίου ιω̅ τοῦ ☧. Οὐκέτι.
366	20	τάφοις] τοίχοις et in marg. τάφοις.
	28	τις] τι.
366	30	χάριν] χάριν τοῦ.
367	3	Σευήρου.] Σευήρου ἐπισκόπου Γαβάλων.
	11	προσποιεῖται] προπ.
	16	κεκονιαμένος εἴη,] εἴη κεκονιαμένος.
	18	ἀμφιβάλλεται] ἀμφιβάλλει.
	19	ἐλέγχθη·] ἐλέχθη.
	20	τοῦ] om.
		ἐλέγξαι,] ἐλέγξαι ὑπόκρισιν.
	21	τὸ κολαστέον] τῷ κολ.
	25	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	30	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
368	13	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	16	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	28	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
	33	ἐπιστολῆς] ἐπιστολή.
369	8	ἀναστάσεως] ἀναναστάσεως.
	15	διασπασθῇ,] διασπαθῇ.
	23	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
370	11	αὐτοῦ] αὐτοῦ πάλιν.
	32	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
371	3	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ πάλιν.
	7	αὐτοῦ] αὐτοῦ πάλιν.
	14	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	15	εἶπον] εἶπαν.
	23	Τοῦ Χρ.] Τοῦ ἁγίου ιω̅ τοῦ Χρ.
	27	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
372	15	Τοῦ] Τοῦ ἁγίου ιῶ τοῦ.
	21	τῆς] τοῦ εἰς.
373	4	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιῶ.

Pag.	Lin.	
373	33	Τοῦ αὐτοῦ. Ὅρα καὶ ἐπιβουλὴν ἀπολογίαν ἔχουσαν ὑπὲρ αὐτοῦ καὶ κατηγορίαν κατ' ἐκείνων.
374	1	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιω̄ ἀρχεπισκόπ Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.
	29	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
375	2	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιω̄.
	24	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου ιω̄.
	27	Τέρτυλλος,] Τέρτυλος.
	28	Τέρτυλλος] Τέρτυλος.
376	1	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιω̄.
377	12	Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιω̄ τοῦ Χρ.
	23	Ἐξ ἀνεπιγράφου.] om.
	24	λατρεύων] λατρεύειν.
	26	Ἀμμωνίου.] om.
	27	ὅτι] ὅτι οἱ.
	29	ὧν] ὃν.
	30	πιστεύει· ἀλλ' οὐκ] πιστεύων οὐκ.
	31	τῷ] τὸ.
	32	τὸν] om.
378	1	οὔσης] οὔσαις τῆς.
	2	Ἰουδὴθ,] Ἰωδὶθ.
	4	Ἀπόστολον] –τολος.
	10	πευστέον] πευστέων.
	12	ὅτι] ὅτι καὶ.
	19	συνάδοντα] συνάδον.
	23	τοίνυν] τοίνυν οὕτως.
	27	ὑμῖν,] ἡμῖν.
	32	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
379	8	ἀρχιεπισκόπου] ἀρχιεπισκόπου ἀντιοχείας. κωδικέλλων] κωδικαίλλων.
	22	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
380	11	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	25	Ἀμμωνίου.] om.
380	26	αὐτῷ] αὐτῇ.
	28	ἵνα καὶ] om.
382	7	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
	21	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	31	τὸν] τὸν θεὸν ἢ.
383	1	τὸν] om.
	7	Διότι] Διατί.
	24	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου ιω̄.
384	16	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	27	εἰκοστὸν δεύτερον ἔτος] εἰκοστοῦ δευτέρου ἔτους.
	29	ὁ] om.
385	12	καὶ] om.
	18	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
	23	Εἰκότος] Εἰκότως.
	26	ὑπερέβαινεν ἀκοὰς δικαστοῦ] δικαστοῦ ὑπερέβαινεν ἀκοάς.
386	6	Ὅρα] Τοῦ ἁγίου ιω̄ τοῦ Χρυσοστόμου. Ὅρα.
	21	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
	31	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
387	16	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	19	ὅτε] ὅτι.
	24	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
388	8	Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
	26	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου ιω̄ τοῦ Χρυσοστόμου.
	33	Οὐ] Τοῦ αὐτοῦ. Οὐ.
389	8	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	24	τὸν] τῶν.
	32	εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν·] om.
390	7	κωδικέλλων Ἀλεξανδρείας.] κωδικίλλων Ἀλεξάνδρου.

Pag.	Lin.	
390	9	καὶ] καὶ τῶν.
		αὐτῶν] αὐτῶν εἰς ἡμᾶς.
	10	καταστήσομεν.] καταστήσωμεν.
	11	Παῦλος] ὁ Παῦλος.
	13	πατέρας] πρσ̄.
	14	τὴν] τῶν πατέρων.
	23	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
391	17	Ἀμμωνίου.] om.
	18	ἐμμαινόμενος,] ἐμμαινόμενος, ὑπὸ γὰρ διαβολικῆς ἐνεργείας καὶ δαιμόνων οἷς στρατηλατούμενος.
	29	Τοῦ αὐτοῦ.] Ἀμμωνίου πρεσβυτέρου.
392	4	καὶ] καὶ τὸ.
	10	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
	16	ΤοῦΧρυσοστόμου.] Τοῦ αὐτοῦ.
	28	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου ιω̄ τοῦ Χρ.
	31	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
393	1	Ἀγρίππαν] Ἀγρίππα.
	4	δεῖ] δὴ.
	5	καὶ] καὶ ἃ.
		οὐράνου·] οὐρανοῦ κατὰ ὀπτασίαν. ὀπτασία δὲ.
	7	σαρκὶ,] σαρκὶ ὢν.
	13	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
	24	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
	27	Ὅτι] ἐξ ἀνεπιγράφου. Ὅτι.
394	2	ἀλλὰ] ἀλλὰ καὶ.
	9	μαθητεύσατε] μαθητεῦσαι πάντ.
	10	εἰλήφασι] ἐξειλ.
	12	τῷ] τὸ.
	13	φωτὸς] φῶς.
	15	περὶ Μωσέως ὁ Παῦλος,] ὁ Παῦλος περὶ Μωσέως.
	18	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
394	19	παρέχον] παρέχων.
	22	Μωσῆς] Μωυσῆς.
	32	ΤοῦΧρυσοστόμου.] Τοῦ ἁγίου ιω̄.
395	7	ΤοῦΧρυσοστόμου.] Τοῦ αὐτοῦ.
	20	Τοῦ αὐτοῦ.] Ἀμμωνίου πρεσβυτέρου.
	22	ὡμολόγει.] ὁμ.
	24	οὗτος] οὕτως.
	25	ὁ Θεὸς ποιῆσαι] ποιῆσαι ὁ Θεὸς.
	30	δευτέρῳ] προτέρῳ.
396	3	Τοῦ αὐτοῦ.] om.
	27	ΤοῦΧρυσοστόμου.] om.
397	10	Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
398	13	Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου ιω̄ τοῦ Χρυσοστόμου.
	21	ΤοῦΧρυσοστόμου.] Τοῦ αὐτοῦ.
	27	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	29	εἰσαγούσης,] ἀγαγούσης.
399	14	ἑαυτῆς] ἑαυτοῖς.
	18	μὲν,] ὦ.
	26	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
400	4	ΤοῦΧρυσοστόμου.] Τοῦ αὐτοῦ.
	9	ἐπιλάθωνται,] ἐπιλάνθωνται.
	22	Τοῦ αὐτοῦ.] Τοῦ Χρ.
401	1	Τοῦ] Τοῦ ἁγίου ιω̄ τοῦ.
	19	Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
	24	ὁριζούσῃ] ὁρίζουσα.
	27	ἀπολέσθαι,] ἀπολέσθαι εἶχεν ἂν καὶ ὁ Παῦλος ἀπολέσθαι.
	30	οὐδὲ μὲν] οὐδεμένον (sic).
	35	ἁρπάσας] ἁρπάσας αὐτὸν.
402	3	θαυματουργίας] θαυματουργήσας.

Pag. Lin.
402 8 δίκαιον] δικαὶ.
26 Τοῦ] Ἰῶ τοῦ.
403 11 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
19 ἀγνοίας·] ἀνοίας.
404 3 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
11 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
εὐχαριστήσας] εὐχαρίστησεν.
12 ἑωρακὼς] ἑωρακὸς.
18 ὧ] ὁ.
24 Τοῦ] Ἰῶ.
405 21 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
406 7 Τοῦ] Τοῦ ἁγίου ιῶ τοῦ.
407 23 Τοῦ] Ἰῶ τοῦ.
29 ἰοβόλα] ἰοβόλα ζῶα.
30 ἄγοντι τὴν δυσκολίαν] ἄγων τὴν εὐκ.
33 καταπατήσῃ] –τήσης.
408 7 Θεοδωρήτου.] Θεοδωρήτου κύρου.
8 χαῦνον] χαῦνον καὶ χλιαρὸν.
25 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
409 6 δὲ] δὴ.
7 θνήσκετε·] ἀποθνήσκετε.
12 μαγείαν] μαγίας.
Σίμων] Σίμων ὁ.
13 ἐμπίπρασθαι.] ἐμπίπρασθαι. ἢ διαρρήγνυσθαι.
18 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιῶ.
26 Ἰδοὺ] Τοῦ αὐτοῦ. Ἰδοὺ.
410 5 Ὥστε] Τοῦ ἁγίου. Ὥστε.
7 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
12 Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
18 Τοῦ αὐτοῦ.] Ἰῶ.

Pag. Lin.
411 3 Τοῦ Χρυσοστόμου] Τοῦ αὐτοῦ.
11 Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
Ἔθος] Ἔθος γὰρ.
13 εἰδωλολατρίας] εἰδωλολατρείας.
15 εἰδωλολάτριν] εἰδωλολατρεῖν.
30 Ἰσιδώρου.] Ἰσιδώρου πηλουσιώτου.
412 3 Τοῦ Χρυσοστόμου] Τοῦ ἁγίου Ἰῶ.
14 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
413 10 Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου Ἰῶ.
λόγον ἔχει,] ἔχει λόγον.
19 δόξει.] δόξειεν.
27 ἐθῶν] ἐθνῶν.
29 ἡγήσηται· ἡγήσεται.
30 σήν.] σκιάν.
414 3 ἔγγραφος] ἄγραφος.
7 ὅλως] ὅλως τὸ.
14 σωτηρία] σωτηρίας.
15 κηρύσσων] κηρύξας.
20 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιῶ.
24 Διακεῖσθαι,] Ἰῶ τοῦ Χρυσοστόμου. Τοσοῦτον ἀπέχω ἐχθρῶς πρὸς ὑμᾶς διακεῖσθαι.
415 2 Εὐσεβίου.] Εὐσεβίου εἰς τὸν Ἡσαίαν.
19 εἰσέτι] καὶ.
27 Ἀμμωνίου.] Ἀμμωνίου πρεσβυτέρου.
31 ἀληθῆ] ἀληθεῖ.
416 5 Τοῦ Χρυσοστόμου.] Ἰωάννου.
20 διὸ] διὸ καὶ.
32 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιῶ.
417 22 Τοῦ αὐτοῦ.] Τοῦ αὐτοῦ πάλιν.

Pag. Lin.

418 3 Σευήρου.] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας.
δὲ ὅτι τὰ τῆς] δὲ ὡς τῆς.
7 δείξοντι,] δείξαντι.
22 εἰώθασιν] εἰώθαμεν.
419 5 ῥητὸν] ῥητὸν προφητὴν.
16 ἐπίστευσεν] ἐπίστευσεν ἐν.
22 ἐπεσχέθη] ἐπαχύνθη.
23 ἀφιέναι] ἀφιέναι τὰς.
24 ἀφείθησαν] ἠφήθ.
26 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου ιῶ.
420 5 Τοῦ Χρυσοστόμου.] Ιῶ.
17 Τοῦ Χρυσοστόμου.] om.
421 15 Τοῦ Χρυσοστόμου.] Τοῦ ἁγίου Ἰωάννου.
30 Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου.
422 1 Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου Ιῶ.
13 Ἐκ τοῦ—προτασσομένου.] Hæc sequuntur in textu; neque majuscula sunt.
15 συναιχμάλωτόν] –μάλοντόν (sic).
21 γὰρ] om.
22 αὐτὸν] αὐτὸν ἐκεῖσε.

Pag. Lin.

422 24 β′] δευτέρῳ.
32 Ὀκταουΐαν] Ἀκτ.
423 3 τῷ Παύλῳ λϛ′] τὸν Παῦλον τριακοστῷ ἕκτῳ.
6 ιθ′] ἐννεακαιδεκάτου.
8 ιδ′] δεκατέσσαρα.
13 Κύριος] Κύριος μοι.
21 κα′] κ′ καὶ ἕν.
β′] δύο.
ἐτέλεσεν] διετ.
22 τούτους] τούτοις.
23 δύο·] β′.
πάντα] πάντα ἔτη.
24 δε′.] τριάκοντα πέντε.
26 ἐρήσεταί] αἱρήσεται.
424 6 λϛ′.] τριακοστῷ ἕκτῳ.
8 τοῦ] om.
10 ξθ′] ἑξηκοστῷ ἐνάτῳ.
11 τλ′] τριακόσια τριάκοντα.
12 τῆς] τῆς παρούσης ταύτης.
13 θ′] ἐνάτης,
14 κθ′] εἰκοστῇ ἐνάτῃ.
15 Τέλος σὺν Θεῷ τῶν Πράξεων τῶν Ἀποστόλων.] Τέλος τῶν σχολίων τῶν Πράξεων.

INDEX SCRIPTORUM

E QUIBUS CATENA IN ACTA APOSTOLORUM CONTEXTA EST.

NOMINA AUCTORUM OBITER CITATORUM.

CORRIGENDA.

Pag.	Lin.	
21.	31.	Ἐλύμων leg. Ἐλύμαν.
29.	1.	τε τολμημ. leg. τετολμ.
42.	17.	ὁμότιμων leg. ὁμότιμον.
45.	17.	οὐ κέγκαταλ. leg. οὐκ ἐγκαταλ.
68.	9.	παρθένου leg. παρθένον.
282.	30.	ἐνσάρκα leg. ἐνσάρκου, ἐνσάρκον Coisl.
352.	7.	Ἰουδαίους leg. Ἰουδαίοις.
367.	3.	Σευήρου leg. Σευηριανοῦ ut patet e Cod. Coisl.
393.	5.	οὐράνου leg. οὐρανοῦ.
395.	23.	τὸν leg. τὴν.
417.	33.	θρόνον leg. θρόνου.



OCT 31 1981
JUN 1 1988